This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

POLYBII

HISTORIARVM

TOMVS III.

NEW YORK
PUBLIC
LIBRARY

Digitized by Google

NEW YORK
PUBLIC
LIBRARY

Digitized by Google

ΠΟΛΥΒΙΟΥ
ΜΕΓΑΛΟΠΟΛΙΤΟΥ
ΙΣΤΟΡΙΩΝ
ΤΑ ΣΩΖΟΜΕΝΑ.

POLYBII
MEGALOPOLITANI
HISTORIARVM
QVIDQVID SVPEREST.

STOR LIBRARY
NEW-YORK

RECENSVIT, DIGESSIT,
EMENDATIORE INTERPRETATIONE, VARIETATE LECTIONIS, ADNOTATIONIBVS, INDICIBVS ILLVSTRAVIT

IOHANNES SCHWEIGHÆVSER
ARGENTORATENSIS.

TOMVS TERTIVS.
RELIQVIÆ LIBRORVM VIII.—XVI.

LIPSIAE
IN LIBRARIA WEIDMANNIA
MDCCXC.

Digitized by Google

Digitized by Google

ΤΗΣ ΟΓΔΟΗΣ ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.

CAVTIO NECESSARIA IN FIDE ADHIBENDA HOSTI.

Ol. 141. 2. A. V. 540.

I. Prudentissimi interdum capiuntur ab improbis.

Περὶ δὲ τῶν τοιούτων περιπετειῶν πότερα χρὴ τοῖς πάσχουσιν ἐπιτιμᾶν, ἢ συγγνώμην ἔχειν, καθόλου μὲν οὐκ ἀσφαλὲς ἀποφήνασθαι, διὰ τὸ καὶ πλείους, τὰ κατὰ λόγον πάντα πράξαντας, ὅμως ὑποχειρίους γεγονέναι τοῖς ἑτοίμως τὰ παρ' ἀνθρώ-
2 ποις ὡρισμένα δίκαια παραβαίνουσιν. οὐ μὴν οὐδ' αὐ-

Cap. I. 1. Titulus *in ora Cod. Vrb. eſt*: Περὶ τοῦ μὴ ἄνευ ἀσφαλείας τοῖς ἐχθροῖς ἐνδιδόναι.

LIBRI OCTAVI HISTORIARVM POLYBII RELIQVIAE.

I.

Excerpt. antiq. ex Lib. VIII. cap. 1 & 2.

Quod ad hujusmodi attinet calamitates, utrumne reprehenſione digni ſint, quibus illæ eveniunt, an venia ſit danda; in univerſum quidem pronunciare, periculoſa res eſt: quum accidere multis ſoleat, ut, poſtquam omnia ratione recta adminiſtraverint, eorum tamen in poteſtatem deveniant, qui conſenſu gentium ſancita jura violare paratum habent. At non ideo præ

igna-

Digitized by Google

Ol. 141. 2. τόθεν ἀποστατέον τῆς ἀποφάσεως ἀργῶς· ἀλλὰ, βλέποντα πρὸς τοὺς καιροὺς καὶ τὰς περιστάσεις, οἷς μὲν ἐπιτιμητέον τῶν ἡγεμόνων, οἷς δὲ συγγνώμην δοτέον. ἔσται δὲ τὸ λεγόμενον δῆλον ἐκ τούτων. Ἀρχίδαμος, ὁ τῶν Λακεδαιμονίων βασιλεὺς, ὑπιδόμενος τὴν Κλεομένους φιλαρχίαν, ἔφυγεν ἐκ τῆς Σπάρτης· μετ' οὐ πολὺ δὲ πάλιν πεισθεὶς, ἐνεχείρισεν ἑαυτὸν τῷ προειρημένῳ. στοιχαροῦν ἅμα τῆς ἀρχῆς καὶ τοῦ βίου στερηθεὶς, οὐδ' ἀπολογίαν αὐτῷ κατέλιπε πρὸς τοὺς ἐπιγιγνομένους. τῆς γὰρ ὑποθέσεως τῆς αὐτῆς μενούσης, τῆς δὲ Κλεομένους φιλαρχίας καὶ δυναστείας ἐπηυξημένης, ὁ τούτοις ἐγχειρίσας αὑτὸν, οὓς φυγὼν πρότερον, ἔτυχε παραδόξως τῆς σωτηρίας, πῶς οὐκ εὐλόγως ἔμελλε τοῖς προειρημένοις ἐγκυρήσειν; Καὶ μὴν Πελοπίδας ὁ Θη-

Alii sua imprudentia capiuntur. Archidamus.

Pelopidas.

3. ἑαυτὸν cum Vrſino dedit Caſaub. αὐτὸν Herv. Regii & Veſont. αὐτὸν Aug. Tub. 4. αὐτῷ correxit Caſaub. Poterat & αὐτῷ ſcribi. Mendoſe αὐτῶν dant codd. omnes. 5. Verba καὶ δυναστείας, quæ abſunt vulgo, adſcivi ex cod. Vrb. Habet eadem Aug. in marg. ab antiqua manu. Ibid. ἐγχειρ. αὐτὸν. Plerique miſti ἐγχειρ. αὐτόν.

ignavia ab omni pronunciato abſtinendum eſt; verum, habita ratione quæ temporum qua circumſtantiarum; alii reprehendendi ſunt duces, aliis venia danda. Id ita eſſe, ut dico, exempla hujusmodi evincunt. *Archidamus* rex Lacedæmoniorum, ſuſpectam habens *Cleomenis* dominandi libidinem, Sparta aufugit: idem haud multo poſt contrarium rurſus perſuaſus, ejusdem ſe fidei permittit. Is igitur, imperio ſimul ac vita orbatus, ne excuſandi quidem ſui rationem ullam poſteris reliquit. Vbi enim, rebus eisdem manentibus, aucta vero etiam Cleomenis amita eſſe, ut dico, exempla hujusmodi evincunt. *Archidamus* rex Lacedæmoniorum, ſuſpectam habens *Cleomenis* dominandi libidinem, Sparta aufugit: idem haud multo poſt contrarium rurſus perſuaſus, ejusdem ſe fidei permittit. Is igitur, imperio ſimul ac vita orbatus, ne excuſandi quidem ſui rationem ullam poſteris reliquit. Vbi enim, rebus eisdem manentibus, aucta vero etiam Cleomenis amita & poteſtate, eorum manibus ultro ſe is permittebat, quos antea quum fugeret, miraculo ſalutem fuerat nactus; ſane quam rationi adprime conſentaneum erat, ipſum illo modo, quem diximus, fore periturum. Similiter *Pelopidas* Thebanus,

Digitized by Google

ὁ Θηβαῖος, εἰδὼς τὴν Ἀλεξάνδρου τοῦ τυραννου παρανομίαν, καὶ σαφῶς γινώσκων, ὅτι πᾶς τύραννος πολεμιωτάτους αὐτῷ νομίζει τοὺς τῆς ἐλευθερίας προεστῶτας, αὐτὸς οὐ μόνον τῆς Θηβαίων, ἀλλὰ καὶ τῆς τῶν Ἑλλήνων δημοκρατίας ἔπεσθεν Ἐπαμεινώνδαν προεστῶναι· καὶ παρὼν εἰς Θετταλίαν πολέμιος ἐπὶ καταλύσει τῆς Ἀλεξάνδρου μοναρχίας, προσβεύειν πρὸς τοῦτον ὑπέμεινε δεύτερον. τοιγαροῦν γενόμενος ὑποχείριος τοῖς ἐχθροῖς, ἔβλαψε μὲν Θηβαίους μεγάλα, κατέλυσε δὲ τὴν αὐτῷ προγεγενημένην δόξαν, εἰκῇ καὶ ἀκρίτως πιστεύσας οἷς ἥκιστ' ἐχρῆν. Παραπλήσια δὲ τούτοις καὶ Γναῖος ὁ Ῥωμαίων στρατηγὸς ἔπαθε κατὰ τὸν Σικελικὸν πόλεμον, ἀλόγως αὐτὸν ἐγχειρίσας τοῖς πολεμίοις. ὁμοίως δὲ καὶ πλείους ἕτεροι. A.V. 540. Cn. Cornelius.

A 4 Διὸ

6. εἰδὼς cum Vrſino correxit Caſaub. εἰπὼν corrupte dant mſti. Ibid. αὐτῷ νομίζει. Sic correxi, quum in Vrb. Aug. Regiis & Veſont. eſſet αὐτῶν νομίζει. Vulgo edebatur αὐτοῦ νομίζει. 8. αὐτῷ προγεγ. ex conject. mſſus ſcripſi, pro vulgato αὐτῶν. 9. Γναῖος. Vulgo omnes Γάϊος.

nus, *Alexandri* tyranni ingenium ſceleſtum habens compertum, probe etiam ſciens, omnem tyrannum infeſtiſſimos ſibi hoſtes ducere publicæ libertatis propugnatores; quum non ſolum ipſe libertatem populi Thebani propugnaret, ſed & Epaminondæ perſuaſiſſet ut univerſæ Græciæ libertatem tutandam ſuſciperet; idem, poſtquam ad evertendam Alexandri monarchiam ac tyrannidem in Theſſaliam infeſtus venit, bis ad eumdem legationem ſuſcipere ſuſtinuit. Igitur captus ab hoſtibus, & rebus Thebanorum plurimum nocuit, & gloriam ſuam, rebus antea geſtis partam, evertit; quod temere & nullo judicio fidem iis habuiſſet, quibus nulla erat habenda. Similis horum calamitas *Cnæi Cornelii*, Conſulis Romani, bello Siculo fuit, quia imprudenter hoſtibus ſeſe crediderat. Eademque aliis pariter acciderunt multis.

2. Quare

Digitized by Google

Ol. 141. 2. II. Idonea fidei pignora capienda.

Διὸ καὶ τοῖς μὲν ἀσκέπτως ἑαυτοὺς ἐγχειρίζουσι τοῖς ὑπεναντίοις ἐπιτιμητέον· τοῖς δὲ τὴν ἐνδεχομένην πρόνοιαν ποιουμένοις οὐκ ἐγκλητέον. Τὸ μὲν γὰρ μηδενὶ πιστεύειν εἰς τέλος, ἄπρακτον· τὸ δὲ, λαβόντα τὰς ἐνδεχομένας πίστεις, πράττειν τὸ κατὰ λόγον, ἀνεπιτίμητον. Εἰσὶ δ' ἐνδεχόμεναι πίστεις, ὅρκοι, τέκνα, γυναῖκες, τὸ μέγιστον, ὁ προγεγονὼς βίος. ἢ καὶ τὸ διὰ τῶν τοιούτων ἀλογηθῆναι καὶ περιπεσεῖν, οὐ τῶν πασχόντων, ἀλλὰ τῶν πραξάντων ἐστὶν ἔγκλημα. Διὸ καὶ μάλιστα μὲν τὰς τοιαύτας ζητεῖν πίστεις δεῖ, δι' ὧν ὁ πιστευθεὶς οὐ δυνήσεται τὴν πίστιν ἀθετεῖν. Ἐπεὶ δὲ σπάνιον εὑρεῖν ἐστι τὸ τοιοῦτον· δεύτερος ἂν εἴη πλοῦς τὸ τῶν κατὰ λόγον φροντίζειν, ἵνα, ἄν που καὶ σφαλώμεθα, τῆς παρὰ τοῖς ἐκτὸς συγγνώμης μὴ

Sed & cautus capi potest:

II. 4. ἢ καὶ *correxi cum Reiskio.* εἰ καὶ *Herv. & Med.* ἢ καὶ *Aug. Regii, Vesont. Tubing. Priorem particulam prorsus omisit Casaub.* Ibid. ἀλογηθῆναι. *Correxit Casaubonus mendosum* ἀναλογηθῆναι, *quod dabant codices.* 5. πίστεις δεῖ. *Verbum, quod aberat a libris, ex conject. adjecit Casaub.* 6. κατὰ λόγον. *Mendose in libris est* κατ' ὀλίγον.

2. Quare digni sunt reprehensione, qui temere suorum hostium fidei se permittunt: illi vero non sunt culpandi, qui mature, prout possunt, sibi cavent. Nam credere quidem prorsus nemini, amittere est facultatem rerum gerendarum: at, ubi pignora fidei quæ quidem res fert acceperis, si, quod ratio suadeat, feceris, culpa omni cares. Sunt autem *fidei vincula* probabilia, jusjurandum, liberi, uxores, & maximum omnium anteacta vita. Per ista igitur fuisse deceptum, & in fraudem esse delapsum, non ejus, qui dolo captus fuerit, sed ejus, qui dolum struxerit, proprium est crimen. Quamobrem præcipuum quidem illud est, ut vincula fidei ejusmodi accipiamus, per quæ is, cui fidimus, mutare fidem nequeat. Sed quoniam raro talia vincula reperiuntur; altera hæc via fuerit, ut omnia quæ evenire possunt provideamus; quo, si forte offenderimus, veniam

Digitized by Google

7 μὴ διαμαρτάνωμεν. ὃ καὶ περὶ πλείους μὲν δὴ γεγέ- A.V.540.
νηται τῶν πρότερον· ἐναργέστερον δ' ἔσται, καὶ τοῖς
καιροῖς ἔγγιστον τοῖς ὑπὲρ ὧν ὁ νῦν δὴ λόγος ἐνέστη-
8 κε, τὸ κατ' Ἀχαιὸν συμβάν. ὃς, οὐδὲν τῶν ἐνδεχο- quod
μένων πρὸς εὐλάβειαν καὶ πρὸς ἀσφάλειαν παρα- Achæo
λιπὼν, ἀλλ' ὑπὲρ ἁπάντων προνοηθεὶς, ἐφ' ὅσον ἀν- accidit.
θρωπίνη γνώμη δυνατὸν ἦν, ὅμως ἐγένετο τοῖς ἐχθροῖς
9 ὑποχείριος. τό γε μὴν συμβὰν ἔλεον μὲν τῷ παθόν-
τι καὶ συγγνώμην ἀπεργάσατο παρὰ τοῖς ἐκτὸς,
διαβολὴν δὲ καὶ μῖσος τοῖς πράξασιν.

II.

INGENS MOLES BELLI PVNICI SECVNDI.

Οὐκ ἀλόγιστον εἶναί μοι δοκεῖ τῆς ὅλης ἡμῶν ἐπι- III.
βολῆς καὶ τῆς ἐν ἀρχαῖς προθέσεως, συνεπιστῆσαι

7. ἐναργέστ. ἐναργέστερον *Vrb. Ang. Regii, Veſont.* 9. παρὰ τοῖς. *Misti πᾶσι τοῖς, ſed παρὰ dat ora Aug. antiqua manu, hinc & ora Herv. Vnde Caſaub. edidit παρὰ πᾶσι τοῖς.*

III. 1. Titulus *in ora Cod. Vrb. eſt:* Περὶ τοῦ πρὸς οὓς ἀντέσχον οἱ Ῥωμαῖοι.

veniam certe extranei nobis tribuant. Cujus rei exempla quum antea in multis fuerint edita: tum illud eſt luculentiſſimum, & temporibus eis, de quibus nunc agimus, proximum, quod in *Achæo* eſt editum. Hic enim, quum nihil quidquam eorum prætermiſiſſet, quæ ad cautionem & ſecuritatem adhiberi poterant, atque adeo omnibus proſpexiſſet rebus, quantum humano conſilio fieri ejus poterat; in hoſtium tamen poteſtatem devenit. Ceterum illius calamitas ita ab extraneis eſt accepta, ut & miſerarentur ipſum, veniamque ei tribuerent; eos vero, qui auctores calamitatis fuerant, accuſarent odioque haberent.

II.

Excerpt. antiq. ex Lib. VIII. *cap.* 3 & 4.

3 Non fuerit, ut equidem exiſtimo, alienum ab uni- verſo incepto meo, & eo, quem a principio mihi propoſui, ſcopo, lectores ſimul exci-

Digitized by Google

Ol. 141. 2. Pervicacia Romanorum Pœnorumque in gerendo bello.

τοὺς ἀκούοντας ἐπὶ τὸ μεγαλεῖον τῶν πράξεων, καὶ τὸ φιλότιμον τῆς ἑκατέρου τοῦ πολιτεύματος προαιρέσεως, λέγω δὲ τοῦ Ῥωμαίων καὶ Καρχηδονίων. Τίς γὰρ οὐκ ἂν ἐπισημήναιτο, πῶς, τηλικοῦτον μὲν 2 πόλεμον συνεσταμένοι περὶ τῶν κατὰ τὴν Ἰταλίαν πραγμάτων, οὐκ ἐλάττω δὲ τούτου περὶ τῶν κατὰ τὴν Ἰβηρίαν, ἀκμὴν δὲ περὶ τούτων ἀδήλους μὲν ἔχοντες ἐπ' ἴσον ἀμφότεροι τὰς ὑπὲρ τοῦ μέλλοντος ἐλπίδας, ἐφαμίλλους δὲ τοὺς κατὰ τὸ παρὸν ἐνεστῶτας κινδύνους, ὅμως οὐκ ἠρκοῦντο ταῖς προκειμέ- 3 ναις ἐπιβολαῖς, ἀλλὰ καὶ περὶ Σαρδόνος καὶ Σικελίας ἠμφισβήτουν, καὶ πάντα περιελάμβανον, οὐ μόνον ταῖς ἐλπίσιν, ἀλλὰ καὶ ταῖς χορηγίαις καὶ ταῖς παρασκευαῖς; Ὃ καὶ μάλιστ' ἄν τις εἰς τὸ κατὰ 4 μέρος ἐμβλέψας θαυμάσειε. δύο μὲν γὰρ Ῥωμαίοις κατὰ

2. τηλικοῦτον μὲν πόλεμον ingenio debetur Casauboni. Libri omnes τηλικούτων μὲν πόλεων. Ibid. τούτου περὶ τῶν. Sic Vrb. & Med. τούτου τῶν κατὰ Herv. cum cett. codd. Hinc τούτου τὸν κατὰ effecit Casaub. 3. ἠμφισβήτουν. ἀμφισβήτουν Vrb. Aug. Regii, Vesont. Tubing.

excitare ad *magnitudinem rerum gestarum* considerandam, & in suscepta semel voluntate pervicacem utriusque reipublicæ, *Romanorum* dico *& Pœnorum*, *constantiam*. Nam quis non arbitretur, dignum observatione ac admiratione esse, quod, quum tantum jam bellum de *Italiæ* imperio conflatum haberent, nec minus isto aliud de imperio *Hispaniæ*, quumque de eorum exitu pariter ambo tunc cum maxime spes haberent incertas, denique ambos æqualia præliorum pericula manerent; iidem tamen, susceptarum rerum mole non contenti, etiam de *Sardinia* & *Sicilia* controversiam sibi moverint, omniaque non spe solum sint complexi, sed etiam commeatibus & rerum necessariarum apparatibus ad omnia sufficerint? Quod impensius mirabitur aliquis, si particulatim quæque inspexerit. Præsidebant enim

Digitized by Google

κατὰ τὴν Ἰταλίαν μετὰ τῶν ὑπάτων ἐντελῆ προε- A.V.540.
κάθητο στρατόπεδα, δύο δὲ κατὰ τὴν Ἰβηρίαν Magni ubique terrarum apparatus.
ὧν τὸ μὲν πεζὸν Γναῖος εἶχε, τὸ δὲ ναυτικὸν Πόπλιος.
5 Οἰκείας δὲ ταῦτα συνέβαινε γίγνεσθαι καὶ παρὰ
6 Καρχηδονίοις. Καὶ μὴν τοῖς κατὰ τὴν Ἑλλάδα τό-
ποις ἐφώρμει καὶ ταῖς ἐπιβολαῖς τοῦ Φιλίππου στό-
λος, ἐφ' οὗ τὸ μὲν πρῶτον Μάρκος Οὐαλέριος, μετὰ
7 δὲ ταῦτα Πόπλιος ἐπέπλει Σουλπίκιος. ἅμα δὲ τού-
τοις, Ἄππιος μὲν ἑκατὸν πεντηρικοῖς σκάφεσι,
Μάρκος δὲ Κλαύδιος πεζικὰς ἔχων δυνάμεις, ἐφή-
8 δρευε τοῖς κατὰ τὴν Σικελίαν. τὸ δ' αὐτὸ τοῦτο
Ἀμίλκας ἐποίει παρὰ Καρχηδονίοις.

Διὸ ὧν ὑπολαμβάνω, τὸ πολλάκις ἐν ἀρχαῖς ἡμῖν IV.
τῆς πραγματείας εἰρημένον, νῦν δι' αὐτῶν τῶν ἔργων Historiæ particularis imperfectio.
4 ἀληθινὴν λαμβάνειν πίστιν. τοῦτο δ' ἦν, ὡς οὐχ
οἷόν τε διὰ τῶν τὰς κατὰ μέρος ἱστορίας γραφόντων
3 συνθεάσασθαι τὴν τῶν ὅλων οἰκονομίαν. Πῶς γὰρ
ἐνδέχεται, ψιλῶς αὐτὰς καθ' αὑτὰς ἀναγνόντα τὰς

Σικε-

5. παρὰ Καρχ. ex Suida adscivi. Vulgo mendose καὶ πᾶσι Καρχ.

enim in *Italia* duo justi exercitus cum Consulibus: duo item in *Hispania* cum *Scipionibus:* quorum pedestrem *Cnæus* habebat, maritimum *Publius*. Et apud *Carthaginienses* quoque similis exercituum ratio fuit. Erat præterea in statione classis, ad *Græciæ* loca & Philippi consilia observanda, cui primo *Marcus Valerius* præfuit, deinde *Publius Sulpicius*. Ad hæc *Appius* centum quinqueremibus, *M. Claudius* cum pedestribus copiis *Siciliæ* rebus imminebat. Idemque apud Carthaginienses etiam *Hamilcar* faciebat.

4. Atque ita, quod sæpe dictum nobis per initia operis, nunc rebus ipsis vere comprobatum esse arbitror: illud nempe, *fieri non posse, ut per illos, qui particulares Historias scribunt, totius rerum summæ dispositio innotescat.* Quomodo enim fieri queat, ut, qui nudas per se

Digitized by Google

Ol. 141. 2. Σικελικὰς, ἢ τὰς Ἰβηρικὰς πράξεις, γνῶναι καὶ μαθεῖν ἢ τὸ μέγεθος τῶν γεγονότων, ἢ, τὸ συνέχον, τίνι τρόπῳ καὶ τίνι γένει πολιτείας τὸ παραδοξότατον καθ' ἡμᾶς ἔργον ἡ τύχη συνετέλεσε; τοῦτο δ' 4 ἔστι, τὸ πάντα τὰ γνωριζόμενα μέρη τῆς οἰκουμένης ὑπὸ μίαν ἀρχὴν καὶ δυναστείαν ἀγαγεῖν, ὃ πρότερον οὐχ εὑρίσκεται γεγονός. Πῶς μὲν γὰρ εἷλον Συρα- 5 κούσας Ῥωμαῖοι, καὶ πῶς Ἰβηρίαν κατέσχον, οὐκ ἀδύνατον καὶ διὰ τῶν κατὰ μέρος ἐπὶ ποσὸν γνῶναι συντάξεων. πῶς δὲ τῆς ἁπάντων ἡγεμονίας καθί- 6 κοντο, καὶ τί πρὸς τὰς ὁλοσχερεῖς αὐτοῖς ἐπιβολὰς τῶν κατὰ μέρος ἀντέπραξε, καὶ τί πάλιν, καὶ κατὰ τίνας καιροὺς συνέργησε, δυσχερὲς καταλαβεῖν ἄνευ τῆς καθόλου τῶν πράξεων ἱστορίας· οὐ μὴν τὸ 7 μέγεθος τῶν ἔργων, οὐδὲ τὴν τοῦ πολιτεύματος δύ-

Historiae universalis utilitas.

ναμιν

IV. 7. οὐ μὴν. *Forſ.* οὐ μὴν οὐδὲ τὸ μέγ.

ſe res Siculas aut Hiſpanicas legat, is aut magnitudinem eorum quæ geſta ſunt cognoſcat intelligatve, aut, quod præcipuum eſt, quomodo, quove adminiſtrandæ reipublicæ genere opus omnium, quæ memoria noſtra geſta ſunt, maxime admirabile *fortuna* perfecerit: ſcilicet, ut *omnes orbis terrarum cognitas ad hanc diem partes uni imperio ac dominatui ſubjiceret*; quod numquam antea factum invenitur. Nam, Syracuſas quidem quomodo ceperint Romani, & quomodo Hiſpania ſint potiti, etiam ex particularibus Hiſtoriis aliquatenus poſſe cognoſci, non negaverim: at, quomodo imperium in omnes ſint conſecuti, &, quid in partibus propoſito ipſorum de orbis totius imperio obſtiterit, aut quid rurſus, & quibus occaſionibus, conatus eorum adjuverit, id ſane absque *univerſali rerum geſtarum Hiſtoria* difficile eſt animo complecti. Quas etiam ob easdem cauſſas neque magnitudinem rerum geſtarum, neque

Digitized by Google

ναμιν εὐμαρὲς κατανοῆσαι, διὰ τὰς αὐτὰς αἰτίας. A.V.540.
8 Τὸ γὰρ ἀντιποιήσασθαι Ῥωμαίους Ἰβηρίας, ἢ πάλιν Hiſtoriæ univerſalis utilitas.
Σικελίας, καὶ στρατεῦσαι πεζικαῖς καὶ ναυτικαῖς
δυνάμεσιν, αὐτὸ καθ' αὐτὸ λεγόμενον, οὐκ ἂν εἴη
9 θαυμαστόν. ἅμα δὲ τούτων συμβαινόντων, καὶ
πολλαπλασίων ἄλλων κατὰ τὸν αὐτὸν καιρὸν ἐπιτε-
λουμένων ἐκ τῆς αὐτῆς ἀρχῆς καὶ πολιτείας, καὶ
θεωρουμένων ὁμοῦ τούτοις τῶν κατὰ τὴν ἰδίαν χώ-
ραν ὑπαρχουσῶν περιστάσεων καὶ πολέμων περὶ
10 τοὺς ἅπαντα τὰ προειρημένα χειρίζοντας· οὕτως
ἂν εἴη μόνον σαφῆ τὰ γεγονότα, καὶ θαυμαστά,
καὶ μάλιστ' ἂν οὕτω τυγχάνοι τῆς ἁρμοζούσης ἐπι-
11 στάσεως. Ταῦτα μὲν οὖν ἡμῖν εἰρήσθω πρὸς τοὺς
ὑπολαμβάνοντας, διὰ τῆς τῶν κατὰ μέρος συντά-
ξεως ἐμπειρίαν ποιήσασθαι τῆς καθολικῆς καὶ κοινῆς
ἱστορίας.

III.

9. πολλαπλασίων. πολυπλασίων Herv. Aug. Regii, Veſont. Tubing. πολλοπλασίων Vtb. 10. μόνον. μόνος adfertur ex Vtb. μόνως fato velnit, quod verum judico.

neque vim reipublicæ hujus, percipere facile queas. Nam, Romanos occupatum iſſe Hiſpaniam aut Siciliam, & navalibus terreſtribusque copiis bellum geſſiſſe, id, ſi per ſe narretur & ſeparatim, nihil admiratione admodum dignum habere videatur. Sed, ſi hæc ſimul fiant, & longe item plura his alia eodem tempore ab eodem imperio ac republica perficiantur; ſi etiam una cum his ſpectentur calamitates & bella, quæ in ſuismet finibus iidem ſuſtinuerunt, qui ſuperiora illa omnia gerebant: ita demum perſpicuæ fient res geſtæ, & apparebunt mirabiles: & hæc unica eſt ratio illas ſic conſiderandi, ut oportet. Atque hæc dicta nobis adverſus eos ſunto, qui e ſcriptione res particulares enarrante, *generalis & communis Hiſtoriæ* notitiam aſſecuturos ſe autumant.

III.

Digitized by Google

Ol. 141. 2.

III.

OPPVGNATIO SYRACVSARVM.

V. Appius terra oppugnat Syracusas.

Οἱ δὲ Ῥωμαῖοι, πολιορκοῦντες τοὺς Συρακουσίους, ἔργου εἴχοντο· Ἄππιος δ' ἦν ἡγεμών. καὶ τῇ μὲν πεζῇ δυνάμει κατὰ τὴν Σκυθικὴν στοὰν προσαγορευομένην, καθ' ἣν ἐπ' αὐτῆς κεῖται τῆς κρηπίδος τὸ τεῖχος παρὰ θάλασσαν, περιστοιχίσαντες, ἑτοιμασάμενοί τε γέφυρα καὶ βέλη καὶ τἄλλα, τὰ πρὸς τὴν πολιορκίαν, ἐν ἡμέραις πέντε διὰ τὴν πολυχειρίαν κατήλπισαν καταταχήσειν ἐν τῇ παρασκευῇ τοὺς ὑπεναντίους· οὐ λογισάμενοι τὴν Ἀρχιμήδους δύναμιν, οὐδὲ περιϊδόμενοι, διότι μία ψυχὴ τῆς ἁπάσης ἐστὶ πολυχειρίας ἐν ἐνίοις καιροῖς ἀνυστικωτέρα. πλὴν τότε δι' αὐτῶν ἔγνωσαν τῶν ἔργων τὸ λεγόμενον.

Archimedis solertia.

Cap. V. *Ante hanc Historiam reponendum* Fragm. de Fraude Hippocratis & Epicydis: Ἐκπέμπουσι τῶν Κρητῶν τινας, ὡς ἐπὶ λῃστείαν, δόντες ἐπιστολὴν διεσκευασμένην. *Apud Suidam in* Διεσκευασμ. 2. Σκυθικὴν edidit Gron. Σκυτικὴν est in edit. Patriss. Heronis. An Τυχικὴν vel Τυκικὴν? Tychicam porticum?

III.

Ex Suida: tum ex HERONE, *de Toleranda Obsidione.*

5. Romani, *Syracusas* oppugnantes sedulo urgebant opus: præsidebat autem *Appius*. Et quum pedestribus quidem copiis ab ea parte, qua est *Scythica porticus*, quam vocant, ubi ipsi crepidini murus juxta mare insistit, corona cinxissent urbem; expeditis vineis, telis, reliquisque quæ sunt oppugnantibus usui, intra quintum diem propter operantium multitudinem, sperabant fore, ut in apparandis rebus omnibus hostem præverterent: nempe non reputantes *Archimedis* vim ac dexteritatem; neque prospicientes, *unius nonnumquam hominis mentem quamvis innumeris esse manibus efficaciorem*. Sed id quidem tunc ipso

Digitized by Google

4 νον. Οὔσης γὰρ ὀχυρᾶς τῆς πόλεως, διὰ τὸ κεῖσθαι A.V.540.
κύκλῳ τὸ τεῖχος ἐπὶ τόπων ὑπερδεξιῶν καὶ προκειμένης ὀφρύος, πρὸς ἣν καὶ μηδενὸς κωλύοντος οὐκ ἂν εὐμαρῶς τις δύναιτο πελάσαι, πλὴν κατά τινας
5 τόπους ὡρισμένους· τοιαύτην ἡτοίμασε παρασκευὴν ὁ προειρημένος ἀνὴρ ἐντὸς τῆς πόλεως, ὁμοίως δὲ καὶ πρὸς τοὺς κατὰ θάλασσαν ἐπιπορευομένους, ὥστε μηδὲν ἐκ τοῦ καιροῦ δεῖν ἀσχολεῖσθαι τοὺς ἀμυνομένους, πρὸς πᾶν δὲ τὸ γιγνόμενον ὑπὸ τῶν
6 ἐναντίων ἐξ ἑτοίμου ποιεῖσθαι τὴν ἀπάντησιν. Πλὴν Hexapyla.
ὁ μὲν Ἄππιος, ἔχων γέφυρα καὶ κλίμακας, ἐνεχείρει προσφέρειν ταῦτα τῷ συνάπτοντι τείχει τοῖς Ἑξαπύλοις ἀπὸ τῶν ἀνατολῶν.

Ὁ δὲ Μάρκος ἑξήκοντα σκάφεσι πεντηρικοῖς ἐποιεῖτο τὸν ἐπίπλουν ἐπὶ τὴν Ἀχραδινήν, ὧν ἕκα- VI. Marcellus classe Achradinam aggreditur.
στον

5. Poſt ἐντὸς τῆς πόλεως intercidêrunt fortaſſe verba πρὸς τοὺς κατὰ γῆν vel his ſimilia.
VI. Titulus in ora Cod. Vrb. eſt: Μαρκέλλου καὶ Ἀρχιμήδους κατ' ἀλλήλων ἐπίνοιαι.

ipſo uſu didicerunt. Cum enim urbs eſſet munitiſſima, utpote cujus murus præaltis locis ac prominenti ſupercilio erat impoſitus, ad quod etiam nullo prohibente nemo facile acceſſerit, niſi certis quibusdam ac definitis locis; tantos vir ille intra mœnia collegerat apparatus, pariterque adverſus eos qui à mari eſſent adgreſſuri, ut nihil eſſet, quod multo negotio ad defendendum ex tempore comparare cogerentur oppidani; ſed ut omnibus, quæ ab hoſte tentarentur, promte poſſent occurrere. *Appius* igitur, comparatis rebus omnibus, vineas ſcalasque muro admovere, qua ad *Hexapyla* pertinet ab oriente, inſtituebat.

Excerpt. antiq. ex Lib. VIII. *cap.* 5 - 8.

6. *Marcus* vero *Marcellus* mari *Achradinam* ſexaginta quinqueremibus petebat, quæ erant omnes refertæ

Ol.141.2. στον πλῆρες ἦν ἀνδρῶν ἐχόντων τόξα καὶ σφενδόνας καὶ γρόσφους, δι' ὧν ἔμελλον τοὺς ἀπὸ τῶν ἐπάλξεων μαχομένους ἀναστέλλειν. ἅμα δὲ τούτοις ὀκτὼ πεν- 2
τήρεσι, παραλελυμέναις τοὺς ταρσοὺς, ταῖς μὲν τοὺς δεξιοὺς, ταῖς δὲ τοὺς εὐωνύμους, καὶ συνεζευγμέναις πρὸς ἀλλήλας σὺν δύο κατὰ τοὺς ἐψιλωμένους τοίχους, προσῆγον πρὸς τὸ τεῖχος διὰ τῆς τῶν ἐκτὸς τοίχων εἰρεσίας τὰς λεγομένας Σαμβύκας.

Sambucæ Marcelli. Τὸ δὲ γένος τῆς κατασκευῆς τῶν εἰρημένων ὀργάνων 3
ἐστὶ τοιοῦτον. Κλίμακα τῷ πλάτει τετράπεδον 4
ἑτοιμάσαντες, ὥστε ἐξ ἀποβάσεως ἰσοϋψῆ γενέσθαι τῷ τείχει, ταύτης ἑκατέραν τὴν πλευρὰν δρυφακτώσαντες, καὶ σκεπάσαντες ὑπερπετέσι θωρακίοις, ἔθηκαν πλαγίαν ἐπὶ τοὺς συμψαύοντας τοίχους τῶν συνεζευγμένων νεῶν, πολὺ προπίπτουσαν τῶν ἐμβόλων. πρὸς δὲ τοῖς ἱστοῖς ἐκ τῶν ἄνω 5
μερῶν τροχιλίαι προσήρτηντο σὺν κάλοις. Λοιπὸν, 6
ὅταν

2. παραλελυμέναις. *Verbum, varie depravatum in mss. & editis, correxi ex Herone.* Ibid. Σαμβύκας. Σάμβυκας *vulgo h. l. scribunt.* 4. ἰσοϋψῆ *correxit Casaub.* εἰς ὕψει *ed. Herv. cum mss.: post* εἰς *autem in ora Ang. interseritur* ἴσον. *Apud Heronem est* εἰς ὕψη.

tæ sagittariis, funditoribus, velitibus, qui propugnatores e muro propellerent. Ad hæc quinqueremibus octo, quæ altero remorum ordine ademto (aliis dextro, aliis sinistro) binæ & binæ ab lateribus nudatis junctæ invicem erant, exteriorum laterum remigio muris *Sambucas*, quas vocant, admovebat. Id genus machinamentorum fabrica est hujusmodi. Scalam quatuor latam pedes concinnant, quæ, postquam fuerit ad scandendum erecta, ejusdem cum muro sit altitudinis: hujus utrumque latus cancellis atque loriculis supernæ etiam tegentibus muniunt: deinde cohærentibus copulatarum navium lateribus ex transverso eam imponunt, ultra rostra longe prominentem. In summis vero navium malis trochleæ, & in iis ductarii funes, aptantur.

Vbi

Digitized by Google

ὅταν ἐγλίσωσι τῆς χρείας, ἐνδεδεμένων τῶν κάλων εἰς τὴν κορυφὴν τῆς κλίμακος, ἕλκουσι διὰ τῶν τροχιλιῶν τούτους ἑστῶτες ἐν ταῖς πρύμναις· ἕτεροι δὲ παραπλησίως ἐν ταῖς πρώραις ἐξερείδοντες ταῖς ἀντηρίσιν, ἀσφαλίζουσι τὴν ἄρσιν τοῦ μηχανήματος. κἄπειτα διὰ τῆς εἰρεσίας τῆς ἀφ' ἑκατέρου τῶν ἐκτὸς ταρσῶν ἐγλίσαντες τῇ γῇ τὰς ναῦς, πειράζουσι προσερείδειν τῷ τείχει τὸ προειρημένον ὄργανον. ἐπὶ δὲ τῆς κλίμακος ἄκρας ὑπάρχει πέτευρον ἠσφαλισμένον γέρροις τὰς τρεῖς ἐπιφανείας· ἐφ' οὗ τέτταρες ἐπιβεβηκότες ἀγωνίζονται, διαμαχόμενοι πρὸς τοὺς εἴργοντας ἀπὸ τῶν ἐπάλξεων τὴν πρόσθεσιν τῆς σαμβύκης. ἐπὰν δὲ προσερείσαντες ὑπερδέξιοι γένωνται τοῦ τείχους, οὗτοι μὲν, τὰ πλάγια τῶν γέρρων παραλύσαντες ἐξ ἑκατέρου τοῦ μέρους, ἐπιβαίνουσιν ἐπὶ τὰς ἐπάλξεις ἢ τοὺς πύργους· οἱ δὲ λοιποὶ διὰ τῆς σαμβύκης ἔπονται τούτοις ἀσφαλῶς, τοῖς κάλοις βεβηκυίας τῆς κλίμακος εἰς ἀμφοτέρας τὰς ναῦς. Εἰκότως δὲ τὸ κατασκεύασμα

A.V.540. Sambucæ Marcelli.

Vbi igitur usus postulat, funes capiti scalæ illigatos adducunt qui stant in puppi; pariterque etiam in proris alii, contis aut sublicis connitentes, machinæ erectionem adjuvant & sustentant. Postquam autem remigio lateris utriusque exterioris propius terram ventum, tum vero prædictam machinam muro applicare tentant. Adhæret autem summæ scalæ tabula, tria latera cratibus munita habens; cui insistentes quatuor homines certamen & dimicationem cum iis faciunt, qui e propugnaculis, quominus admoveatur *sambuca*, impediunt. Qua admota, isti, muris superiores facti, solutis ab utroque latere cratibus, in murorum propugnacula vel in turres conscendunt; reliqui vero per sambucam nullo periculo prioribus succedunt, scalæ pedibus utrique navi insistentibus, ac rudentium vinctu firmatis. Merito autem

Ol.141.2. σκεύασμα τῆς προσηγορίας τέτευχε ταύτης· ἐπεὶ δὲ ἐξαρθῇ, γίγνεται τὸ σχῆμα τῆς νεὼς ταύτης καὶ τῆς κλίμακος ἐνοποιηθὲν, παραπλήσιον σαμβύκῃ.

VII. Archimedis machinæ. Πλὴν οὗτοι μὲν, τὸν τρόπον τοῦτον διηρμοσμένοι, προσάγειν διενοοῦντο τοῖς πύργοις. Ὁ δὲ περιρρηγμένος ἀνὴρ, παρεσκευασμένος ὄργανα πρὸς ἅπαν ἐμβελὲς διάστημα, πόρρωθεν μὲν ἐπιπλέοντας τοῖς εὐτονωτέροις καὶ μείζοσι λιθοβόλοις καὶ βέλεσι τιτρώσκων, εἰς ἀπορίαν ἐνέβαλε καὶ δυσχρηστίαν. ὅτε δὲ ταῦθ' ὑπερπετῆ γίγνοιτο, τοῖς ἐλάττοσι κατὰ λόγον ἀεὶ πρὸς τὸ παρὸν ἀπόστημα χρώμενος, εἰς τοιαύτην ἤγαγε διατροπὴν, ὥστε καθόλου κωλύειν αὐτῶν τὴν ὁρμὴν καὶ τὸν ἐπίπλουν· ἕως ὁ Μάρκος δυσθετούμενος ἠναγκάσθη, λάθρα νυκτὸς ἔτι ποιήσασθαι τὴν παραγωγήν. Γενομένων δ' αὐτῶν

2

3

4

5

11. σαμβύκῃ. *Delevi cum Herone & Vrsino articulum τῇ, qui vulgo adjectus erat.*

VII. 2. εὐτονωτ. ἐντονωτέροις *Hero.* 4. νυκτὸς ἔτι *correxi ex conject. Gron. & Reiskii. Vulgo omnes* νυκτὸς ἐποιήσασθαι.

tem huic fabricæ id nominis est inditum: quoniam, ea sublata in altum, figura navis atque scalæ, conjunctim considerata, *sambucæ* est similis.

7. Et isti quidem, rebus hoc modo concinnatis, turres invadere cogitabant. Verum *Archimedes*, de quo ante diximus, tormentis ad quodvis intervallum, quo pertingere ullum teli genus poterat, præparatis, intentioribus quidem & majoribus qua balliſtis qua catapultis procul invadentes Romanos vulnerans, eo difficultatum adigebat, ut, quo se verterent, nescirent. Vbi vero hæc tormenta ultra hostium capita mittere tela cœperunt; minoribus pro ratione præsentis intervalli subinde utens, usque adeo Romanum confudit, ut impetum illius atque invasionem penitus impediret. Ad extremum *Marcellus*, his difficultatibus circumventus, clam silentio noctis naves propius admovere est coactus.

Digitized by Google

τῶν ἐντὸς βέλους πρὸς τῇ γῇ, πάλιν ἑτέραν ἡτοι- A.V.540.
μάκει παρασκευὴν πρὸς τοὺς ἀπομαχομένους ἐκ Archimedis machinæ.
6 τῶν πλοίων. ὡς ἀνδρομήκους ὕψους κατεπύκνωσε
τρήμασι τὸ τεῖχος, ὡς παλαιστιαίοις τὸ μέγεθος
κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν· οἷς τοξότας καὶ σκορ-
πίδια παραστήσας ἐντὸς τοῦ τείχους, καὶ βάλλων
7 διὰ τούτων, ἀχρήστους ἐποίει τοὺς ἐπιβάτας. ἐξ
οὗ καὶ μακρὰν ἀφεστῶτας, καὶ σύνεγγυς ὄντας τοὺς
πολεμίους, οὐ μόνον ἀπράκτους παρεσκεύαζε πρὸς
τὰς ἰδίας ἐπιβολὰς, ἀλλὰ καὶ διέφθειρε τοὺς πλεί-
8 στους αὐτῶν. Ὅτε δὲ τὰς σαμβύκας ἐγχειρήσαιεν
ἐξαίρειν, ὄργανα παρ' ὅλον τὸ τεῖχος ἡτοιμάκει,
τὸν μὲν λοιπὸν χρόνον ἀφανῆ, κατὰ δὲ τὸν τῆς
χρείας καιρὸν ἐκ τῶν ἔσω μερῶν ὑπὲρ τοῦ τείχους
ἀνιστάμενα καὶ προπίπτοντα πολὺ τῆς ἐπάλξεως
9 τοῖς κεραίαις· ὧν τινὰ μὲν ἐβάσταζε λίθους οὐκ

5. τοὺς ἀπομαχ. τοὺς μαχομένους Suidas.

ctus. Quæ poſtquam terræ appropinquaſſent, & interiores eſſent ictibus tormentorum, alium rurſus apparatum adverſus eos, qui e navibus dimicabant, idem vir præſtruxerat. Ex altitudine fere ſtaturæ humanæ crebris cavis murum perforaverat, quæ extrinſecus palmari fere erant magnitudine. Ibi ſagittariis ac ſcorpiunculis ab interiore muri parte appoſitis, per iſtos petens hoſtem, inutilem claſſiariorum Romanorum operam reddebat. Ex quo eveniebat, ut & procul poſitos hoſtes, & in proximo ſtantes, non ſolum quidquam eorum exſequi vetaret, quæ propoſuerant, ſed etiam plurimos illorum occideret. Porro ubi *ſambucas* conarentur erigere, *tollenones* per totum murum diſpoſuerat, quæ reliquo tempore non apparebant; verum, quando opus erat, ab interiore parte ſupra mœnia erigebantur, & longe ultra propugnacula roſtris ſuis prominebant. Horum alii ſaxa non minus ſexcentarum pondo librarum geſta-

Digitized by Google

Ol. 141. 2. Archimedis machinae.

ἐλάττους δέκα ταλάντων, τινὰ δὲ σηκώματα μολίβδινα. λοιπὸν, ὅτε συνεγγίζοιεν αἱ σαμβύκαι, τότε περιαγόμεναι καρχησίῳ πρὸς τὸ δέον αἱ κεραῖαι, διά τινος σχαστηρίας ἀφίεσαν εἰς τὸ κατασκεύασμα τὸν λίθον. ἐξ οὗ συνέβαινε, μὴ μόνον αὐτὸ συνθραύεσθαι τοῦργανον, ἀλλὰ καὶ τὴν ναῦν καὶ τοὺς ἐν αὐτῇ κινδυνεύειν ὁλοσχερῶς.

VIII. Τινά τε τῶν μηχανημάτων πάλιν ἐπὶ τοὺς ἐφορμοῦντας καὶ προβεβλημένους γέρρα, καὶ διὰ τούτων ἠσφαλισμένους πρὸς τὸ μηδὲν πάσχειν ὑπὸ τῶν διὰ τοῦ τείχους φερομένων βελῶν, ἠφίει μὲν καὶ λίθους συμμέτρους πρὸς τὸ φεύγειν ἐκ τῆς πρῴρας τοὺς ἀγωνιζομένους· ἅμα δὲ καὶ καθίει χεῖρα σιδηρᾶν ἐξ ἀλύσεως δεδεμένην, ᾗ θραξάμενος ὁ τὴν κεραίαν οἰακίζων ὅθεν ἐπιλάβοιτο τῆς πρῴρας, κατῆγε τὴν πτέρναν τῆς μηχανῆς ἐντὸς τοῦ τείχους. ὅτε δὲ κουφίζων

VIII. 1. ἐφορμῶντας ex Herone adscivi. Vulgo omnes ἐφορμοῦντας. 2. ἐπιλάβοιτο. ἐπιλάβοι Hero. Ibid. κατῆγε correxit Casaub. Ante eum mendose omnes κατά γε.

gestabant; alii gravia plumbi pondera. Quando igitur appropinquabant sambucae, tum enimvero tollenonum rostra, carchesio circumacta quantum opus est, ope trochleae laxatoriae saxum in fabricam demittebant. Ita fiebat, ut non machina dumtaxat confringeretur, sed & navis quoque ipsa, & qui in ea essent, gravissime periclitarentur.

8. Erant rursus alia machinamenta, quae in hostes invadentes & vineis munitos, atque eorum ope adversus tela per murum missa tutos, partim quidem & saxa dejiciebant ejus magnitudinis, quae satis erat ad pellendos de prora hos qui ibi dimicabant; simul vero etiam *manum ferream* catena religatam demittebant, per quam is, qui rostra machinarum velut navis gubernacula regebat, ubi prehendisset proræ partem, quæcumque prehendi poterat, machinæ calcem, quae erat intra moenia, deorsum adducebat.

Digitized by Google

φίζων τὴν πρῴραν ὀρθὸν ποιήσειε τὸ σκάφος ἐπὶ πρύμναν, τὰς μὲν πρῴρας τῶν ὀργάνων εἰς ἀκίνητον καθῆπτε· τὴν δὲ χεῖρα καὶ τὴν ἅλυσιν ἐκ τῆς μηχανῆς ἐξέρασινε διά τινος σχαστηρίας. οὗ γενομένου, τινὰ μὲν τῶν πλοίων πλάγια κατέπιπτε, τινὰ δὲ καὶ κατεστρέφετο· τὰ δὲ πλεῖστα τῆς πρῴρας ἀφ' ὕψους ῥιφθείσης βαπτιζόμενα, πλήρη θαλάττης ἐγίγνετο καὶ ταραχῆς. Μάρκος δὲ, δυσχερῶς μὲν ἔφερε τὸ συμβαῖνον· ὅμως δ' ἐπισκώπτων τὰς αὐτοῦ πράξεις ἔφη, ταῖς μὲν ναυσὶν αὐτοῦ κυαθίζειν ἐκ θαλάττης Ἀρχιμήδη· τὰς δὲ σαμβύκας βαπτιζομένας, ὥσπερ ἐκσπόνδους μετ' αἰσχύνης ἐκ-

A.V.540. Archimedis machinæ.

Marcelli fcomma.

3. καθῆπτε correxi ex facili conject. καθῆπται dederat Herv. cum mss̃tis, quod in καθίστα ſua auctoritate mutavit Caſaub. 4. ῥιφθείσης Hero dedit. ῥηθείσης Herv. cum mss̃tis omnibus, quod in ῥιφείσης mutavit Caſaub. 6. ἐκσπόνδους. ἐκ πότου eſt apud Athenæum.

ducebat. Poſtquam autem, prora in altum ſublata, navigium in puppim erexerat; tum vero, calcem machinæ alligans, ut immota ſtaret, manum ferream & catenam ope trochleæ laxatoriæ e machina projiciebat. Quo facto, naves aliæ in latus concidebant; aliæ prorſus etiam evertebantur; pleræque, prora ex alto dejecta, plurimis undis magna cum trepidatione vectorum complebantur. Hiſce *Archimedis* inventis quum ad conſilii inopiam redigeretur *Marcellus*, quumque ſua omnia incepta ab oppidanis eludi non absque damno ſuo & opprobrio videret; etſi caſum hunc iniquo animo ferebat; tamen res ſuas ipſe irridens, *Archimedem*, ait, *navibus ſuis ex mari potum infundere; ſambucas vero ſuas cum ignominia fuſtibus e compotatione eſſe ejectas.*

Ac

Ol.141.2. πεπτωκέναι. Καὶ τῆς μὲν κατὰ θάλατταν πολιορ-7
κίας τοιοῦτον ἀπέβη τὸ τέλος.

IX. Appius non felicior Marcello. Οἱ δὲ περὶ τὸν Ἄππιον εἰς παραπλησίους ἐμπε-
σόντες δυσχερείας, ἀπέστησαν τῆς ἐπιβολῆς. ἔτι 2
μὲν γὰρ ὄντες ἐν ἀποστήματι, τοῖς τε πετροβόλοις
καὶ καταπέλταις τυπτόμενοι διεφθείροντο, διὰ τὸ
θαυμάσιον εἶναι τὴν τῶν βελῶν κατασκευὴν, καὶ κα-
τὰ τὸ πλῆθος, καὶ κατὰ τὴν ἐνέργειαν· ὡς ἂν Ἱέ-
ρωνος μὲν χορηγοῦ γεγονότος, ἀρχιτέκτονος δὲ καὶ
δημιουργοῦ τῶν ἐπινοημάτων Ἀρχιμήδους. συνεγ- 3
γίζοντές γε μὴν πρὸς τὴν πόλιν, οἱ μὲν ταῖς διὰ τοῦ
τείχους τοξοτίσιν, ὡς ἐπάνω προεῖπον, κακούμενοι
συνεχῶς, εἴργοντο τῆς προσόδου· οἱ δὲ μετὰ τῶν
γέρρων βιαζόμενοι, ταῖς τῶν κατὰ κορυφὴν λίθων
καὶ δοκῶν ἐμβολαῖς διεφθείροντο. οὐκ ὀλίγα δὲ καὶ 4
ταῖς χερσὶ ταῖς ἐκ τῶν μηχανῶν ἐκακοποίουν, ὡς
καὶ πρότερον εἶπα· σὺν αὐτοῖς γὰρ τοῖς ὅπλοις τοὺς
ἄνδρας

IX. 2. χορηγοῦ. *Alii* ἀρχηγοῦ.

Ac mari quidem tentatæ oppugnationis exitus hic fuit.

9. Sed & *Appius* quum in easdem difficultates incidisset, incepto destitit. Cujus milites, dum adhuc longius aberant, balistis & catapultis icti concidebantur. Erat namque telorum apparatus, tam copia, quam usu atque efficacia, admirabilis: utpote ad quem rex *Hiero* sumtus præbuerat, industriam vero atque inventionem *Archimedes*, operum illorum architectus & opifex. Vbi vero propius murum subibant *Appii* milites, alii e fenestris muralibus, de quibus ante dictum, continuis vulneribus acceptis, accessu prohibebantur: aliis, qui vineis tecti vi conabantur irrumpere, qua saxis qua trabibus recta desuper immissis opprimebantur. Afferebant & illæ e machinis manus, de quibus ante diximus, damnum haud mediocre: etenim sublime abreptos cum ipsis armis viros proji-

Digitized by Google

5 ἄνδρας ἐξαιροῦντες ἐρρίπτουν. Τὸ δὲ πέρας, ἀνα- A.V.540.
χωρήσαντες εἰς τὴν παρεμβολὴν, καὶ συνεδρεύσαν- Oppugnatio in obsidionem mutatur.
τες μετὰ τῶν χιλιάρχων οἱ περὶ τὸν Ἄππιον, ὁμο-
θυμαδὸν ἐβουλεύσαντο πάσης ἐλπίδος πεῖραν λαμ-
βάνειν, πλὴν τοῦ διὰ πολιορκίας ἑλεῖν τὰς Συρα-
6κούσας, ὡς καὶ τέλος ἐποίησαν. ὀκτὼ γὰρ μῆνας
τῇ πόλει προσκαθεζόμενοι, τῶν μὲν ἄλλων στρατη-
γημάτων ἢ τολμημάτων οὐδενὸς ἀπέστησαν· τοῦ δὲ
πολιορκεῖν οὐδέποτε πεῖραν ἔτι λαβεῖν ἐθάῤῥησαν.
7 Οὕτως ἑὶς ἀνὴρ καὶ μία ψυχὴ, δεόντως ἡρμοσμένη Ingenium unius hominis, quantum possit.
πρὸς ἕνια τῶν πραγμάτων, μέγα τι χρῆμα φαίνε-
8ται γίγνεσθαι καὶ θαυμάσιον. Ἐκεῖνοι γοῦν, τηλι-
καύτας δυνάμεις ἔχοντες καὶ κατὰ γῆν καὶ κατὰ
θάλατταν, εἰ μὲν ἀφέλοι τις πρεσβύτην ἕνα Συρα-
κουσίων, παραχρῆμα τῆς πόλεως κυριεύσειν ἤλπι-
9ζον· τούτου δὲ συμπαρόντος, οὐκ ἐθάῤῥουν οὐδ'

4. ἐξαιροῦντες. ἐξαίροντες malim cum Reisk. 7. ψυχὴ correxi. Mendose τύχη Hervag. cum multis: quod in τέχνη mutavit Casaub.

projiciebant. Denique *Appius* cum *Marcello*, ubi se in castra recepissent, in concilium adhibitis Tribunis, de communi omnium sententia constituerunt, ad capiendas *Syracusas* spem omnem esse periclitandam, sola oppugnatione excepta: quod & ad extremum fecerunt. Nam quum menses octo urbem obsiderent; sollertis quidem & vafri consilii vel audacis facinoris nullum exemplum reliquerunt inexpertum; at vi aperta oppugnare numquam amplius sunt ausi. Adeo *vir unus, & unius mens hominis, ad aliquod inceptum recte intenta, vim nonnumquam habere maximam deprehenditur atque admirabilem.* Romani quidem, tot pedestribus maritimisque instructi copiis, si unum *senem Syracusanum* urbe eximeres, oppido statim se potituros existimabant; illo vero præsente & suos adjuvante, ne invadere quidem urbem

Ol. 141. 2. ἐπιβαλέσθαι, κατά γε τοῦτον τὸν τρόπον, καθ' ὃν ἀμύνασθαι δυνατὸς ἦν Ἀρχιμήδης. Οὐ μὴν, ἀλλὰ νομίσαντες, μάλιστ' ἂν ὑπὸ τῆς τῶν ἀναγκαίων ἐνδείας διὰ τὸ πλῆθος τοὺς ἔνδον ὑποχειρίους σφίσι γενέσθαι, ταύτης ἀντείχοντο τῆς ἐλπίδος· καὶ ταῖς μὲν ναυσὶ τὰς κατὰ θάλατταν ἐπικουρίας αὐτῶν ἐκώλυον, τῷ δὲ πεζῷ στρατεύματι τὰς κατὰ γῆν. Βουλόμενοι δὲ μὴ ποιεῖν ἄπρακτον τὸν χρόνον, ἐν ᾧ προσεδρεύουσι ταῖς Συρακούσαις, ἀλλ' ἅμα τι καὶ τῶν ἐκτὸς χρησίμων κατασκευάζεσθαι, διεῖλον οἱ στρατηγοὶ σφᾶς αὐτοὺς καὶ τὴν δύναμιν· ὥστε τὸν μὲν Ἄππιον, ἔχοντα δύο μέρη, προσκαθῆσθαι τοῖς ἐν τῇ πόλει, τὸ δὲ τρίτον ἀναλαβόντα Μάρκον ἐπιπορεύεσθαι τοὺς τὰ Καρχηδονίων αἱρουμένους κατὰ τὴν Σικελίαν.

Terra marique obsidentur Syracusæ.

Marcellus reliquam Siciliam infestat.

IV.

9. ἐπιβαλέσθαι. Vulgo ἐπιβάλεσθαι.

urbem audebant; certe non illo modo, cui impediendo par esset *Archimedes*. Quoniam autem ingens erat inclusorum multitudo, expeditissimam urbis capiendæ rationem esse inopiam commeatuum arbitrabantur Romani, in eamque spem incumbebant. Quæ igitur mari adventare poterant subsidia, classe prohibebant; quæ terra, copiis terrestribus. Ac, ne fine aliquo fructu tempus omne, quo *Syracusas* obsidebant, ipsis periret, sed eadem opera in reliqua Sicilia aliquid e re sua patrarent, exercitum ita partiti sunt imperatores, ut cum duabus partibus urbem obsideret *Appius*, tertiam acciperet *Marcellus*, & per totam insulam fines eorum, qui cum Carthaginiensibus sentiebant, infestaret.

IV.

Digitized by Google

IV.

A.V.540.

RES PHILIPPI.

✲ ✲ ✲

X. Philippi in Meſſenios impietas.

Φίλιππος, παραγενόμενος εἰς τὴν Μεσσήνην, ἔφθειρε τὴν χώραν δυσμενικῶς, θυμῷ τὸ πλεῖον ἢ λογισμῷ χρώμενος. ἤλπιζε γὰρ, ὡς ἐμοὶ δοκεῖ, βλάπτων συνεχῶς, οὐδέποτε ἀγαναχτήσειν οὐδὲ μισήσειν τοὺς κακῶς πάσχοντας. Προήχθην δὲ, καὶ νῦν, καὶ διὰ τῆς προτέρας βίβλου, σαφέστερον ἐξηγήσασθαι περὶ τούτων, οὐ μόνον διὰ τὰς πρότερον ἡμῖν εἰρημένας αἰτίας, ἀλλὰ καὶ διὰ τὸ τῶν συγγραφέων τοὺς μὲν ὅλως παραλελοιπέναι τὰ κατὰ τοὺς Μεσσηνίους, τοὺς δὲ καθόλου, διὰ τὴν πρὸς τοὺς μονάρχους εὔνοιαν ἢ τἀναντία φόβον, οὐχ οἷον ἐν ἁμαρτίᾳ γεγονέναι τὴν εἰς τοὺς Μεσσηνίους ἀσέβειαν Φιλίππου καὶ παρανομίαν, ἀλλὰ τοὐναντίον ἐν ἐπαίνῳ καὶ

perperam a nonnullis ſcriptoribus excuſata.

B 5 κατὰ-

IV.

Excerpt. Valeſian. & deinde Excerpt. antiq. ex Lib. VIII.

✲ ✲ ✲

10. *Philippus, Meſſeniam* ingreſſus, agros hoſtiliter vaſtare cœpit; ira magis, quam conſilio, ductus. Sperabat enim, ut mihi quidem videtur, cum aſſidue aliis damnum inferret, miſeros homines numquam id moleſte laturos, neque ipſum odio habituros eſſe. Ac de his quidem & nunc & ſuperiori Libro enucleatius verba ut facerem impulſus ſum, non ob eas tantum cauſas quas prius adduxi, ſed etiam eo, quod Hiſtoriæ ſcriptores partim damna a Philippo Meſſeniis illata ſilentio prorſus prætermiſerunt, partim, vel benevolentia in principes vel contra metu ducti, impietatem & iniquitatem illam, qua in *Meſſenios* ſæviit *Philippus*, non modo vitio non vertendam, verum etiam tamquam præclarum facinus

Digitized by Google

Ol.141.2. κατορθώματι τὰ πεπραγμένα, διασαφῆσαι ἡμῖν. Οὐ μόνον δὲ περὶ Μεσσηνίους τοῦτο πεποιηκότας ἰδεῖν ἐστι τοὺς γράφοντας τοῦ Φιλίππου τὰς πράξεις, ἀλλὰ καὶ περὶ τῶν ἄλλων παραπλησίως. ἐξ ὧν ἱστορίας μὲν οὐδαμῶς ἔχειν αὐτοῖς συμβαίνει διάθεσιν τὰς συντάξεις, ἐγκωμίου δὲ μᾶλλον. Ἐγὼ δ', οὔτε λοιδορεῖν ψευδῶς, φημὶ, δεῖν τοὺς μοναρχους, οὔτ' ἐγκωμιάζειν, ὃ πολλοῖς ἤδη συμβέβηκεν· τὸν ἀκόλουθον δὲ τοῖς προειρημένοις ἀεὶ καὶ τὸν παρέποντα τοῖς ἑκάστων προαιρέσεσι λόγον ἐφαρμόζειν. Ἀλλ' ἴσως τοῦτ' εἰπεῖν μὲν εὐμαρὲς, πρᾶξαι δὲ καὶ λίαν δυσχερές· διὰ τὸ πολλὰς καὶ ποικίλας εἶναι διαθέσεις καὶ περιστάσεις, αἷς ἕκοντες ἄνθρωποι κατὰ τὸν βίον, οὔτε λέγειν οὔτε γράφειν δύνανται τὸ φαινόμενον. ὧν χάριν τισὶ μὲν αὐτῶν συγγνώμην δοτέον, ἐνίοις γε μὴν οὐ δοτέον.

Difficile est, libere Historiam scribere.

Μάλιστα

facinus in laude ponendam, declaraverunt. Nec vero in his solum, quæ ad Messenios pertinent, idem admissum est ab eis qui *res Philippi* perscripserunt; sed etiam in aliis pariter plerisque. Quo fit, ut illorum commentarii non *Historiæ* speciem, sed *Encomii* potius formam habeant. Ego vero ita existimo, nec vituperari falso, nec laudari reges oportere, quod multi jam fecerunt; sed id agendum, ut, quæ dicas, nec repugnent eis quæ superius scripseris, & cum consiliis atque moribus eorum, de quibus agitur, congruant atque consentiant. At vero fortasse dictu quidem hoc facile est, factu autem inprimis arduum. Multa enim atque varia momenta incidunt ac tempora, quibus cedentes homines, ea, quæ sibi videntur, libere loqui aut scribere vetantur. Quamobrem nonnullis quidem eorum danda est venia, aliis vero minime indulgenda.

II. Ac

Digitized by Google

Μάλιστα δ' ἂν τις ἐπιτιμήσειε περὶ τοῦτο τὸ μέρος Θεοπόμπῳ· ὃς γ' ἐν ἀρχῇ τῆς περὶ Φιλίππου συντάξεως δι' αὐτὸ μάλιστα παρορμηθῆναι φήσας πρὸς τὴν ἐπιβολὴν τῆς πραγματείας, διὰ τὸ μηδέποτε τὴν Εὐρώπην ἐνηνοχέναι τοιοῦτον ἄνδρα τὸ παραπαν, οἷον τὸν Ἀμύντου Φίλιππον· μετὰ ταῦτα παρὰ πόδας, ἔν τε τῷ προοιμίῳ, καὶ παρ' ὅλην δὲ τὴν ἱστορίαν, ἀκρατέστατον μὲν αὐτὸν ἀποδείκνυσι πρὸς γυναῖκας, ὥστε καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι τὸ καθ' αὐτὸν διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὀργήν καὶ προστασίαν· ἀδικώτατον δὲ καὶ κακοπραγμονέστατον περὶ τὰς τῶν φίλων καὶ συμμάχων καταστάσεις· πλείστας δὲ πόλεις ἐξηνδραποδισμένον καὶ πεπραξικοπηκότα μετὰ δόλου καὶ βίας· ἐκπαθῆ δὲ γεγονότα καὶ πρὸς τὰς ἀκρατοποσίας, ὥστε καὶ μεθ' ἡμέραν πλεοναάκις μεθύοντα καταφανῆ γενέσθαι

A.V.540. XI. Theopompi inconſtantia & maledicentia.

XI. 1. περὶ Φιλίππου. *Præpoſitionem, quæ vulgo aberat, adjeci cum Reiskio.* Ibid. τὸ παραπαν. *Artic. τὸ adſcivi ex Suida.* 2. προστασίαν. παράστασιν *interpretatus eſt Valeſius*: inſaniam. προπέτειαν *vel* προσπάθειαν *maluit Reisk.* 4. ἀκρατοποσίας *Suidas dedit.* ἀκροποσίας *edd. ex cod. Ptireſc.*

11. Ac maxime omnium *Theopompus* hac in parte reprehenſionem meretur: qui, cum initio *Hiſtoriæ Philippi* dixiſſet, *hac maxime cauſſa ſe ad ſcribendum impulſum eſſe, quod Philippo, Amyntæ filio, parem virum numquam antea Europa protuliſſet;* continuo deinde, cum in ipſo Procœmio, tum per totam Hiſtoriam *eumdem in mulieres intemperantiſſime exarſiſſe* memorat, *adeo ut per ſuam hac in parte cupiditatem atque inſaniam propriam etiam domum, quantum in ipſo erat, in ſummum periculum adduxerit. Eumdem* præterea *injuſtiſſimum atque erga amicos ac ſocios perfidiſſimum* deſcribit, *& qui urbes plurimas, per vim ac fraudem captas, in ſervitutem redegerit.* Eumdem porro *ebrietati valde deditum fuiſſe* narrat, *adeo ut diuruo etiam tempore ebrius*

ab

Ol.141.2. νέσθαι τοῖς φίλοις. Εἰ δέ τις ἀναγνῶναι βουληθείη 5
τὴν ἀρχὴν τῆς ἐνάτης καὶ μ΄ αὐτῷ βίβλου, παντάπασιν ἂν θαυμάσαι τὴν ἀτοπίαν τοῦ συγγραφέως· ὅς γε, χωρὶς τῶν ἄλλων, τετόλμηκε καὶ ταῦτα λέγειν· αὐταῖς γὰρ λέξεσιν, αἷς ἐκεῖνος κέχρηται, κατατετάχαμεν· „Εἰ γάρ τις ἦν ἐν τοῖς Ἕλλησιν ἢ 6
Theopompus de Philippo, Amyntæ fil. ejusque amicis. „τοῖς βαρβάροις, φησὶ, λάσταυρος ἢ θρασὺς τὸν
„τρόπον, οὗτοι πάντες, εἰς Μακεδονίαν ἀθροιζόμενοι
„πρὸς Φίλιππον, ἑταῖροι τοῦ βασιλέως προσηγο-
„ρεύοντο. καθόλου γὰρ ὁ Φίλιππος τοὺς μὲν κοσ- 7
„μίους τοῖς ἤθεσι, καὶ τῶν ἰδίων βίων ἐπιμελουμέ-
„νους, ἀπεδοκίμαζε· τοὺς δὲ πολυτελεῖς, καὶ ζῶν-
„τας ἐν μέθαις καὶ κύβοις, ἐτίμα καὶ προῆγεν. τοι- 8
„γαροῦν οὐ μόνον ταῦτ' ἔχειν αὐτοὺς παρεσκεύαζεν,
„ἀλλὰ καὶ τῆς ἄλλης ἀδικίας καὶ βδελυρίας ἀθλη-
„τὰς ἐποίησεν. τί γὰρ τῶν αἰσχρῶν ἢ δεινῶν αὐτοῖς 9
„οὐ προσῆν; ἢ τί τῶν καλῶν καὶ σπουδαίων οὐκ
„ἀπῆν; ὧν οἱ μὲν ξυρόμενοι καὶ λειαινόμενοι διετέ-
„λουν,

ab amicis ſæpius ſit deprehenſus. Quod ſi quis vero *Libri quadrageſimi noni* principium in manus ſumſerit, ſcriptoris omnino importunitatem mirabitur; qui, inter cetera, hæc etiam dicere non dubitavit, eadem enim verba, quibus ille uſus eſt, hic apponenda eſſe duximus: *Nam ſi quis inter Græcos aut barbaros impudicus erat ac protervus, illico Macedoniam ad Philippum delatus, ſodalis regis vocabatur. Omnino enim Philippus modeſtos ac frugi homines reſpuebat; helluones autem ac prodigos, & vino atque aleæ deditos, colebat atque evehebat maxime. Itaque his non modo vitiorum illorum, quæ dixi, alimenta præbebat; verum etiam ad omnis nequitiæ ac ſpurcitiæ certamen eosdem provocabat. Quod enim turpitudinis ac flagitii genus eis non inerat? quid contra honeſtatis ac virtutis non deerat? Quorum alii, cum viri eſſent, raſi tamen ac lævigati continuo conſpiciebant-*

Digitized by Google

„λουν, ἄνδρες ὄντες· οἱ δὲ ἀλλήλοις ἐτόλμων ἐπανί- A.V.540.
10 „σταθαι πώγωνας ἔχουσι. καὶ περιήγοντο μὲν δύο Theopompus
„καὶ τρεῖς τοὺς ἑταιρευομένους, αὐτοὶ δὲ τὰς αὐτὰς de Philippo
11 „ἐκείνοις χρήσεις ἑτέροις παρείχοντο. ὅθεν καὶ δι- ejusque amicis.
„καίως ἂν τις αὐτοὺς οὐχ ἑταίρους, ἀλλ' ἑταίρας,
„ὑπελάμβανεν εἶναι· οὐδὲ στρατιώτας, ἀλλὰ χα-
12 „μαιτύπους προσηγόρευσεν. ἀνδροφόνοι γὰρ τὴν φύ-
13 „σιν ὄντες, ἀνδροπόρνοι τὸν τρόπον ἦσαν. Ἁπλῶς
„δ' εἰπεῖν, ἵνα παύσωμαι, φησὶ, μακρολογῶν, ἅπλως
„τε καὶ τοσούτων μοι πραγμάτων ἐπικεχυμένων·
„ἡγοῦμαι, τοιαῦτα θηρία γεγονέναι, καὶ τοιούτους
„τὸν τρόπον, τοὺς φίλους καὶ τοὺς ἑταίρους Φιλίπ-
„που προσαγορευθέντας, οἵους οὔτε τοὺς Κενταύ-
„ρους τοὺς τὸ Πήλιον κατασχόντας, οὔτε τοὺς Λαι-
„στρυγόνας τοὺς τὸ Λεοντῖνον πεδίον οἰκήσαντας,
„οὔτ' ἄλλους οὐδ' ὁποίους."

Ταύτην

11. *Verba* ἀλλ' ἑταίρας, *quæ aberant a cod. Peiresciano, ex Athenæo adjeci, monente Valesio.* 13. τοιούτους τὸν τρόπον *ex conject. correxi cum Reisk. Vulgo* τοιοῦτον τρόπον. Ibid. κατασχόντας. ἔχοντας *Suidas.* Ibid. Λεοντῖνον *ex Suida recepi. Vulgo* Λεοντίνων.

ciebantur; alii vero, barbati, constuprare sese in vicem non dubitabant. Ac duos quidem tresve meritorios pueros secum circumducebant; ceterum ipsi eamdem sui copiam aliis faciebant. Quamobrem merito quis non amicos illos, sed scorta, nec milites, sed prostibula potius, appellasset. Nam cum natura essent cruenti, moribus cinædi erant. Atque, ut paucis absolvam, præsertim cum tot ac tanta mihi negotia incumbant, sic apud me existimo: quotquot amici ac comites Philippi dicebantur, teterrimas fuisse belluas, quales nec Centauri, qui Pelium incoluere, nec Læstrygones, qui Leontinos campos tenuisse perhibentur, nec ulla alia hujusmodi monstra, exstiterunt.

12. Hanc

Digitized by Google

Ol. 141. 2. XII. Theopompi maledicentia.

Ταύτην δὲ τὴν τε πικρίαν καὶ τὴν ἀθυρογλωσσίαν τοῦ συγγραφέως τίς οὐκ ἂν ἀποδοκιμάσειεν; οὐ γὰρ μόνον, ὅτι μαχόμενα λέγει πρὸς τὴν αὑτοῦ 2 πρόθεσιν, ἄξιός ἐστιν ἐπιτιμήσεως, ἀλλὰ καὶ διότι κατέψευσται τοῦ τε Βασιλέως καὶ τῶν φίλων· καὶ μάλιστα, διότι τὸ ψεῦδος αἰσχρῶς· καὶ ἀπρεπῶς διατέθειται. εἰ γὰρ περὶ Σαρδαναπάλου τις ἢ τῶν 3 ἐκείνου συμβιωτῶν ἐποιεῖτο τοὺς λόγους, μόλις ἂν ἐθάρρησε τῇ κακοῤῥημοσύνῃ ταύτῃ χρήσασθαι· οὗ τὴν ἐν τῷ βίῳ προαίρεσιν καὶ τὴν ἀσέλγειαν διὰ τῆς ἐπιγραφῆς τῆς ἐπὶ τοῦ τάφου τεκμαιρόμεθα. λέγει 4 γὰρ ἡ ἐπιγραφή·

Ταῦτ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
Τερπν' ἔπαθον.

Περὶ δὲ Φιλίππου καὶ τῶν ἐκείνου φίλων εὐλαβηθείη 5 τις ἄν, οὐχ οἷον εἰς μαλακίαν καὶ ἀνανδρίαν, ἔτι δὲ ἀναισχυντίαν λέγειν, ἀλλὰ τοὐναντίον, μή ποτ' ἐγκωμιά-

12. Hanc vero acerbitatem ac linguæ temeritatem Theopompi quis non merito damnet? non enim eo ſolum, quod propoſito ſuo contraria ac pugnantia loquitur, objurgandus eſt; ſed quia cum de rege ipſo, tum de ejus amicis falſa dicit, ac maxime quod mendacium ſuum putide ac turpiter protulit. Nam ſi de Sardanapalo aliquo, aut de ejus ſodalibus ſermo eſſet inſtitutus, vix quisquam hac verborum turpitudine uti ſuſtineret, tametſi hujus hominis inſtitutum atque intemperantiam ex ipſa ſepulcri inſcriptione ſatis colligamus. Sic enim habet inſcriptio:

Hæc habeo, quæ edi, quæque exſaturata libido
Hauſit. — —

De Philippo autem ejusque comitibus nemo eſt, qui non vereri debeat, non dico mollitiem aliquam, aut etiam impudentiam eis affingere, ſed contra, ne, laudationem eorum

Digitized by Google

κωμιάζειν ἐπιβαλλόμενος οὐ δυνηθῇ καταξίως εἰπεῖν A.V.540.
τῆς ἀνδρείας καὶ φιλοπονίας, καὶ συλλήβδην τῆς Theopompi maledicentia.
6 ἀρετῆς τῶν προειρημένων ἀνδρῶν· οἵ γε προφανῶς
ταῖς σφετέραις φιλοπονίαις καὶ τόλμαις ἐξ ἐλαχίστης μὲν βασιλείας ἐνδοξοτάτην καὶ μεγίστην τὴν
7 Μακεδόνων ἀρχὴν κατεσκεύασαν. χωρὶς δὲ τῶν ἐπὶ Φιλίππου πράξεων; αἱ μετὰ τὸν ἐκείνου θάνατον ἐπιτελεσθεῖσαι μετ' Ἀλεξάνδρου πᾶσιν ὁμολογουμένην τὴν ἐπ' ἀρετῇ φήμην παραδεδώκασι περὶ αὐτῶν.
8 μεγάλην γὰρ ἴσως μερίδα θετέον τῷ προεστῶτι τῶν ὅλων Ἀλεξάνδρῳ, καίπερ ὄντι νέῳ παντελῶς· οὐκ
9 ἐλάττω μέν τοι γε τοῖς συνεργοῖς καὶ φίλοις· οἳ πολλαῖς μὲν καὶ παραδόξοις μάχαις ἐνίκησαν τοὺς ὑπεναντίους, πολλοὺς δὲ καὶ παραβόλους ὑπέμειναν πόνους καὶ κινδύνους καὶ ταλαιπωρίας· πλείστης δὲ περιουσίας κυριεύσαντες, καὶ πρὸς ἁπάσας τὰς ἐπιθυμίας πλείστης εὐπορήσαντες ἀπολαύσεως,
οὔτε

XII. 6. *τὴν Maced. Articulum, cum abesset cæteris, adjeci cum Reisk.* 7. *ἐπὶ Φιλίππου ex ejusdem Reiskii conject. dedi, pro vulgato ὑπὸ Φιλίππου.*

eorum aggressus, vim ac fortitudinem & ceteras tantorum hominum virtutes dicendo adæquare non valeat: qui, ut constat inter omnes, sua industria ac fortitudine regnum Macedoniæ ex tenuissimo amplissimum ac celeberrimum effecerunt. Ac præter ea, quæ sub Philippo gessere, res ab iisdem post illius obitum in commilitio Alexandri gestæ receptam apud omnes virtutis famam eis comparaverunt. Magna enim fortasse hujus gloriæ pars Alexandro, cujus auspiciis cuncta gerebantur, tametsi admodum adolescenti, tribuenda est; at non minor tamen ejus comitibus ac ministris debetur: quippe qui multis & maximis præliis hostes superarunt, multosque ac difficillimos casus & labores ac pericula perpessi sunt; atque, maximarum opum compotes facti, cum omnibus copiis ad explendas cupiditates idoneis

Digitized by Google

Ol. 141. 2. Theopompi maledicentia.

οὔτε κατὰ τὴν σωματικὴν δύναμιν οὐδέποτε διὰ ταῦτ' ἠλαττώθησαν, οὔτε κατὰ τὰς ψυχικὰς ὁρμὰς οὐδὲν ἄδικον οὐδὲ ἀσελγὲς ἐπετήδευσαν. ἅπαν- 10
τες δ', ὡς ἔπος εἰπεῖν, βασιλικοὶ καὶ ταῖς μεγαλοψυχίαις, καὶ ταῖς σωφροσύναις, καὶ ταῖς τόλμαις ἀπέβησαν, Φιλίππῳ καὶ μετ' αὐτὸν Ἀλεξάνδρῳ συμβιώσαντες. ὧν οὐδὲν ἂν δέοι μνημονεύειν ἐπ' ὀνέ-
ματος. μετὰ δὲ τὸν Ἀλεξάνδρου θάνατον οὕτω περὶ 11
τῶν πλείστων μερῶν τῆς οἰκουμένης ἀμφισβητήσαντες, παραδόσιμον ἐποίησαν τὴν ἑαυτῶν δόξαν ἐν πλείστοις ὑπομνήμασιν· ὥστε τὴν μὲν Τιμαίου τοῦ 12
συγγραφέως πικρίαν, ἣ κέχρηται κατ' Ἀγαθοκλέους, τοῦ Σικελίας δυνάστου, καίπερ ἀνυπέρβλητον εἶναι δοκοῦσαν, ὅμως λόγον ἔχειν· ὡς γὰρ κατ' ἐχθροῦ, καὶ πονηροῦ καὶ τυράννου διατίθεται τὴν κατηγορίαν· τὴν δὲ Θεοπόμπου μηδ' ὑπὸ λόγον πίπτειν.

Προθέ-

10. μετ' αὐτὸν. *Pronomen* αὐτὸν *ex conject. adjeci. Forſ. etiam ante* Φιλίππῳ *cum Reisk. adjiciendus eſt artic.* οἱ.

neis abundarent, tamen nec corporis vires ideo illis imminutæ ſunt, neque animi ſtudia ad injuſtitiam ac libidinem deflexerunt: ſed univerſi, quotquot Philippi ac deinde Alexandri comites fuerunt, & animi magnitudine, & temperantia, & fortitudine prorſus regia exſtiterunt; quos quidem nominatim recenſere haud quaquam neceſſe eſt. Poſt obitum autem Alexandri, cum de maximis partibus orbis terrarum inter ſe decertaſſent, famam nominis ſui plurimis hiſtoriæ monimentis teſtatam poſteris reliquerunt. Quo fit, ut Timæi quidem maledicentia, qua adverſus Agathoclem Siciliæ tyrannum invectus eſt, tametſi modum omnem excedat, rationem tamen aliquam habere videatur: quippe inimici & mali hominis & tyranni vituperationem inſtituit. At vero *Theopompi maledicentia* omni ratione deſtituitur.

13. Nam

Digitized by Google

Προθέμενος γὰρ ὡς περὶ βασιλέως εὐφυεστάτου πρὸς ἀρετὴν γεγονότος, οὐκ ἔστι τῶν αἰσχρῶν καὶ δεινῶν, ὃ παραλέλοιπεν. λοιπὸν, ἢ περὶ τὴν ἀρχὴν καὶ προέκθεσιν τῆς πραγματείας ἀνάγκη ψεύστην καὶ κόλακα φαίνεσθαι τὸν ἱστοριογράφον, ἢ περὶ τὰς κατὰ μέρος ἀποφάσεις ἀνόητον καὶ μειρακιώδη τελείως, εἰ διὰ τῆς ἀλόγου καὶ ἐπικλήτου λοιδορίας ὑπέλαβε πιστότερος μὲν αὐτὸς φανήσεσθαι, παραδοχῆς δὲ μᾶλλον ἀξιωθήσεσθαι τὰς ἐγκωμιαστικὰς ἀποφάσεις αὐτοῦ περὶ Φιλίππου. Καὶ μὴν οὐδὲ περὶ τὰς ὁλοσχερεῖς διαλήψεις οὐδεὶς ἂν εὐδοκήσειε τῷ προειρημένῳ συγγράφει· ὅς γε ἐπιβαλόμενος γράφειν τὰς Ἑλληνικὰς πράξεις, ἀφ' ὧν Θουκυδίδης ἀπέλιπεν, καὶ συνεγίσας τοῖς Λευκτρικοῖς καιροῖς καὶ τοῖς ἐπιφανεστάτοις τῶν Ἑλληνικῶν ἔργων, τὴν μὲν Ἑλλάδα μεταξὺ καὶ τὰς ταύτης ἐπιβολὰς ἀπέρριψε· μεταλαβὼν δὲ τὴν ὑπόθεσιν, τὰς Φιλίππου

A.V.540. XIII. Theopompi maledicentia.

XIII. 1. ὃ παραλέλοιπεν cum Reisk. scripsi, pro vulgato ὅπερ ἀπολέλοιπεν. 2. παραδοχῆς. Correxi mendosum παροχῆς. 3. μεταλαβὼν in μεταβαλὼν mutatum volnerat Valef.

13. Nam cum de rege, optima indole ad virtutem prædito, scribere instituisset; nihil est tam turpe & tam grave, quod in opere suo non dixerit. Reliquum est, ut vel ipso in principio ac vestibulo Historiæ suæ mendax & adulator fuisse dicatur, aut certe in particularibus suis demonstrationibus amens penitus ac puerilis, si importuna ac merito castiganda vituperatione id se consecuturum esse speravit, ut & sibi major auctoritas, & laudationibus Philippi major fides accederet. Sed neque ipsum consilium prædicti Scriptoris ab ullo homine probabitur, qui, cum res Græciæ, inde ubi desinit Thucydides, scribere esset aggressus, postquam ad Leuctrica tempora ac res Græciæ celeberrimas pervenit, ipsam quidem Græciam cum suis factis valere jussit; commutato

Digitized by Google

Ol. 141. 2. Theopompi maledicentia.

Φιλίππου πράξεις προύθετο γράφειν. καί τοι γε πολλῷ σεμνότερον ἦν καὶ δικαιότερον, τῇ περὶ τῆς Ἑλλάδος ὑποθέσει τὰ πεπραγμένα Φιλίππῳ συμπεριλαβεῖν, ἅπερ ἐν τῇ Φιλίππου τὰ τῆς Ἑλλάδος. οὐδὲ γὰρ προκαταληφθεὶς ὑπὸ βασιλικῆς δυνα- 5 στείας, καὶ τυχὼν ἐξουσίας, οὐδεὶς ἂν ἐπέσχε σὺν καιρῷ ποιήσασθαι μετάβασιν ἐπὶ τὸ τῆς Ἑλλάδος ὄνομα καὶ πρόσωπον· ἀπὸ δὲ ταύτης ἀρξάμενος, καὶ προβὰς ἐπὶ ποσὸν, οὐδ' ὅλως οὐδεὶς ἂν ἠλάξατο μονάρχου πρόσχημα καὶ βίον, ἀκεραίῳ χρώμενος γνώμῃ. Καὶ τί δή ποτ' ἦν τὸ τὰς τηλικαύτας ἐναν- 6 τιώσεις βιασάμενον παρελθεῖν τὸν Θεόπομπον; εἰ μὴ νὴ Δία ὅτι ἐκείνης μὲν τῆς ὑποθέσεως τέλος ἦν τὸ καλὸν· τῆς δὲ κατὰ Φίλιππον τὸ συμφέρον. οὐ μὴν, 7 ἀλλὰ πρὸς μὲν ταύτην τὴν ἁμαρτίαν, καθὸ μετέβαλε τὴν ὑπόθεσιν, ἴσως ἂν εἶχέ τι λέγειν, εἴ τις αὐτὸν ἤρετο περὶ τούτου. πρὸς δὲ τὴν κατὰ τῶν 8

Φίλων

7. μετέβαλε. μετέλαβε voluit Reisk.

mutato autem argumento Philippi gesta scribere constituit. Atqui longe praestantius erat ac justius, in opere rerum Graecarum gesta Philippi, quam in gestis Philippi res Graeciae comprehendere. Neque enim quisquam, regio dominatu praeoccupatus, ubi potestatem fuerit nactus, dubitaverit ad nomen personamque Graeciae opportune transire: a Graecia autem sumto principio, nemo utique sanae mentis, postquam aliquantum processit, cum Regis specie atque vita illam permutarit. Quid vero erat, quod Theopompum cogeret, tot ac tantas contrarietates contemnere? nisi mehercle quod illius quidem argumenti finis erat honestus, hujus autem operis de gestis Philippi erat finis utilior. Enimvero, quod ad illud peccatum mutati argumenti pertinet, si quis Theopompum interrogaret, suppeteret illi fortasse aliqua defensio. Illius autem maledi-

Digitized by Google

Φίλων αἰσχρολογίαν οὐκ ἂν οἶμαι δυνηθῆναι λόγον A.V.540.
αὐτὸν ἀποδοῦναι, συγχωρῆσαι δὲ, διότι πολύ τι
παρέπεσε τοῦ καθήκοντος.

✲ ✲ ✲

Φίλιππος δὲ τοὺς μὲν Μεσσηνίους, πολεμίους γε- XIV.
γονότας, οὐδὲν ἄξιον ἠδυνήθη λόγου βλάψαι, καίπερ
ἐπιβαλλόμενος κακοποιεῖν αὐτῶν τὴν χώραν· εἰς δὲ
τοὺς ἀναγκαιοτάτους τῶν Φίλων τὴν μεγίστην ἀσέλ-
2γειαν ἐναπεδείξατο. Τὸν γὰρ πρεσβύτερον Ἄρα- Aratum veneno tollit Philippus.
τον, δυσαρεστηθέντα τοῖς ὑπ' αὐτοῦ πεπραγμένοις
ἐν τῇ Μεσσήνῃ, μετ' οὐ πολὺ μετὰ Ταυρίωνος, τοῦ
χειρίζοντος αὐτῷ τὰ κατὰ Πελοπόννησον, ἐπανεί-
3λατο φαρμάκῳ. παραυτίκα μὲν οὖν ἠγνοεῖτο παρὰ
τοῖς ἐκτὸς τὸ γεγονός· καὶ γὰρ ἦν ἡ δύναμις οὐ τῶν
παρ' αὐτὸν τὸν καιρὸν ἀπολλυουσῶν, ἀλλὰ χρόνον
4ἔχουσα, καὶ διάθεσιν ἐργαζομένη. τόν γε μὴν Ἄρα-

C 2 τον

XIV. 1. Titulus *in ora Cod. Vib. est:* Φιλίππου δυσμένεια, καὶ Ἀράτου μεγαλοψύχεια. 2. ἐπανείλατο. *Sic Vib. Aug. & cod. Peiresc. Vulgo* ἐπανείλετο.

ledicentiæ, quam in Philippi amicos effudit, nullam ab eo rationem reddi posse arbitror; sed fatendum ipsi esse, multum se ab officio & a vero aberrasse.

(*Excerpt. antiq. ex Lib.* VIII. *cap.* 9-11.)

✲ ✲ ✲

14. Ceterum *Philippus Messenios*, hostes factos, memorabili ullo damno afficere non valuit, quantumvis vastare ac populari fines eorum aggressus; in amicos vero præcipua necessitudine sibi junctos idem rex fœda facinora, eaque maxima, edidit. *Seniorem* enim *Aratum*, quod minus probasset quæ ipse Messenæ fecerat, non multo post opera usus Taurionis, qui res illius in Peloponneso administrabat, veneno sustulit. Ac principio quidem ignota ceteris res fuit: neque enim ea vis erat pharmaci, ut in ipso statim articulo necaret; sed mora temporis corporis valetudinem afficiebat. Ipsum vero

Digitized by Google

Ol. 141. 2. Aratum veneno tollit Philippus.

τον αὐτὸν οὐκ ἐλάνθανε τὸ κακὸν· ἐγένετο δὲ δῆλον ἐκ τούτων. ἅπαντας γὰρ ἐπικρυπτόμενος τοὺς ἄλ- 5 λους, πρὸς ἕνα τῶν ὑπηρετῶν Κεφάλωνα διὰ τὴν συνήθειαν οὐκ ἔστεξε τὸν λόγον· ἀλλ', ἐπιμελῶς αὐτῷ κατὰ τὴν ἀῤῥωστίαν τοῦ προειρημένου συμπαρόντος, καί τι τῶν πρὸς τῷ τοίχῳ πτυσμάτων ἐπισημηναμένου δίαιμον ὑπῆρχον, εἶπε· Ταῦτα τὰ πίχειρα τῆς Φιλίας, ὦ Κεφάλων, κεκομίσμεθα τῆς πρὸς Φίλιππον. Οὕτως ἔστι μέγα τι καὶ καλὸν 6 χρῆμα μετριότης, ὥστε μᾶλλον ὁ παθὼν τοῦ πράξαντος ἠσχύνετο τὸ γεγονὸς, εἰ τοσούτων καὶ τηλικούτων κεκοινωνηκὼς ἔργων ἐπὶ τῷ τοῦ Φιλίππου συμφέροντι, τοιαῦτα τὰ πίχειρα κεκόμισται τῆς εὐ-

Aratus post mortem ab Achæis cultus.

νοίας. Οὗτος μὲν οὖν καὶ διὰ τὸ πολλάκις τῆς ἀρ- 7 χῆς τετευχέναι παρὰ τοῖς Ἀχαιοῖς, καὶ διὰ τὸ πλῆθος καὶ διὰ τὸ μέγεθος τῶν εἰς τὸ ἔθνος εὐεργεσιῶν, μεταλλάξας τὸν βίον, ἔτυχε πρεπούσης τιμῆς καὶ

6. εἰ τοσούτων. ei debetur Casaub. ἢ Hervag. cum mss.tis.

vero *Aratum* non latebat malum: quod hoc modo palam eſt factum. Is, omnes alios celans, apud unum e famulis Cephalonem, quia familiariter eo utebatur, non tacuit rem: ſed quum ægrotanti ſibi ille adeſſet, aſſiduam & diligentem operam navans, atque is unum e ſputis, quibus paries erat conſputus, ſanguine mixtum obſervaſſet: *Hæc nos præmia, o Cephalo*, inquit Aratus, *amicitiæ noſtræ erga Philippum retulimus.* Adeo magna & præclara res eſt animi moderatio, ut eum, qui acceperat injuriam, potius, quam auctorem injuriæ, facti puderet, quod poſt tot tantarumque rerum conſilia cum Philippo conſociata, & magno quidem ejus bono, hoc demum benevolentiæ ſuæ præmium tuliſſet. Ceterum *Arato*, qui prætura Achæorum toties erat functus, gentemque ſuam tot ac tantis beneficiis affecerat, poſtquam diem ſuum obiiſſet, cum patria,

Digitized by Google

καὶ παρὰ τῇ πατρίδι καὶ παρὰ τῷ κοινῷ τῶν A.V.540.
8 Ἀχαιῶν. καὶ γὰρ θυσίας αὐτῷ καὶ τιμὰς ἡρωϊκὰς ἐψηφίσαντο, καὶ συνήβδην, ὅσα πρὸς αἰώνιον ἀνήκει μνήμην· ὥστ', εἴπερ καὶ περὶ τοὺς ἀποιχομένους ἔστι τις αἴσθησις, εἰκὸς, εὐδοκεῖν αὐτὸν καὶ τῇ τῶν Ἀχαιῶν εὐχαριστίᾳ, καὶ ταῖς ἐν τῷ ζῆν κακοπραγίαις καὶ κινδύνοις.

✻ ✻ ✻

Πάλαι δὲ τῇ διανοίᾳ περὶ τὸν Λίσσον καὶ τὸν XV. Lissum tentat Philippus.
Ἀκρόλισσον ὢν, καὶ σπουδάζων ἐγκρατὴς γενέσθαι τῶν τόπων τούτων, ὥρμησε μετὰ τῆς δυνάμεως.
2 ποιησάμενος δὲ τὴν πορείαν ἐπὶ δύο ἡμέρας, καὶ διελθὼν τὰ στενὰ, κατέζευξε παρὰ τὸν Ἀρδάξανον πο-
3 ταμὸν, οὐ μακρὰν τῆς πόλεως. Θεωρῶν δὲ τόν τε Situs Lissi & Acrolissi.
τοῦ Λίσσου περίβολον, καὶ τὰ πρὸς τῇ θαλάττῃ καὶ τὰ πρὸς τὴν μεσόγαιον ἠσφαλισμένον διαφερόντως καὶ φύσει καὶ κατασκευῇ, τόν τε παρακείμενον

tria, tum commune Achæorum pares meritis honores detulerunt. Nam & sacrificia, & cultum heroibus debitum, ei decreverunt, &, ut verbo expediam, quidquid ad memoriam defuncti æternitati consecrandam facit: ut, si quis mortuis inest sensus, in animo grato Achæorum, post ærumnas & pericula, quæ vivus sustinuit, acquiescere ipsum, par sit ac rationi consentaneum.

✻ ✻ ✻

15. Quum *Philippus* jampridem *Lissum* & *Acrolissum* animo agitaret, eaque loca in potestatem suam redigere studeret: exercitum eo ducere instituit. Confecto autem bidui itinere, ac superatis faucibus, propter flu-

vium *Ardaxanum*, non procul ab urbe consedit. Ibi quum *Lissi* ambitum animadvertisset, & qua mare & qua continentem spectat, egregie cum natura loci tum arte munitum; quumque *Acrolissum* ei adjacentem, partim quia

Digitized by Google

Ol.141.2. Ἀκρόλισσον αὐτῷ καὶ διὰ τὴν εἰς ὕψος ἀνάτασιν, καὶ διὰ τὴν ἄλλην ἐρυμνότητα τοιαύτην ἔχοντα φαντασίαν, ὥστε μηδ' ἂν ἐλπίσαι μηδένα κατὰ κράτος ἑλεῖν· τῆς μὲν περὶ τοῦτον ἐλπίδος ἀπέστη τελέως, τῆς δὲ πόλεως οὐ λίαν ἀπήλπισε. Συνθεωρήσας δὲ τὸ μεταξὺ διάστημα τοῦ Λίσσου καὶ τοῦ κατὰ τὸν Ἀκρόλισσον πρόποδος, σύμμετρον ὑπάρχον πρὸς τὴν ἐπιβολὴν τὴν κατὰ τῆς πόλεως· κατὰ τοῦτο διενοήθη συστησάμενος ἀκροβολισμὸν, χρήσασθαι στρατηγήμασι πρὸς τὸ παρὸν οἰκείῳ. Δοὺς δὲ μίαν ἡμέραν πρὸς ἀνάπαυσιν τοῖς Μακεδόσι, καὶ παρακαλέσας ἐν αὐτῇ τὰ πρέποντα τῷ καιρῷ, τὸ μὲν πολὺ μέρος καὶ χρησιμώτατον τῶν εὐζώνων, ἔτι νυκτὸς, εἴς τινας φάραγγας ὑλώδεις ἔκρυψε, κατὰ τὸν ἐπὶ τῆς μεσογαίου τόπον ὑπὲρ τὸ προειρημένον διάστημα· τοὺς δὲ πελταστὰς εἰς τὴν ἐσαύριον ἔχων καὶ τὸ

Strategema Philippi.

XV. 6. ἐσαύριον. ἐπαύριον ora cod. Aug. antiqua manu. Ad ἔχων autem excidisse puto pronomen αὐτὸς. Plura vero in hoc cap. & sq. cum depravata essent in mss. codd., perspecte correxit Cl. Saub.

quia mire in altum est sublatus, partim ob reliquam munitionem, ejusmodi præ se ferre speciem vidisset, ut, posse illa loca abs se per vim capi, nemo sperare homo deberet: omnem penitus de arce quidem occupanda spem abjecit, at de urbe capienda non omnino desperavit. Observaverat rex, inter Lissum & prominentem montis radicem, ubi est Acrolissus, modicum interesse intervallum, aptum ad moliendam urbis oppugnationem. Igitur leve prælium eo loci instituere, & opportuno ad consilium suum strategemate statuit uti. Vnum Macedonibus ad quiescendum ubi concessisset diem, atque interim, uti res atque tempus monebat, eos esset cohortatus; inter sylvosas convalles versus mediterraneam regionem, supra illud, de quo jam diximus, spatium, ante primum diluculum majorem ac meliorem suorum expeditorum partem occultat. Ipse inse-

Digitized by Google

τὸ λοιπὸν μέρος τῶν εὐζώνων, ἐπὶ θάτερα τῆς πό- A.V.540.
7 λεως κατὰ θάλατταν ἐχρῆτο τῇ πορείᾳ. περιελ- Strategema Philippi.
θὼν δὲ τὴν πόλιν, καὶ γενόμενος κατὰ τὸν προειρη-
μένον τόπον, δῆλος ἦν ὡς ταύτῃ ποιησόμενος τὴν
8 πρὸς τὴν πόλιν ἀνάβασιν. Οὐκ ἀγνοουμένης δὲ τῆς
τοῦ Φιλίππου παρουσίας, ἦν πλῆθος ἱκανὸν ἐξ ἁπάν-
σης τῆς πέριξ Ἰλλυρίδος εἰς τὸν Λίσσον ἠθροισμένον.
9 τῷ μὲν γὰρ Ἀκρολίσσῳ διὰ τὴν ὀχυρότητα πιστεύον-
τες, μετρίαν τινὰ τελέως εἰς αὐτὸν ἀπένειμαν φυ-
λακήν.

Διόπερ ἅμα τῷ συνεγγίζειν τοὺς Μακεδόνας, εὐ- XVI. Lissum tentat Philippus.
θέως ἐκ τῆς πόλεως ἐξεχέοντο, θαῤῥοῦντες ἐπί τε
2 τῷ πλήθει καὶ ταῖς τῶν τόπων ὀχυρότησι. τοὺς μὲν
οὖν πελταστὰς ὁ βασιλεὺς ἐν τοῖς ἐπιπέδοις ἐπέ-
στησε· τοῖς δὲ κούφοις παρήγγειλε προβαίνειν πρὸς
τοὺς λόφους, καὶ συμπλέκεσθαι πρὸς τοὺς πολε-
3 μίους ἐῤῥωμένως. ποιούντων δὲ τὸ παραγγελθὲν, ἐπὶ
ποσὸν μὲν ὁ κίνδυνος πάρισος ἦν· μετὰ δὲ ταῦτα,

insequenti die ab altera urbis parte cetratos, & quod supererat expeditorum, secundum littus ducere. Postquam urbis circuitum esset emensus, & ad dictum antea locum jam perveniisset, nemo dubitabat, quin ab illa parte ad urbem adoriendam esset adscensurus. Iam quoniam notus fuerat omnibus Philippi adventus, ex universo circumcirca Illyrico valida hominum multitudo Lissum convenerat. Acrolisso enim tuendo parvam oppido manum, satis natura munitum locum esse rati, delegavegant.

16. Statim igitur ad primum appropinquantium Macedonum conspectum, qui in urbe erant, qua numero, qua situ locorum munitissimorum freti, extra muros ruere. Rex cetratos in plano locis opportunis locat, levem armaturam ad colles progredi & pugnam cum hoste acriter capessere jubet. Quibus imperata facientibus, æquo marte aliquamdiu pugnatur.

Digitized by Google

Ol. 141. 2. Lissum tentat Philippus.

καὶ ταῖς δυσχωρίαις ἐξάντες οἱ παρὰ τοῦ Φιλίππου, καὶ τῷ πλήθει τῶν πολεμίων, ἐτράπησαν. κατα-4 φυγόντων δὲ τούτων εἰς τοὺς πελταστὰς, οἱ μὲν ἐκ τῆς πόλεως καταφρονήσαντες προῆσαν, καὶ συγ-καταβάντες ἐν τοῖς ἐπιπέδοις προσεμάχοντο τοῖς πελτασταῖς· Οἱ δὲ τὸν Ἀκρόλισσον φυλάσσοντες, 5 θεωροῦντες τὸν Φίλιππον ἐκ διαδοχῆς ταῖς σπείραις ἐπὶ πόδα ποιούμενον τὴν ἀναχώρησιν, καὶ δόξαντες τοῖς ὅλοις αὐτὸν εἴκειν, ἔλαθον ἐκκληθέντες διὰ τὸ πιστεύειν τῇ φύσει τοῦ τόπου. κἄπειτα κατ' ὀλί-6 γους ἐκλιπόντες τὸν Ἀκρόλισσον, κατέῤῥεον ταῖς ἀνοδίαις εἰς τοὺς ὁμαλοὺς καὶ πεδινοὺς τόπους, ὡς ἤδη τινὸς ὠφελείας καὶ τροπῆς τῶν πολεμίων ἐσο-

Acrolissum strategemate,

μένης. Κατὰ δὲ τὸν καιρὸν τοῦτον οἱ τὰς ἐνέδρας 7 ἐκ τῆς μεσογαίας διειληφότες, ἀφανῶς ἐξαναστάν-τες, ἐνεργὸν ἐποιήσαντο τὴν ἔφοδον· ἅμα δὲ τού-τοις ἐκ μεταβολῆς οἱ πελτασταὶ συνεπέθεντο τοῖς ὑπεναν-

XVI. 7. τὴν ἔφοδον. *Apud Suidam est* τὴν πορείαν καὶ τὴν ἔφοδον.

gnatur. Sed mox regii, partim locorum iniquitati, partim multitudini hostium cedentes, terga vertunt. Vbi vero ad cetratos isti se recepissent, oppidani præ contemtu pergere ulterius, ac tandem descendere in campos ausi, cum cetratis manum conserunt. Iam præsidiarii *Acrolisso* impositi, cognito, Philippum suas cohortes alternatim sensimque reducere, universa pugna cedere illum arbitrantes, imprudentes avocari se a statione patiuntur, quoniam naturæ loci satis fidebant. Itaque *Acrolissum* paullatim deserunt; &, quasi versis in fugam hostibus præda jam esset aliqua futura, per devios calles ad plana & campestria loca magno impetu deveniunt. Sed per id ipsum tempus, qui in insidiis ad partem mediterraneam fuerant dispositi, nemine animadvertente coorti, Acrolissum strenue ac fortiter invadunt: simul cetrati, repente in hostem versi, præ-

lium

ὑπεναντίοις. οὗ συμβάντος, διαταραχθέντες, οἱ μὲν A.V.540.
ἐκ τοῦ Λίσσου σποράδην ποιούμενοι τὴν ἀναχώρησιν
διεσώζοντο πρὸς τὴν πόλιν· οἱ δὲ τὸν Ἀκρόλισσον
ἐκλιπόντες, ἀπετμήθησαν ὑπὸ τῶν ἐκ τῆς ἐνέδρας
9 ἐξαναστάντων. διὸ καὶ συνέβη τὸ μὲν ἀνέλπιστον,
τὸν Ἀκρόλισσον παραχρῆμα ληφθῆναι χωρὶς κινδύ-
νων· τὸν δὲ Λίσσον τῇ κατὰ πόδας ἡμέρᾳ, μετὰ Lissum vi capit.
μεγάλων ἀγώνων, ποιησαμένων τῶν Μακεδόνων ἐνερ-
10 γοὺς καὶ καταπληκτικὰς προσβολάς. Φίλιππος
μὲν οὖν, παραδόξως ἐγκρατὴς γενόμενος τῶν προει-
ρημένων τόπων, ἅπαντας τοὺς πέριξ ὑποχειρίους
ἐποήσατο διὰ ταύτης τῆς πράξεως· ὥστε τοὺς Illyrici
πλείστους τῶν Ἰλλυριῶν ἐθελοντὴν ἐπιτρέπειν αὐτῷ majore parte po-
11 τὰς πόλεις. οὐδεμίαν γὰρ ὀχυρότης ἔτι πρὸς τὴν titur.
Φιλίππου βίαν, οὐδ' ἀσφάλεια τοῖς ἀντιτασσομέ-
νοις προὐφαίνετο, κεκρατημένων μετὰ βίας τῶν
προειρημένων ὀχυρωμάτων.

10. ὥστε τοὺς. ὡς τοὺς edd. 11. ἔτι πρὸς restitui ex Vrb. Aug. & Med. ἐστι pro ἔτι dederat Herv. cum ceteris codd. quod in diu ex ing. mutavit Casaub.

lium cum illis ineunt. Quo facto perturbati, qui Liſſo egreſſi fuerant, ſparſim ſeſe recipientes, in urbem tuti pervenerunt: ii vero, qui Acroliſſo exierant, viam ad reditum ab his, qui ex inſidiis excitati fuerant, præcluſam ſibi offenderunt. Ita factum eſt, ut *arx* quidem, quod ſperare nemo foret auſus, ſtatim ſine periculo caperetur; *Liſſus* vero poſtridie ejus diei, idque magnis certaminibus prius editis, poſtquam acres ac terribiles a Macedonibus impreſſiones eſſent factæ. *Philippus* igitur, velut miraculo prædictis locis potitus, hoc uno facinore adeo vicinos omnes ſibi reddidit obnoxios, ut plerique in *Illyrico* ultro urbes ſuas fidei illius permitterent. Etenim per vim expugnatis illis propugnaculis, nulla amplius munitio violentiæ Philippi par futura, neque, ſi quis ſe illi opponeret, ullus ad ſalutem receptus ſuperfuturus vulgo omnibus videbatur. V.

Digitized by Google

Ol. 141. 2.

V.

ACHAEVS CAPTVS SARDIBVS AB ANTIOCHO.

XVII. Bolis Cretenſis, a Soſibio Sardes mittitur ad liberandum Achæum.

Βῶλις ἦν ἀνὴρ γένει μὲν Κρὴς, χρόνον δὲ πολὺν ἐν τῇ βασιλείᾳ διατετριφὼς ἐν ἡγεμονικῇ προστασίᾳ, δοκῶν δὲ καὶ σύνεσιν ἔχειν καὶ τόλμαν παράβολον, καὶ τριβὴν ἐν τοῖς πολεμικοῖς οὐδενὸς ἐλάττω. τοῦτον ὁ Σωσίβιος διὰ πλειόνων λόγων πιστωσάμενος, καὶ παρασκευάσας εὔνουν ἑαυτῷ καὶ πρόθυμον, ἀναδίδωσι τὴν πρᾶξιν· λέγων, ὡς οὐδὲν ἂν τῷ βασιλεῖ μεῖζον χαρίσαιτο κατὰ τοὺς ἐνεστῶτας καιροὺς, ἢ συνεπινοήσας, πῶς καὶ τίνι τρόπῳ δύναται σῶσαι τὸν Ἀχαιόν. τότε μὲν οὖν διακούσας ὁ Βῶλις, καὶ φήσας, ἐπισκέψασθαι περὶ τῶν εἰρημένων, ἐχωρίσθη. Δοὺς δὲ λόγον ἑαυτῷ, καὶ μετὰ δύο ἢ τρεῖς ἡμέρας

XVII. 2. λέγων. *Reſtitui hoc verbum, perperam prætermiſſum in ed. Caſaub. & ſeqq.*

V.

Excerpt. antiq. ex Lib. VIII. *cap.* 12 - 18.

17. *Bolis* erat genere *Cretenſis*, ſed qui longo tempore in aula Ptolemæorum honoribus, qui ſolent tribui ducibus, eſſet uſus: vir & prudentia, & mira audacia, & uſu rerum bellicarum nemini, ut erat hominum opinio, ſecundus. Propterea *Soſibius* ubi multis ſermonibus fidem illius, benevolentiam ac ſtudium ſibi conciliaſſet; patrandæ rei conſilium cum eo communicat, nihil ipſum impræſentiarum gratius regi præſtare poſſe affirmans, quam ſi modum aliquem ac rationem liberandi *Achæum* ſollerter comminiſceretur. Ea oratione audita *Bolis*, tum quidem, *ubi cogitaturum ſe de iis, quæ fuerant dicta*, reſpondiſſet, diſcedit. Re autem apud ſe expenſa, altero tertiove die poſt

Digitized by Google

ἡμέρας προσελθὼν πρὸς τὸν Σωσίβιον, ἀνεδέξατο A.V.540.
τὴν πρᾶξιν εἰς αὐτὸν, φήσας, καὶ γεγονέναι πλείω
χρόνον ἐν ταῖς Σάρδεσι, καὶ τῶν τόπων ἐμπειρεῖν,
καὶ τὸν Καμβῦλον, τὸν ἡγεμόνα τῶν παρ' Ἀντιόχου Cambylus, præfectus Cretensium Sardibus.
στρατευομένων Κρητῶν, οὐ μόνον πολίτην, ἀλλὰ καὶ
συγγενῆ καὶ φίλον ὑπάρχειν αὐτῷ. συνέβαινε δὲ καὶ
τὸν Καμβῦλον καὶ τοὺς ὑπὸ τοῦτον τεταγμένους
Κρῆτας πεπιστεῦσθαί τι τῶν φυλακτηρίων, τῶν κα-
τὰ τοὺς ὄπισθεν τόπους τῆς ἄκρας, οἵτινες κατα-
σκευὴν μὲν οὐκ ἐπεδέχοντο, τῇ δὲ συνεχείᾳ τῶν ὑπὸ
τὸν Καμβῦλον τεταγμένων ἀνδρῶν ἐτηροῦντο. Τοῦ Sofibius & Bolis.
δὲ Σωσιβίου δεξαμένου τὴν ἐπίνοιαν, καὶ διειληφότος,
ἢ μὴ δυνατὸν εἶναι, σωθῆναι τὸν Ἀχαιὸν ἐκ τῶν πε-
ριεστώτων, ἢ, δυνατοῦ καθάπαξ ὑπάρχοντος, διὰ
μηδενὸς ἂν ἑτέρου γενέσθαι τοῦτο βέλτιον, ἢ διὰ Βώ-
λιδος, τοιαύτης δὲ συνδραμούσης καὶ περὶ τὸν Βῶλιν
προθυμίας· ταχέως ἐλάμβανε τὸ πρᾶγμα προκο-
πήν. ὅ τε γὰρ Σωσίβιος ἅμα μὲν προσεδίδου τῶν
χρημά-

7. προσεδίδου. *Forsan* προεδίδου, *ut voluit Reisk. & Ernest.*

post adit Sofibium, atque in se negotium suscipit: quippe *Sardibus perdiu se fuisse; locorum peritiam habere; Cambylum vero, præfectum Cretensium, qui Antiocho militabant, non solum civem suum esse, verum etiam cognatum atque amicum.* Cambylo autem illi, & militibus, quibus ipse imperabat, custodia fuerat commissa unius e propugnaculis pone arcem sitis; quæ muniri opere quum non possent, statione assidua Cambyleorum militum custodiebantur. Placuit Sofibio commentum: qui ita cum animo suo statuebat, aut plane eripi e præsenti calamitate non posse Achæum, aut, si fieri omnino id posset, neminem mortalium melius, quam Bolidem, rem exsecuturum: cujus quum par studium atque alacritas concurreret, cito negotium est promotum. Nam Sofibius & pecuniam adfatim largiebatur, ne

Ol. 141. 2. χρημάτων εἰς τὸ μηδὲν ἐλλείπειν εἰς τὰς ἐπιβολάς· πολλὰ δὲ, εὖ γενομένων, ὑπισχνεῖτο δώσειν. τὰς δὲ παρ' αὐτοῦ τοῦ βασιλέως καὶ παρ' αὐτοῦ τοῦ σωζομένου χάριτας ἐξ ὑπερβολῆς αὔξων, εἰς μεγάλας ἐλπίδας ἦγε τὸν Βῶλιν. ὁ τε προειρημένος ἀνὴρ, ἕτοιμος ὢν πρὸς τὴν πρᾶξιν, οὐδένα χρόνον ὑπομείνας, ἐξέπλευσε, συνθήματα λαβὼν καὶ πίστεις πρός τε Νικόμαχον εἰς Ῥόδον, ὃς ἐδόκει πατρὸς ἔχειν διάθεσιν κατὰ τὴν εὔνοιαν καὶ πίστιν πρὸς τὸν Ἀχαιὸν, ὁμοίως δὲ καὶ πρὸς Μελαγκόμαν εἰς Ἔφεσον. οὗτοι γὰρ ἦσαν, δι' ὧν καὶ τὸν πρὸ τοῦ χρόνον Ἀχαιὸς τά τε πρὸς τὸν Πτολεμαῖον, καὶ τὰς ἄλλας ἁπάσας τὰς ἔξωθεν ἐπιβολὰς ἐχείριζε.

Nicomachus & Melancomas.

XVIII. Παραγενόμενος δ' εἰς τὴν Ῥόδον, καὶ μετὰ ταῦτα πάλιν εἰς τὴν Ἔφεσον, καὶ κοινωσάμενος τοῖς προειρημένοις ἀνδράσι, καὶ λαβὼν αὐτοὺς ἑτοίμους εἰς

8. παρ' αὐτοῦ τοῦ σωζομ. correxit Casaub. cum esset παρὰ τούτου σωζομ. Malim cum Reiskio παρὰ τοῦ βασιλέως, καὶ αὐτοῦ τοῦ σωζομ.

ne quid esset, quod propositum retardaret, & multa porro ubi res habuisset exitum, se daturum pollicebatur: simul, a rege & illo ipso, cujus saluti consulebatur, mirifica quædam beneficia Bolin manere confirmans, spe ingenti animum ejus implevit. Itaque Bolis ad rem exsequendam promtus, nulla interjecta mora, tesseris ac fidei pignoribus acceptis, Rhodum ad *Nicomachum*, (qui benevolentia ac fide paternum Achæo affectum præstabat) & Ephesum ad *Melancomam* navigat. Isti namque erant, quorum opera in communicandis cum Ptolemæo consiliis & aliis omnibus externis negotiis, superioribus quoque temporibus usus erat Achæus.

18. Rhodum ut venit *Bolis*, ac mox Ephesum, cum dictis viris de hoc incepto locutus, eosque ad posmula-

ta

Digitized by Google

εἰς τὰ παρακαλούμενα, μετὰ ταῦτα Ἀριανόν τινα A.V.540. Bolis cum Cambylo agit per Arianum.
τῶν ὑφ' αὐτὸν τεταγμένων διαπέμπεται πρὸς τὸν
2 Καμβύλον· φήσας, ἐξαπεστάλθαι μὲν ἐκ τῆς Ἀλε-
ξανδρείας ξενολογήσων, βούλεσθαι δὲ τῷ Καμβύλῳ
συμμίξαι περί τινων ἀναγκαίων· διόπερ ᾤετο, δεῖν
τάξασθαι καιρὸν καὶ τόπον, ἐν ᾧ, μηδενὸς συνειδό-
3 τος, αὐτοῖς συναντήσουσι. Τάχυ δὲ τοῦ Ἀριανοῦ
συμμίξαντος τῷ Καμβύλῳ, καὶ δηλώσαντος τὰς ἐν-
τολὰς, ἑτοίμως ὁ προειρημένος ἀνὴρ ὑπήκουσε τοῖς
παρακαλουμένοις, καὶ συνθέμενος ἡμέραν καὶ τόπον
ἑκατέρῳ γνωστὸν, εἰς ὃν παρέσταν νυκτὸς, ἀπέπεμ-
4 ψε τὸν Ἀριανόν. Ὁ δὲ Βῶλις, ἅτε Κρὴς ὑπάρχων,
καὶ φύσει ποικίλος, πᾶν ἐβάσταζε πρᾶγμα, καὶ
5 πᾶσαν ἐπίνοιαν ἐψηλάφα. τέλος δὲ συμμίξας τῷ
Καμβύλῳ κατὰ τὴν τοῦ Ἀριανοῦ σύνταξιν, ἔδωκε
τὴν ἐπιστολήν. ἧς τεθείσης εἰς τὸ μέσον, ἐποιοῦντο
τὴν

XVIII. 2. διόπερ ᾤετο. διόπερ ἐγένετο, ᾤετο Herv. cum Laur. Veſont. & Regiis, quod ex δι' ἃ παρεγένετο, ὥστε δεῖν corruptum ſuſpicari licet cum Reiskio. 4. ἐβάσταζε. ἐβάσταξε Herv. cum multis omnibus.

ta ſua paratos nactus; mox *Arianum*, unum e ſuis, ad Cambylum cum hiſce mandatis proficiſci jubet: *ab Alexandria miſſum ſe peregrino militi conducendo; de neceſſariis quibusdam rebus cum Cambylo velle conferre. Cenſere igitur faciendum, ut tempus ac locum ſtatuerent, ubi ſine cujusquam conſcientia poſſent convenire.* Arianus cum Cambylo mox agit, ſuaque illi mandata exponit. Cambylus ad omnia, quæ petebantur, paratum ſe oſtendit, dieque & loco ambobus noto, quo noctu convenirent, conſtituto, Arianum remittit. *Bolis*, utpote Cretenſis, & natura varius, unamquamque rem in animo ſecum verſare, & omnes conſiliorum vias expendere. Tandem, ut erat cum Ariano conſtitutum, ad *Cambylum* accedit, epiſtolam ei tradit. Qua in medium poſita,

Digitized by Google

Ol. 141. 2. Cretica deliberatio.

τὴν σκέψιν Κρητικήν. οὐ γὰρ ἐσκόπουν ὑπὲρ τῆς 6
τοῦ κινδυνεύοντος σωτηρίας, οὐδ' ὑπὲρ τῆς τῶν ἐγ-
χειρισάντων τὴν πρᾶξιν πίστεως, ἀλλ' ὑπὲρ τῆς
αὐτῶν ἀσφαλείας, καὶ τοῦ σφίσιν αὐτοῖς συμφέ-
ροντος. Διόπερ, ἀμφότεροι Κρῆτες ὄντες, συντό- 7
μως κατηνέχθησαν ἐπὶ τὴν αὐτὴν γνώμην. αὕτη δ'
ἦν, τὰ μὲν παρὰ τοῦ Σωσιβίου προδεδομένα δέκα
τάλαντα διελέσθαι κοινῇ· τὴν δὲ πρᾶξιν Ἀντιόχῳ 8
δηλώσαντας, καὶ συνεργῷ χρησαμένους ἐπαγγείλα-
σθαι, τὸν Ἀχαιὸν ἐγχειριεῖν αὐτῷ, λαβόντας χρή-
ματα, καὶ τὰς εἰς τὸ μέλλον ἐλπίδας ἀξίας τῆς
προειρημένης ἐπιβολῆς. Τούτων δὲ κυρωθέντων, ὁ 9

Partes inter se dividunt Bolis & Cambylus.

μὲν Καμβῦλος ἀνεδέξατο, χειριεῖν τὰ κατὰ τὸν
Ἀντίοχον· ὁ δὲ Βῶλις ἐτάξατο, μετά τινας ἡμέρας
πέμψειν τὸν Ἀριανὸν πρὸς τὸν Ἀχαιόν, ἔχοντα πα-
ρά τε τοῦ Νικομάχου καὶ Μελαγκόμα συνθηματι-
κὰ

6. ἐγχειρισάντων correxi cum Reisk. Sic & cod. Vesont. Ceteri omnes vulgo ἐγχειρησάντων. 8. δηλώσαντας. δηλώσαντες & mox χρησάμενοι fuerat in Aug. a prima manu. Sic deinde λαβόντες etiam foret legendum. 9. συνθηματικὰ γράμματα correxi auctore Reiskio.

fita, *Creticam* ſuper ea *deliberationem* inſtituunt. Non enim de ſalute miſeri, cui periculum impendebat, neque de fide ſibi ab iis habita, qui hoc ipſis negotium crediderant, ſed de propria ſecuritate ſua atque utilitate conſultabant. Itaque, ambo quum eſſent Cretenſes, brevi diſceptatione habita, in eamdem ſententiam ſunt delapſi: ea erat, *ut decem talenta, quæ Soſibius in anteceſſum numeraverat, æquis partibus inter ſe dividerent; rem vero ut Antiocho aperirent, ſponderentque, ſi ope ſua ipſos iret adjutum, & pecuniam in præſens largitus, ſpes in poſterum oſtenderet tanto incepto pares, fore ut Achæum ipſi tradant.* His ita firmatis, agendi cum Antiocho curam in ſe Cambylus recipit. *Bolis, poſt dies paucos Arianum ſe* polliceturmiſſurum *ad Achæum, arcanas literas ab Nicomacho & Melancoma afferentem:*

Digitized by Google

καὶ γράμματα. περὶ δὲ τοῦ παρεισελθεῖν τὸν Ἀριστ- A.V.540.
νὸν εἰς τὴν ἄκρεαν ἀσφαλῶς, καὶ πάλιν ἀπελθεῖν,
ἐκεῖνον ἐκέλευε φροντίζειν. ἐὰν δὲ προσδεξάμενος
τὴν ἐπιβολὴν Ἀχαιὸς ἀντιφωνήσῃ τοῖς περὶ τὸν Νι-
κόμαχον καὶ Μελαγκόμαν· οὕτως, ἔφη, δώσειν ὁ
Βῶλις αὐτὸν εἰς τὴν χρείαν, καὶ συμμίξειν τῷ Καμ-
βύλῳ. Τῆς δὲ διατάξεως γενομένης τοιαύτης, χω-
ριωθέντες ἔπραττον ἑκάτεροι τὰ συντεταγμένα.

Καὶ λαβὼν καιρὸν πρῶτον ὁ Καμβῦλος, προσ- XIX.
φέρει τῷ βασιλεῖ τὸν λόγον. Ὁ δὲ Ἀντίοχος, Dolus Bolidis & Cambyli probatur Antiochq.
πρὸς τρόπον αὐτῷ καὶ παραδόξου γενομένης τῆς
ἐπαγγελίας, τὰ μὲν ὑπερχαρὴς ἦν, πάνθ' ὑπισχνεῖ-
το· τὰ δὲ διαπιστῶν, ἐξήταζε τὰς κατὰ μέρος
ἐπινοίας καὶ παρασκευὰς αὐτῶν. μετὰ δὲ ταῦτα
πιστεύσας, καὶ νομίζων ὡσανεὶ σὺν θεῷ γίγνεσθαι
τὴν ἐπιβολὴν, ἠξίου καὶ πολλάκις ἐδεῖτο τοῦ Καμ-
βύλου,

Reiskio. Vulgo omnes σύνθημά τι καὶ γράμματα. Sed in Aug. super τι est α, ut sit συνθήματα καὶ γράμματα, quod non spernam.

XIX. 2. *πρὸς τρόπον. πρὸς τρόπων Suid. quod probavit Gronovius. πρὸς τρόπου malim.*

tem: qui ut olim in arcem tuto ingrederetur, atque inde exiret, id vero curandum esse Cambylo. Quod si inceptum probaret Achæus, & Nicomacho ac Melancomæ responderet; tum ipsum Bolim rem adgressurum, & Cambylum fore conventurum. Hoc modo operas partiti, postquam discessum esset, suum uterque pensum curabant.

19. *Cambylus* igitur, ut primum se obtulit occasio, mentionem hujus rei apud regem facit. *Antiochus*, rei adeo sibi gratæ atque ejus inopinatæ pollicitationem audiens; partim gaudio exultans, omnia polliceri; partim diffidens, consilia illorum sigillatim velle cognoscere, & quam haberent rei perficiendæ copiam. Deinde fidem jam dictis habens, & velut deo auspice negotium institutum ratus, Cambylum rogare, multumque ac sæpe orare, ut inceptum perfi-

Digitized by Google

Ol. 141. 2. Dolus Bolidis & Cambyli.

βύλου, συντελεῖν τὴν πρᾶξιν. Τὸ δὲ παραπλήσιον ὁ Βῶλις ἐποίει πρὸς τὸν Νικόμαχον καὶ Μελαγκόμαν. οἱ δὲ, πιστεύοντες ἀπὸ τοῦ κρατίστου γίγνεσθαι τὴν ἐπιβολήν, καὶ παραυτίκα τῷ Ἀριανῷ συνθέντες τὰς πρὸς τὸν Ἀχαιὸν ἐπιστολὰς γεγραμμένας συνθηματικῶς, καθάπερ ἔθος ἦν αὐτοῖς, ἐξαπέστειλαν, παρακαλοῦντες πιστεύειν τοῖς περὶ τὸν Βῶλιν καὶ τὸν Καμβῦλον, οὕτως ὥστε τὸν κυριεύσαντα τῆς ἐπιστολῆς μὴ δύνασθαι γνῶναι μηδὲν τῶν ἐν αὐτῇ γεγραμμένων. Ὁ δὲ Ἀριανὸς, διὰ τοῦ Καμβύλου παρελθὼν εἰς τὴν ἄκραν, τὰ γεγραμμένα τοῖς περὶ τὸν Ἀχαιὸν ἀπέδωκε· καὶ συμπαρὼν ἀπὸ τῆς ἀρχῆς τοῖς γιγνομένοις, ἀκριβῶς τὸν κατὰ μέρος ὑπὲρ ἑκάστων ἀπεδίδου λόγον, πολλάκις μὲν καὶ ποικίλως ὑπὲρ τῶν κατὰ τὸν Σωσίβιον καὶ Βῶλιν ἀνακρινόμενος, πολλάκις δὲ περὶ Νικομάχου καὶ Μελαγκόμα, μάλιστα δὲ περὶ τῶν κατὰ τὸν Καμβῦλον. οὐ μὴν, ἀλλ' αὐτοπαθῶς καὶ γενναίως

5. *Verba* οὕτως ὥστε *usque* γεγραμμένων, *vel ex interpretamento ortæ, vel ante* ἐξαπέστειλαν *reponenda videri possunt.*

perficeret. *Bolis* quoque apud *Nicomachum & Melancomam* pariter operi instabat: qui fide sincera hæc geri arbitrati, epistolas e vestigio ad *Achæum* per notas, de quibus convenerat, scriptas (qui mos erat ipsorum) componunt, iisque missis hortantur, *ut Bolidi & Cambylo habere fidem ne dubitet:* quo fiebat, ut, si forte in potestatem alicujus venissent illæ literæ, nihil eorum, quæ intus erant scripta, posset cognosci. *Arianus* Cambyli opera in arcem admissus, literas *Achæo* tradidit: &, qui a principio cunctis, quæ gesta fuerant, interfuisset, exactam omnium singillatim rationem reddebat: quumque sæpe ac varie de Sosibio ac Bolide interrogaretur curiose, sæpe etiam de Nicomacho & Melancoma, maxime autem de Cambylo; ex vero animi affectu

Digitized by Google

A.V.540. Dolus Bolidis & Cambyli.

ναίως ὑπέμενε τοὺς ἐλέγχους, καὶ μάλιστα διὰ τὸ μὴ γινώσκειν τὸ συνέχον τῶν τῷ Καμβύλῳ καὶ Βώλιδι δεδογμένων. Ἀχαιὸς δὲ, καὶ διὰ τῶν ἀναιρέσεων τῶν τοῦ Ἀριανοῦ, καὶ μάλιστα διὰ τῶν παρὰ τοῦ Νικομάχου καὶ Μελαγκόμα συνθημάτων πιστεύσας, ἀντεφώνησε, καὶ παραχρῆμα πάλην ἐξέπεμψε τὸν Ἀριανόν. Πλεοναάκις δὲ τούτου γενομένου παρ' ἑκατέρων, τέλος οἱ περὶ τὸν Ἀχαιὸν ἐπέτρεψαν περὶ σφῶν τοῖς περὶ Νικόμαχον, ἅτε μηδεμιᾶς ἄλλης ἐλπίδος ἔτι καταλειπομένης πρὸς σωτηρίαν, καὶ πέμπειν ἐκέλευον ἅμα τῷ Ἀριανῷ τὸν Βῶλιν ἀσελήνου νυκτὸς, ὡς ἐγχειριοῦντες αὐτούς. Ἦν γάρ τις ἐπίνοια περὶ τὸν Ἀχαιὸν τοιαύτη· πρῶτον μὲν διαφυγεῖν τοὺς ἐνεστῶτας κινδύνους, μετὰ δὲ ταῦτα ποιήσασθαι διὰ προόδου τὴν ὁρμὴν ἐπὶ τοὺς κατὰ Συρίαν τόπους. πάνυ γὰρ εἶχε μεγάλας ἐλπίδας, ἐπιφανεὶς ἄφνω καὶ παραδόξως τοῖς κατὰ Συρίαν

10. περὶ. *An τοῖς περὶ τὸν Ἀχαιόν?* Ibid. *διὰ προόδου. δίχα προόδου suspicatus est Reisk. quod in vers. lat. expressit. Cogitaverant διὰ περιόδου. διὰ Ῥόδου voluerat Gronov.*

affectu ac fortiter examen quodvis sustinebat, præsertim quoniam præcipua eorum, quæ a Cambylo & Bolide decreta fuerant, ignorabat. *Achæus* & iis motus, quæ interrogatus responderat *Arianus*, & ante omnia notis illis fidem habens, quæ ab Nicomacho & Melancoma acceperat, respondet, ac statim Arianum remittit. Quod quum sæpius deinde ultro citroque esset factum; tandem *Achæus*, cui spes salutis nulla supererat alia, *Nicomacho* sese permittit, mandatque illi, ut *nocte, silente luna, cum Ariano Bolim mittat, cui se traditurus esset.* Erant autem Achæi cogitationes hujusmodi: omnium primum e præsentibus periculis esse evadendum; deinde, nullo adventus sui nuncio præmisso, Syriæ loca esse petenda. Satis enim credebat, magnaque in spe erat, si repente & inopinato, dum circa Sar-

Digitized by Google

Ol. 141. 2. Dolus Bolidis & Cambyli.

Συρίαν ἀνθρώποις, καὶ ἔτι διατρίβοντος Ἀντιόχου περὶ τὰς Σάρδεις, μέγα ποιήσειν κίνημα, καὶ μεγάλης ἀποδοχῆς τεύξεσθαι παρά τε τοῖς Ἀντιοχεῦσι καὶ τοῖς κατὰ Κοίλην Συρίαν καὶ Φοινίκην.

XX. Ὁ μὲν οὖν Ἀχαιὸς ἐπί τινος τοιαύτης προσδοκίας καὶ διαλογισμῶν ὑπάρχων, ἐκαραδόκει τὴν παρουσίαν τοῦ Βώλιδος. Οἱ δὲ περὶ τὸν Μελαγκόμαν ἀποδεξάμενοι τὸν Ἀριανὸν, καὶ τὰς ἐπιστολὰς ἀναγνόντες, ἐξέπεμπον τὸν Βῶλιν, παρακαλέσαντες διὰ πλειόνων, καὶ μεγάλας ἐλπίδας ὑποδείξαντες, ἐὰν καθίκηται τῆς ἐπιβολῆς. Ὁ δὲ, προδιαπεμψάμενος τὸν Ἀριανὸν, καὶ δηλώσας τῷ Καμβύλῳ τὴν αὐτοῦ παρουσίαν, ἦκε νυκτὸς ἐπὶ τὸν συντεθέντα τόπον. γενόμενοι δὲ μίαν ἡμέραν ἐπί τ' αὐτὸ, καὶ συνταξάμενοι περὶ τοῦ πῶς χειριοῦνται τὰ κατὰ μέρος, μετὰ ταῦτα νυκτὸς εἰσῆλθον εἰς τὴν παρεμβολήν. Ἡ δὲ διάταξις αὐτῶν ἐγεγόνει τοιαύτη τις· εἰ μὲν συμβαίνει τὸν Ἀχαιὸν ἐκ τῆς ἄκρας ἐλθεῖν

deis adhuc moraretur Antiochus, Syris hominibus se ostendisset, ingentem motum ibi iri excitatum, suamque præsentiam Antiochensibus & Cœlæ Syriæ & Phœniciæ populis fore acceptissimam.

20. Hæc similiave his præstolans *Achæus*, & apud se cogitans, Bolidis adventum sollicitus exspectabat. *Melancomas* Arianum suscipit, lectisque Achæi literis *Bolin* mittit, multis hortatus, &, si destinata perficeret, plurima pollicitus. Ille *Ariano* præmisso, qui de suo adventu *Cambylum* faceret certiorem, noctu ad conditum locum venit: ubi quum diem integrum una fuissent, &, qua ratione singula administraturi essent, de communi sententia statuissent, mox' silentio noctis castra ingrediuntur. Erat autem *ordo rei gerendæ, quem instituerant*, hujusmodi. Si quidem Achæus ex arce solus,

Digitized by Google

ἐλθεῖν μόνον ἢ καὶ δεύτερον μετὰ τοῦ Βώλιδος καὶ A.V.540. Dolus
Ἀριανοῦ, τελέως εὐκαταφρόνητος, ἔτι δ' εὐχείρωτος Bolidis & Cambyli.
6 ἔμελλε γίγνεσθαι τοῖς ἐνεδρεύουσιν. εἰ δὲ μετὰ πλείσ-
νων, δύσχρηστος ἡ πρόθεσις ἀπέβαινε τοῖς πεπι-
στευμένοις, ἄλλως τε καὶ ζωγρείᾳ σπεύδουσι κυριεύ-
σαι, διὰ τὸ τῆς πρὸς τὸν Ἀντίοχον χάριτος τὸ
7 πλεῖστον ἐν τούτῳ κεῖσθαι τῷ μέρει. διόπερ ἔδει τὸν
μὲν Ἀριανὸν, ὅταν ἐξάγῃ τὸν Ἀχαιὸν, ἡγεῖσθαι, διὰ
τὸ γινώσκειν τὴν ἀτραπὸν, ᾗ πολλάκις ἐπεπείπτο καὶ
8 τὴν ἔσοδον καὶ τὴν ἔξοδον· τὸν δὲ Βῶλιν ἀκολουθεῖν
τῶν ἄλλων κατόπιν, ἵνα, ἐπειδὰν παραγένηται πρὸς
τὸν τόπον, ἐν ᾧ τοὺς ἐνεδρεύοντας ἑτοίμους ὑπάρχειν
ἔδει διὰ τοῦ Καμβύλου, τότε ἐπιλαβόμενος κρατοίη
τὸν Ἀχαιὸν, καὶ μήτε διαδρᾶίη κατὰ τὸν θόρυβον,
νυκτὸς οὔσης, διὰ τόπων ὑλωδῶν, μήτ' αὐτὸν ῥίψαι
κατά τινος κρημνοῦ περιπαθὴς γενόμενος, πέσοι δὲ
κατὰ τὴν πρόθεσιν ὑπὸ τὰς τῶν ἐχθρῶν χεῖρας

XX. 8. μήτ' αὐτὸν. καὶ μήτ' αὐτὸν Herv. cum omnibus mistis.

lus, vel uno dumtaxat comitatus, cum Bolide & Ariano exiret, facile utique insidiatores hominem aspernaturi, & sine ullo periculo manus ipsi erant injecturi. Sin autem cum pluribus comitibus egrederetur, difficile fore, ut hi, quorum fidei se commisisset, consilium suum exsequantur; quum præsertim capere vivum vellent, in quo pars magna gratiæ, quam ab Antiocho sperabant, erat posita. Oportebat igitur, ut Arianus, cum Achæum educeret, viam præiret, quia semitam illam norat, quam sæpe ingrediens egrediensque triverat: Bolim vero pone alios sequi, ut, postquam ad locum illum foret ventum, ubi Cambyli opera paratæ insidiæ futuræ erant, prehensum Achæum teneret: ne ille vel beneficio noctis, per silvas & dumeta in ipso tumultu evaderet, vel præ dolore de aliquo prærupto saxo præcipitem se daret, sed, ut erat propositum, in hostium potestatem

Digitized by Google

Ol. 141. 2. Dolus Bolidis & Cambyli.

ζωγρείας. Τούτων δὲ συγκειμένων, καὶ παραγενομένου τοῦ Βώλιδος ὡς τὸν Καμβῦλον, ᾗ μὲν ἦλθε νυκτὶ, ταύτῃ παράγει πρὸς τὸν Ἀντίοχον τὸν Βῶλιν ὁ Καμβῦλος, μόνος πρὸς μόνον. Ἀποδεξαμένου δὲ τοῦ βασιλέως φιλοφρόνως, καὶ δόντος πίστεις ὑπὲρ τῶν ἐπαγγελιῶν, καὶ παρακαλέσαντος ἀμφοτέρους διὰ πλειόνων, μηκέτι μέλλειν ὑπὲρ τῶν προκειμένων, τότε μὲν ἀνεχώρησαν εἰς τὴν αὐτῶν παρεμβολήν· ὑπὸ δὲ τὴν ἑωθινὴν Βῶλις ἀνέβη μετὰ τοῦ Ἀριανοῦ, καὶ παρεισῆλθεν ἔτι νυκτὸς εἰς τὴν ἄκραν.

XXI. Achæi cautio.

Ἀχαιὸς δὲ προσδεξάμενος ἐκτενῶς καὶ φιλοφρόνως τὸν Βῶλιν, ἀνέκρινε διὰ πλειόνων ὑπὲρ ἑκάστου τῶν κατὰ μέρος. Θεωρῶν δὲ καὶ κατὰ τὴν ἐπιφάνειαν τὸν ἄνδρα καὶ κατὰ τὴν ὁμιλίαν ἔλκοντα τὸ τῆς πράξεως στάσιμον, τὰ μὲν περιχαρὴς ἦν διὰ τὴν ἐλπίδα τῆς σωτηρίας, τὰ δὲ πάλιν ἐπτοημένος, καὶ πλήρης ἀγωνίας, διὰ τὸ μέγεθος τῶν ἀποβησομένων.

tem vivus deveniret. His igitur ita constitutis, venit *Bolis* ad Cambylum: a quo prima statim nocte ad *Antiochum* deducitur, solus ad solum. Quem postquam benigne rex accepisset, deque promissis præmiis fidem suam dedisset, pluribusque verbis utrumque esset cohortatus, ne institutum negotium diutius differrent, in sua castra mox illi sunt reversi: appetente vero mane adscendit *Bolis cum Ariano*, &, priusquam illuceſceret, arcem est ingressus.

21. *Achæus* prolixo animo singularique comitate eum excipit, & super unaquaque re sigillatim multis quæsitis, fidem hominis explorat. Quumque cerneret, ipsum & vultu & sermonibus gravitatem præ se ferre, tanti ponderis incepto parem, modo blandiente salutis spe gestiebat lætitia, modo rursus ob magnitudinem futuri eventus ceu attonitus & instantibus curis anxius erat.

Digitized by Google

3 μένων. Ὑπάρχων δὲ καὶ κατὰ τὴν διάνοιαν οὐδενὸς A.V.540.
ἧττων, καὶ κατὰ τὴν ἐν πράγμασι τριβὴν ἱκανὸς,
ὅμως ἀκμὴν ἔκρινε μὴ πᾶσαν εἰς τὸν Βῶλιν ἀνακρε-
4 μάσαι τὴν πίστιν. διὸ ποιεῖται τοιούτους λόγους
πρὸς αὐτὸν, ὅτι κατὰ μὲν τὸ παρὸν οὐκ ἔστι δυνα-
τὸν ἐξελθεῖν αὐτῷ, πέμψει δέ τινας τῶν φίλων μετ'
ἐκείνου τρεῖς ἢ τέτταρας· ὧν συμμιξάντων τοῖς περὶ
τὸν Μελαγκόμαν, ἕτοιμον αὐτὸν ἔφη παρασκευάσειν
5 πρὸς τὴν ἔξοδον. Ὁ μὲν οὖν Ἀχαιὸς ἐποίει τε δυ-
νατά· τοῦτο δ' ἠγνόει τὸ δὴ τὸ λεγόμενον, πρὸς Cum Cre-
Κρῆτα κρητίζων. ὁ γὰρ Βῶλις οὐδὲν ἀψηλάφητον tense cre-
εἶχε τῶν ἐπινοηθέντων ἂν εἰς τοῦτο τὸ μέρος. tissans.
6 Πλὴν παραγενομένης τῆς νυκτὸς, ἐν ᾗ συνεξαπο-
στέλλειν ἔφη τοὺς φίλους, προπέμψας τὸν Ἀριανὸν
καὶ τὸν Βῶλιν ἐπὶ τὴν τῆς ἄκρας ἔξοδον, μένειν
προσέταξε, μέχρις ἂν οἱ μέλλοντες αὐτοῖς συνεξορ-

XXI. 3. ὑπάρχων δὲ. δὲ *in* δὴ *ex conject. mutaverat Casaub.* 6. προσέταξε. μένειν ἔφη προσέταξε *Herv. cum mss. omnibus, excepto Vtb.* ἔφη *ex* ἐκεῖ *corruptum suspicatus est Reisk.*

erat. Sed, ut qui judicio nemini esset secundus, rerum autem usu non mediocriter polleret, statuit tamen secum, nondum omnem prorsus fiduciam in *Bolide* reponere. Itaque sermonibus hujusmodi illum convenit: *impræsentiarum quidem exire se non posse; verum tres quatuorve e numero amicorum una cum ipso missurum: qui si cum Melancoma essent collocuti, mox datum se operam, ut ad exeundum sit paratus.* Ita *Achæus*, quantum ejus fieri poterat, sibi cavit: sed hoc illum fugiebat, quod, ut dici solet, *cum Cretense cretissabat;* nam Bolis nihil reliquerat intactum aut inexpensum eorum, quæ in tali re poterant excogitari. Ceterum ubi nox advenit, qua emissurum se una cum ipsis suorum aliquos dixerat: præmissis *Ariano* & *Bolide* ad arcis portam, qua exibant, opperiri ipsos eo loci jussit illorum adventum, qui profecturi cum ipsis erant. & illi

Digitized by Google

Ol. 141. 2. μᾶν παραγένωνται. τῶν δὲ πειθαρχησάντων, κοι-
νωσάμενος παρ' αὐτὸν τὸν καιρὸν τῇ γυναικὶ, καὶ
Laodice uxor Achæi. ποιήσας διὰ τὸ παράδοξον τὴν Λαοδίκην ἔκφρονα·
χρόνον μέν τινα λιπαρῶν ταύτην καὶ καταπραΰνων
ταῖς προσδοκωμένοις ἐλπίσι προσεκαρτέρει· μετὰ
δὲ ταῦτα πέμπτος αὐτὸς γενόμενος, καὶ τοῖς μὲν
ἄλλοις μετρίας ἐσθῆτας ἀναδοὺς, αὐτὸς δὲ λιτὴν
καὶ τὴν τυχοῦσαν ἀναλαβὼν, καὶ ταπεινὸν αὐτὸν
ποιήσας, προῆγε· συντάξας ἑνὶ τῶν φίλων, αὐτὸν
ἀεὶ ἀποκρίνασθαι πρὸς τὸ λεγόμενον ὑπὸ τῶν περὶ
τὸν Ἀριανὸν, καὶ πυνθάνεσθαι παρ' ἐκείνων ἀεὶ τὸ
κατεπεῖγον, περὶ δὲ τῶν ἄλλων φάναι, βαρβάρους
αὐτοὺς ὑπάρχειν.

XXII. Capitur Achæus. Ἐπεὶ δὲ συνέμιξαν τοῖς περὶ τὸν Ἀριανὸν, ἡγεῖ-
το μὲν αὐτὸς αὐτῶν διὰ τὴν ἐμπειρίαν· ὁ δὲ Βῶλις
κατόπιν ἐπέστη κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν,
ἀπορῶν καὶ δυσχρηστούμενος ὑπὲρ τοῦ συμβαίνον-
τος.

3. μετρίας. μετρίοις mendose Herv. quod in μετρίους cum Vrsino mutavit Casaub. Ibid. τὴν τυχοῦσαν. Articulum, qui aberat vulgo, adscivi ex Vrb.

illi quidem dicto parent. *Achæus* vero quum uxori in ipso illo articulo consilium indicasset, ac tam inopinatæ rei novitate *Laodicen* exanimasset; solandæ conjugi, & commemoratione eorum, quæ sperabat, mitigandæ, temporis aliquantum impendit. Dein quatuor amicis comitatus, quibus mediocrem amictum dederat, in vili ipse & plebeja veste, totus ad humilem conditionem compositus, præire instituit. Vni suorum præceperat, ut ad omnia, quæ Arianus aut Bolis dicerent, solus ipse responderet, & ex illis, quidquid usus postularet, ipse scisciteretur, ceteros diceret esse barbaros.

22. Vbi cum Ariano & Bolide se conjunxerunt, propter locorum notitiam præcedebat ceteris *Arianus;* pone sequebatur *Bolis*, sicut ab initio fuerat constitutum, plane animi anxius, & in præsens consilii incertus. Nam

Digitized by Google

A.V.540. Capitur Achæus.

ατος. καίπερ γὰρ ὢν Κρὴς, καὶ πᾶν ἄν τι κατὰ τοῦ πέλας ὑποπτεύσας, ὅμως οὐκ ἠδύνατο διὰ τὸ σκότος συννοῆσαι τὸν Ἀχαιὸν, οὐχ οἷον τίς ἐστὶν, ἀλλ' οὐδὲ καθάπαξ εἰ πάρεστι. Τῆς δὲ καταβάσεως κρημνώδους μὲν καὶ δυσβάτου κατὰ τὸ πλεῖστον ὑπαρχούσης, ἔν τισι δὲ τόποις καὶ λίαν ἐπισφαλεῖς ἐχούσης καὶ κινδυνώδεις καταφοράς, ὁπότε παραγένοιτο πρός τινα τοιοῦτον τόπον, τῶν μὲν ἐπιλαμβανομένων, τῶν δὲ πάλιν ἐκδεχομένων τὸν Ἀχαιὸν· (οὐ δυναμένων γὰρ καθόλου τὴν ἐκ τῆς συνηθείας καταξίωσιν στέλλεσθαι πρὸς τὸν παρόντα καιρὸν·) ταχέως ὁ Βῶλις συνῆκε, τίς ἐστὶ καὶ ποῖος αὐτῶν ὁ Ἀχαιός. Ἐπεὶ δὲ παρεγένοντο πρὸς τὸν τῷ Καμβύλῳ διατεταγμένον τόπον, καὶ τὸ σύνθημα προσυρίξας ὁ Βῶλις ἀπέδωκε, τῶν μὲν ἄλλων οἱ διαναστάντες ἐκ τῆς ἐνέδρας ἐπελάβοντο· τὸν δ' Ἀχαιὸν

XXII. 3. παραγένοιτο. παραγένοιντο malim cum Reisk. 4. δυναμένων γὰρ. Particulam γὰρ ex mistis revocavi. δὲ dederat Herv. cum Med. Prorsus omisit Casaub. 5. προσυρίξας. Forf. προσυρίξας. Ibid. ἀπέδωκε. Correxi mendosum ἐπέδωκε.

Nam etsi *Cretensis* erat, quidvis suspicari facilis in alienam perniciem, non tamen poterat, tenebris impedientibus, Achæum agnoscere, non dicam quis ille esset, verum ne illud quidem omnino, an adesset. Erat via ad descendendum plerisque in locis prærupta & invia; alicubi vero etiam lubrica & periculosa præcipitia habebat: ad hujusmodi aliquem locum quoties accedebatur, quum alii manu prehenderent *Achæum*, alii rursus illum ab his exciperent; (neque enim penitus continere se poterant, quo minus consuetam de more illi reverentiam præstarent;) mox intellexit *Bolis*, quis e comitatu esset *Achæus*. Vt vero ventum est ad locum a *Cambylo* constitutum, dat primo Bolis signum, sicut constitutum erat, sibilo: deinde ceteros quidem illi comprehendunt, qui ex insidiis surrexerant; at *Achæum Bolis* ipse

Digitized by Google

Ol.141.2. αὐτὸς ὁ Βῶλις ὁμοῦ τοῖς ἱματίοις, ἔνδον τὰς χεῖρας ἔχοντα, συνήρπασε, φοβηθεὶς, μὴ συννοήσας τὸ γιγνόμενον ἐπιβάλοιτο διαφθείρειν αὐτόν· καὶ γὰρ εἶχε μάχαιραν ὑφ' αὑτῷ παρεσκευασμένος. ταχὺ δὲ καὶ πανταχόθεν κυκλωθεὶς, ὑποχείριος ἐγένετο τοῖς ἐχθροῖς, καὶ παραχρῆμα μετὰ τῶν φίλων ἀνήγετο πρὸς τὸν Ἀντίοχον. Ὁ δὲ βασιλεὺς, πάλαι μετέωρος ὢν τῇ διανοίᾳ, καὶ παραδοκῶν τὸ συμβησόμενον, ἀπολύσας τοὺς ἐκ τῆς συνουσίας, ἔμενε μόνος ἐγρηγορὼς ἐν τῇ σκηνῇ μετὰ δυοῖν ἢ τριῶν σωματοφυλάκων. παρεισελθόντων δὲ τῶν περὶ τὸν Καμβύλον, καὶ καθισάντων τὸν Ἀχαιὸν ἐπὶ τὴν γῆν δεδεμένον· εἰς τοιαύτην ἀφασίαν ἦλθε διὰ τὸ παράδοξον, ὥστε πολὺν μὲν χρόνον ἀποσιωπῆσαι, τὸ δὲ τελευταῖον συμπαθὴς γενέσθαι καὶ δακρύσαι. τοῦτο δ' ἔπαθεν, ὁρῶν, ὡς ἐμοί γε δοκεῖ, τὸ δυσφύλακτον καὶ παράλογον τῶν ἐκ τῆς τύχης συμβαινόντων.

Ad Antiochum vinctus ducitur Achæus.

6. ἐπιβάλοιτο cum Reisk. posui pro corrupto ἐπιλάβοιτο. 8. ἐγρηγορὼς. ἐγρηγόρως Vrb. Aug. Regii, Vosson.

ipse *corripuit* cum vestibus suis, intra quas manus habebat: verebatur enim, ne fraude intellecta manus sibi afferre gladio, qui paratus illi sub veste aderat, aggrederetur. Statim vero ambientium corona cinctus, in potestatem inimicorum fuit, & e vestigio cum suis ad *Antiochum* est adductus. Rex, dudum suspensus animi, & cœpti exitum sollicitus exspectans, dimissis convivis solus in tabernaculo, duobus aut tribus satellitibus adstantibus, vigilans manebat. Postquam subito ingressus *Cambylus*, vinctum *Achæum* humi destituisset, adeo illi præ admiratione hæsit vox faucibus, ut post diuturnum silentium sortem illius ad extremum miseraretur & lacrymas funderet. Puto equidem, hoc illi usuveniisse, consideranti, quam inevitabiles, quamque inopinati

Digitized by Google

πάντων. Ἀχαιὸς γὰρ ἦν Ἀνδρομάχου μὲν υἱὸς τοῦ Λαοδίκης ἀδελφοῦ, τῆς Σελεύκου γυναικὸς· ἔγημε δὲ Λαοδίκην τὴν Μιθριδάτου τοῦ βασιλέως θυγατέρα, κύριος δὲ ἐγεγόνει τῆς ἐπὶ τάδε τοῦ Ταύρου πάσης. δοκῶν δὲ τότε καὶ ταῖς αὐτοῦ δυνάμεσι καὶ ταῖς τῶν ὑπεναντίων ἐν ὀχυρωτάτῳ τόπῳ τῆς οἰκουμένης διατρίβειν, ἐκάθητο δεδεμένος ἐπὶ τῆς γῆς, ὑποχείριος γενόμενος τοῖς ἐχθροῖς, οὐδέπω γινώσκοντος οὐδενὸς ἁπλῶς τὸ γεγονὸς, πλὴν τῶν πραξάντων.

A.V.540. Achæi genus & dignitas.

Οὐ μὴν, ἀλλ' ἅμα τῷ φωτὶ συναθροιζομένων τῶν φίλων εἰς τὴν σκηνὴν κατὰ τὸν ἐθισμὸν, καὶ τοῦ πράγματος ὑπὸ τὴν ὄψιν θεωρουμένου· τὸ παραπλήσιον τῷ βασιλεῖ συνέβαινε πάσχειν καὶ τοὺς ἄλλους. θαυμάζοντες γὰρ τὸ γεγονὸς, ἠπίστουν τοῖς ὁρωμένοις. Καθίσαντος δὲ τοῦ συνεδρίου, πολλοὶ μὲν ἐγίγνοντο λόγοι περὶ τοῦ τίσι δεῖ κατ' αὐτοῦ χρήσαθαι

XXIII. Supplicium sumitur de Achæo.

D 5

pinati fint fortunæ caſus. Achæus enim Andromachi erat filius, fratris Laodicæ, quæ Seleuco nupſit; duxerat vero uxorem Laodicen Mithridatis regis filiam: univerſam vero cis Taurum Aſiam imperio ſuo rexerat. Tum autem, cum & ipſius & hoſtium exercitus in munitiſſimo orbis terrarum loco ipſum verſari exiſtimaret, vinculis oneratus humi ſedebat, in manu inimicorum poſitus; nemine dum, præter facti auctores, quid eſſet factum, ſciente.

23. Prima luce convenientibus, ut fit, in prætorium regis amici, ante omnium oculos poſito hocce ſpectaculo, idem aliis quoque ac regi uſuveniebat: ea namque cunctos inceſſit admiratio, ut, quæ ſuismet oculis cernebant, ſatis vera non crederent. Poſtquam in concilio proceres ſederunt, variæ de ſupplicio, quod de illo ſumendum eſſet, dictæ ſunt

Ol. 141. 2, σαθαι τιμωρίαις. ἔδοξε δ' οὖν, πρῶτον μὲν ἀκρωτηριάσαι τὸν ταλαίπωρον· μετὰ δὲ ταῦτα, τὴν κεφαλὴν ἀποτεμόντας αὐτοῦ, καὶ καταῤῥάψαντας εἰς ὄνειον ἀσκὸν, ἀναστανρῶσαι τὸ σῶμα. Γενομένων δὲ τούτων, καὶ τῆς δυνάμεως ἐπιγνούσης τὸ συμβεβηκὸς, τοιοῦτος ἐνθουσιασμὸς ἐγένετο καὶ παράστασις τοῦ στρατοπέδου παντὸς, ὥστε τῆς Λαοδίκης ἐκ τῆς ἄκρας, μόνον συνειδυίας τὴν ἔξοδον τ' ἀνδρὸς, τεκμήραθαι τὸ γεγονὸς ἐκ τῆς περὶ τὸ στρατόπεδον ταραχῆς καὶ κινήσεως. Ταχὺ δὲ καὶ τοῦ κήρυκος παραγενομένου πρὸς τὴν Λαοδίκην, καὶ διασαφοῦντος τὰ περὶ τὸν Ἀχαιὸν, καὶ κελεύοντος τίθεσθαι τὰ πράγματα, καὶ παραχωρεῖν τῆς ἄκρας· τὸ μὲν πρῶτον ἀναπόκριτος οἰμωγὴ καὶ θρῆνοι παράλογοι κατεῖχον τοὺς περὶ τὴν ἀκρόπολιν, οὐχ οὕτω διὰ τὴν πρὸς τὸν Ἀχαιὸν εὔνοιαν, ὡς διὰ τὸ παράδοξον καὶ τελέως ἀνέλπιστον ἑκάστῳ φαίνεσθαι τὸ συμβεβηκός. μετὰ δὲ ταῦτα πολλὴ

Arx Sardium traditur Antiocho.

3 4 5 6 7

sunt sententiæ. Demum placuit, primum ut extremis membris miser Achæus mutilaretur, deinde, ut, amputato capite & utri asinino insuto, truncus in crucem tolleretur. Quo facto, ubi rem exercitus resciyit, adeo castra universa fanaticus quidam furor & effusa lætitia incessit, ut Laodice in arce, cui hoc dumtaxat innotuerat, maritum exiisse, casum illius e tumultu ac motu castrensi conjiceret. Mox venit caduceator ad Laodicen, eorum, quæ Achæo acciderant, nuncius, simul jubens, ut cura rerum se abdicaret, atque arcem traderet. Tum vero qui in arce erant, pro responso ejulatum primo & incondita lamenta edere incipiunt, non tam ob benevolentiam adversus Achæum, quam quod nova atque admirabilis planeque inopinata ea res cunctis accidebat. Deinde

Digitized by Google

πολλή τις ἦν ἀπορία καὶ δυσχρηστία περὶ τοὺς ἔν- A.V.540.
δον. Ἀντίοχος δὲ, διακεχειρισμένος τὸν Ἀχαιὸν,
ἐπεῖχε τοῖς κατὰ τὴν ἄκραν ἀεὶ, πεπεισμένος,
ἀφορμὴν ἐκ τῶν ἔνδον αὐτῷ παραδοθήσεσθαι, καὶ
μάλιστα διὰ τῶν στρατιωτῶν. ὃ καὶ τέλος ἐγένετο.
9 Στασιάσαντες γὰρ πρὸς σφᾶς, ἐμερίθησαν, οἱ μὲν
πρὸς Ἀριόβαζον, οἱ δὲ πρὸς τὴν Λαοδίκην. οὗ γενο-
μένου, διαπιστήσαντες ἀλλήλοις, ταχέως ἀμφότε-
10 ροι παρέδοσαν αὐτοὺς καὶ τὰς ἀκροπόλεις. Ἀχαιὸς Achei
μὲν οὖν, πάντα τὰ κατὰ λόγον πράξας, ὑπὸ δὲ fatum,
τῆς τῶν πιστευθέντων ἠτιμωθεὶς ἀθεσίας, κατεστρέ- exem-
plum po-
ψατο τὸν βίον· κατὰ δύο τρόπους οὐκ ἀνωφελὲς iteris.
11 ὑπόδειγμα γενόμενος τοῖς ἐσομένοις· καθ' ἕναμὲν,
πρὸς τὸ μηδενὶ πιστεύειν ῥᾳδίως· καθ' ἕτερον δὲ,
πρὸς τὸ μὴ μεγαλαυχεῖν ἐν ταῖς εὐπραγίαις, πᾶν
δὲ προσδοκᾶν ἀνθρώπους ὄντας.

VI.

XXIII. 9. Ἀριόβαζον. Ἀρίβαζον videtur ſcribendum, ut ſuperius.

τῇ προθέσει συνεργούσης. Οἱ μὲν οὖν Ταραντῖνοι τοῦτον τὸν τρόπον ὑπερνεολκήσαντες τὰς νῆας εἰς τὴν ἔξω θάλατταν, ἐπολιόρκουν ἀσφαλῶς τοὺς ἐκ τῆς ἄκρας, ἀφῃρημένοι τὰς ἔξωθεν αὐτῶν ἐπικουρίας. Ἀννίβας δὲ φυλακὴν ἀπολιπὼν τῆς πόλεως, ἀνέζευξε μετὰ τῆς δυνάμεως, καὶ παρεγένετο τριταῖος ἐπὶ τὸν ἐξ ἀρχῆς χάρακα, καὶ τὸ λοιπὸν τοῦ χειμῶνος ἐνταῦθα διατρίβων, ἔμενε κατὰ χώραν.

IX.

EX HISTORIA EXPVGNATIONIS SYRACVSARVM.

XXXVII. Μαθὼν δὲ ἐξ αὐτομόλου διασαφήσαντος, ὅτι ἑορτὴν ἄγουσι πάνδημον, καὶ τοῖς μὲν σιτίοις λιτοῖς χρῶνται διὰ τὴν σπάνιν, τῷ δὲ οἴνῳ δαψιλεῖ, ἐπολιόρκει.

Τοὺς

nus admovebant, ingens erat. Ita igitur Tarentini, navibus hoc pacto per siccum transvectis in exterius mare, arcem tuentes omni jam externo subsidio exclusos tuto oppugnabant. *Hannibal*, relicto in urbe præsidio, cum ceteris copiis profectus, tertio die ad ea castra, unde exierat, pervenit: ubi quod reliquum erat hiemis per quietem egit.

IX.

37. Cum autem ex transfuga cognovisset, festum publicum eos celebrare, & cibis quidem parcis uti, propter penuriam, vino autem largiori; oppugnare urbem instituit. (*Suidas in* Λιτοῖς.)

Captis

Digitized by Google

A.V.542.

1 Τοὺς δὲ Ῥωμαίους θαῤῥεῖν συνέβαινε, κρατοῦντας τοῦ περὶ τὰς Ἐπιπολὰς τόπου. Epipolæ captæ.

X.

FRAGMENTA MINORA VARII ARGVMENTI.

1 Οὕτως οἱ πλείους τῶν ἀνθρώπων τὸ κευφότατον ἥκιστα φέρειν δύνανται, λέγω δὲ τὴν σιωπήν. XXXVIII.

2 Πᾶσα γὰρ ἐλευθερίᾳ μετ' ἐξουσίας πολυχρονίου, φύσιν ἔχει κόρον λαμβάνειν τῶν ὑποκειμένων· κἄπειτα ζητεῖ δεσπότην. τυχοῦσά γε μὴν τούτου, ταχὺ πάλιν μισεῖ.

3 Ἄγκαρα, πόλις Ἰταλίας. τὸ ἐθνικὸν, Ἀγκαράτης, ὡς Πολύβιος ὀγδόῃ.

Captis vero *Epipolis*, animus Romanis & audacia accessit. (*Suidas in* Ἐπιπολάς.)

X.

38. Ita quidem plerique hominum id quod facillimum est, *silentium* dico, minime omnium ferre possunt. (*Ora codicis Vrbinatis.*)

Fieri quippe ita solet, ut, qui per longum tempus libertate potestateque usi sunt, eos satietas capiat præsentis rerum status, utque dominum dehinc requirant: quem tamen postquam nacti sunt, mox eumdem rursus odio prosequuntur. (*Ibidem.*)

Ancara, Italiæ oppidum. Gentile *Ancarates*, ut Polybius VIII. (*Stephanus Byz.*)

Dassa-

Digitized by Google

Δασσαρῆται, ἔθνος Ἰλλυρίας. Πολύβιος ὀγ-4
δόῳ.

Ὕσκανα, πόλις Ἰλλυρίδος, οὐδετέρως. Πολύ-5
βιος ἡ.

XXXVIII. 4. Δασσαρῆται. Δαρσαρῆται utique videtur scribendum.

Daſſaritae, (potiùs *Daſſaretae*,) populus Illyriae. Polybius VIII. (*Steph. Byz.*)

Hyſcana, oppidum Illyridis, neutraliter. Polybius VIII. (*Idem.*)

ΤΗΣ

Digitized by Google

ΤΗΣ ΕΝΝΑΤΗΣ ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.

EX PROOEMIO LIBRI NONI.

Ol.142.1. A.V.543.

I. Olympiadum ratio.

Αἱ μὲν οὖν ἐπιφανέσταται πράξεις τῶν ὑπὸ τῆς προειρημένης Ὀλυμπιάδος περιληφθεισῶν, καὶ τοῦ τετραετοῦς διαστήματος, ὃ φαμὲν δεῖν Ὀλυμπιάδα νομίζειν, εἰσὶν αὗται· περὶ ὧν ἡμεῖς ἐν δυσὶ βιβλίοις πειρασόμεθα ποιεῖσθαι τὴν ἐξήγησιν. Οὐκ ἀγνοῶ δὲ, διότι συμβαίνει, τὴν πραγματείαν ἡμῶν ἔχειν αὐστηρόν τι, καὶ πρὸς ἓν γένος ἀκροατῶν οἰκεσυ-

Cap. I. 1. φαμὲν δεῖν. δεῖ Hero. Aug. Regii, Veſont.

LIBRI NONI HISTORIARVM POLYBII RELIQVIAE.

I.

Excerpt. antiq. ex Lib. IX. *cap.* 1. 2.

Quod igitur ad res geſtas attinet, quæ in modo dictam Olympiadem inciderunt, & quadriennii ſpatium, quod pro *Olympiade* debere cenſeri monuimus, earum maxime inſignes iſtæ ſunt, quas duobus libris peragere conabimur. Ceterum non ſum neſcius, noſtrum hoc argumentum auſteri & inamœni aliquid in ſe habere, ac propter uniformem ſcriptionem uni dumtaxat lectorum

Digitized by Google

Ol.142.1. Varia Historiarum genera.

κεισθαι καὶ κρίνεσθαι, διὰ τὸ μονοειδὲς τῆς συντάξεως. Οἱ μὲν γὰρ ἄλλοι συγγραφεῖς σχεδὸν ἅπαν- 3
τες, εἰ δὲ μή γε οἱ πλείους, πᾶσι τοῖς τῆς ἱστορίας μέρεσι χρώμενοι, πολλοὺς ἐφέλκονται πρὸς ἔντευξιν τῶν ὑπομνημάτων. Τὸν μὲν γὰρ φιλήκοον ὁ γενεα- 4
λογικὸς τρόπος ἐπισπᾶται· τὸν δὲ πολυπράγμονα καὶ περιττὸν, ὁ περὶ τὰς ἀποικίας καὶ κτίσεις καὶ
Ephorus. συγγενείας, καθά που καὶ παρ' Ἐφόρῳ λέγεται· τὸν δὲ πολιτικὸν, ὁ περὶ τὰς πράξεις τῶν ἐθνῶν
Res gestas exponit Polybius. καὶ πόλεων καὶ δυναστῶν. Ἐφ' ὧν ἡμεῖς ψιλῶς 5
κατηγητικότες, καὶ περὶ τούτων πεποιημένοι τὴν ὅλην τάξιν, πρὸς ἓν μέν τι καὶ γένος, ὡς προεῖπον, οἰκείως ἡρμόσμεθα· τῷ δὲ πλείονι μέρει τῶν ἀκροατῶν ἀψυχαγώγητον παρεσκευάκαμεν τὴν ἀναγνωσιν.

4. ἐπισπᾶται correxi cum Vossio. ἐπίσταται Herv. cum mstis; quod in ἐφίσταται ex conject. mutavit Casaub. 5. ἐφ' ὧν δὲ mox περὶ τούτων. Fortasse ἐφ' ὃν δὲ περὶ τοῦτον, ut Reiskius voluit. Ibidem pro τάξιν cum eodem utique σύνταξιν malim.

rum generi esse accommodatum, & posse probari. Nam ceteri quidem Scriptores ferme omnes, aut plerique certe, quia Historiæ partes universas adhibent, ad lectionem suorum operum multos alliciunt. Etenim *qui una legendi voluptate ducuntur, eos (deorum heroumque) generationes attrahunt; multiplicis & reconditæ doctrinæ curiosos, sermo de coloniis antiquis, de conditu urbium, de populorum inter ipsos cognatione;* quemadmodum & apud *Ephorum* alicubi legitur. *Virum vero politicum res gestas scire juvat nationum, civitatum, & eorum qui populis dominantur.* Ad cujus argumenti nudam tractationem quum animum appulerimus nostrum, nec quidquam aliud hoc opere, nisi rerum gestarum narrationem, profiteamur; ad unum videlicet genus lectorum idonee sumus comparati, eaque a nobis concinnata est Historia, quæ majori audientium parti nullam magnopere oblectationem sit allatura.

Digitized by Google

1 την. Τίνος δὲ χάριν, τἆλλα μὲν μέρη τῆς ἱστορίας ἀποδοκιμάσαντες, αὐτὰ τὰ κατὰ τὰς πράξεις προελόμεθα γράφειν, ἐν ἑτέροις ἡμῖν εἴρηται διὰ πλειόνων· πεφιλαιωδῶς γε μὴν οὐδὲν ἐπέχει καὶ νῦν, ἐμφάσεως χάριν, ὑπομνῆσαι τοὺς ἀκούοντας. A.V.543.

II. Alia genera consulto omittit.

Πολλῶν γὰρ καὶ πολλαχῶς ἐξηριθμημένων τά τε περὶ τὰς γενεαλογίας καὶ μύθους, καὶ περὶ τὰς 2 ἀποικίας, ἔτι δὲ καὶ συγγενείας καὶ κτίσεις· λοιπὸν ἢ τὰ ἀλλότρια δεῖ λέγειν ὡς ἴδια τὸν νῦν περὶ τούτων πραγματευόμενον, ὃ πάντων ἐστὶν αἴσχιστον· ἢ, τοῦτο μὴ βουλόμενον, προδήλως ματαιοπονεῖν, ὑπὲρ τοιούτων ὁμολογοῦντα συντάττεσθαι καὶ φροντίζειν, εἰ διὰ τῶν προγενεστέρων ἱκανῶς δεδήλωται 3 καὶ παραδέδοται τοῖς ἐπιγιγνομένοις. ταῦτα μὲν οὖν παρελείφθη τούτων ἕνεκα, καὶ πλειόνων ἑτέρων. 4 Ὁ δὲ πραγματικὸς τρόπος ἐνεκρίθη, πρῶτον μὲν διὰ

allatura. Sed quæ nos cauſſæ impulerint, ut ceteris Hiſtoriæ partibus rejectis, *Res geſtas* duntaxat ſuſciperemus ſcribendas, & pluribus alibi expoſuimus, & nunc quoque ſummatim ejus monere lectorem, ne conſilii noſtri rationem ignoret, nihil vetat.

2. Nam quum & de veteribus genealogiis fabulisque, & coloniis antiquis, de populorum cognationibus, de urbium conditu, multifariam & enucleate a multis ſit expoſitum; id jam utique ſupereſt, ut, ſi quis rerum earumdem tractationem aggrediatur, is vel aliena pro ſuis neceſſario obtrudat, quo nihil queat eſſe turpius; aut ſi hoc nolit, inanem manifeſto laborem ſuſcipiat: qui quidem iis de rebus ſcribere ſe ac laborare conſiteatur, quas majorum diligentia luculente expoſuit, & poſteriorum memoriæ tradidit. Hæc igitur cum hanc ob rationem prætermiſimus, tum propter alias plures. Illud contra Hiſtoriæ genus, quo *Res geſtæ* explicantur, idcirco probavimus, primo quia continen-

Digitized by Google

Ol.142.1. διὰ τὸ καινοποιεῖσθαι συνεχῶς, καὶ καινῆς ἐξηγήσεως δεῖσθαι, τῷ μὴ συμβατὸν εἶναι τοῖς ἀρχαίοις τὸ τὰς ἐπιγιγνομένας πράξεις ἡμῖν ἐξαγγεῖλαι. δεύτερον δὲ, καὶ διὰ τὸ πάντων ὠφελιμώτατον αὐτὸν, καὶ πρὸ τοῦ μὲν, μάλιστα δὲ νῦν ὑπάρχειν, τῷ τὰς ἐμπειρίας καὶ τέχνας ἐπὶ τοσοῦτον προκοπὴν εἰληφέναι καθ' ἡμᾶς, ὥστε πᾶν τὸ παραπίπτον ἐκ τῶν καιρῶν ὡσανεὶ μεθοδικῶς δύνασθαι χειρίζειν τοὺς φιλομαθοῦντας. Διόπερ ἡμεῖς οὐχ οὕτω τῆς τέρψεως στοχαζόμενοι τῶν ἀναγνωσομένων, ὡς τῆς ὠφελείας τῶν προσσχόντων, τἆλλα παρέντες, ἐπὶ τοῦτο τὸ μέρος κατηνέχθημεν. Περὶ μὲν οὖν τούτων, οἱ συνεφιστάνοντες ἐπιμελῶς ἡμῶν τοῖς ὑπομνήμασι, βεβαιόταται μαρτυρήσουσι τοῖς νῦν λεγομένοις.

Hoc utilissimum judicat.

II.

II. 4. τοῖς ἀρχαίοις ex ejusdem Reiskii conject. scripsi, cum vulgo esset ταῖς ἀρχαῖς εἰς τὸ τὰς ἐπιγιγν. 6. προσσχόντων. Altera sibilantem inserui. Vulgo προσχόντων. Nec vero spernam προσεσχόντων.

tinenter, quæ eo spectant, innovantur, ut nova etiam narratione subinde sit opus; quoniam non fuit in potestate majorum, res ætate ipsorum posteriores nobis enarrare. Deinde, quod genus hoc Historiæ, & semper quidem antea omnium fuit utilissimum, nunc tamen multo etiam magis: quoniam nostris hisce temporibus tantum experientia atque usu omnes artes fecerunt incrementi, ut jam, quicumque casus acciderit, quadam veluti arte dirigere sua consilia discendi studiosi valeant. Qui ergo non tam oblectationem lectorum hac scriptione quæreremus, quam utilitatem eorum quibus hæc curæ sunt, ceteris Historiæ partibus omissis, ad hanc potissimum nos contulimus. Verum ad ista quod attinet, quisquis commentarios nostros attente legerit, is suo testimonio dictis meis ultro fidem adstruet.

H.

Digitized by Google

II.

A.V.543.

BELLVM HANNIBALICVM.

Hannibal Capuâ Romam petit.

✻ ✻ ✻

III. Appius Capuam, Hannibal Appium obsidet.

Ἀννίβας δὲ κύκλῳ περιλαμβάνων τὸν χάρακα τοῦ Ἀππίου, τὸ μὲν πρῶτον ἠκροβολίζετο καὶ κατεπέ-
2 ξαζε, βουλόμενος ἐκκαλεῖσθαι πρὸς μάχην. οὐδενὸς δὲ συνυπακούοντος, τέλος ἐγίγνετο πολιορκίᾳ παρα-πλήσιον τὸ συμβαῖνον· τῶν μὲν ἱππέων ἐπιφερομέ-νων ταῖς ἴλαις, καὶ μετὰ κραυγῆς εἰσακοντιζόντων εἰς τὴν παρεμβολήν, τῶν δὲ πεζῶν κατὰ σπείρας προσπιπτόντων, καὶ διασπᾶν τὸ χαράκωμα πειρω-
3 μένων. οὐ μὴν, ἀλλ' οὐδ' ὡς ἐδύνατο κινῆσαι τοὺς Ῥω-μαίους ἐκ τῆς ὑποκειμένης προθέσεως· ἀλλὰ τοῖς μὲν εὐζώνοις ἀπετρίβοντο τοὺς προσπίπτοντας πρὸς τὸν χάρακα, τοῖς δὲ βαρέσι τῶν ὅπλων ἀσφαλιζό-μενοι τὴν ἐπιφορὰν τῶν βελῶν, ἔμενον ἐν τάξει κατὰ τὰς

III. Titulus *in ora Cod. Vtb.* Ἔλευσις Ἀννίβου πρὸς τὴν Ῥώμην· καὶ περὶ Καπύης.

II.

Excerpt. antiq. ex Lib. IX. *cap.* 3-9.

✻ ✻ ✻

3. *Hannibal*, caſtra *Appii* milite ſuo undique cingens, levia primo facere prælia, & vellicare hoſtem, ut ad juſtam pugnam eliceret. Quum provocatione illius moveretur nemo, tandem oppugnationi ſimilis res evaſit; ſimul equitibus turmatim invadentibus, ac clamore ſublato tela in Romana caſtra jaculantibus; ſimul peditibus manipulatim irruentibus, ac vallum diruere conantibus. Verum ne ſic quidem a ſuſcepta ſemel ſententia dimoveri potuerunt Romani, qui quidem leviter armatorum opera repellebant irrumpentes, gravi autem armatura pro munitione utentes adverſus tela hoſtilia, ordinati ſub ſignis manebant.

Digitized by Google

Ol.142.1. τοὺς σημαίας. Ἀννίβας δὲ δυσαρεστούμενος τοῖς 4 ὅλοις, διὰ τὸ μήτε παραπεσεῖν εἰς τὴν πόλιν δύνασθαι, [μήτε ἐκκαλεῖσθαι] τοὺς Ῥωμαίους, ἐβουλεύετο περὶ τῶν ἐνεστώτων, τί χρὴ ποιεῖν. Ἐμοὶ δ' οὐς μόνοις ἂν δοκῇ Καρχηδονίοις τὰ τότε συμβαίνοντα παρέχειν ἀπορίαν, ἀλλὰ καὶ τῶν ἄλλων ἀνθρώπων τοῖς πυθομένοις. Τίς γὰρ οὐκ ἂν ἀπιστήσαι, πῶς ὁ Ῥωμαῖοι, πολλαῖς μὲν ἡττημένοι μάχαις ὑπὸ Καρχηδονίων, οὐ τολμῶντες δὲ κατὰ πρόσωπον ἔτι συγκαθίστασθαι τοῖς ὑπεναντίοις, ὅμως οὔτ' εἴκειν εἶοί τ' ἦσαν, οὔτ' ἐκχωρεῖν τῶν ὑπαίθρων; καὶ τὸν μὲν πρὸ τοῦ χρόνον ἀντιπαρῆγον μόνον ἀεὶ ταῖς ὑπωρείαις, τότε δὲ καθιστάντες εἰς τὰ πεδία καὶ τὸν ἐπιφανέστατον τόπον τῆς Ἰταλίας, ἐπολιόρκουν τὴν ἰσχυροτάτην πόλιν, κύκλῳ προσμαχομένων αὐτοῖς τῶν πολε-

Invictus Romanorum animus.

4. *Verba* μήτε ἐκκαλεῖσθαι, *quæ absunt vulgo, inserui ex Reiskii conject. Lacunam punctis interpositis indicaverat Casaub.* 7. καθιστάντες. *An* καθίσαντες?

nebant. *Hannibal* enimvero, qui neque ingredi urbem ullo aſtu, neque ab obſidione repellere poterat Romanos, parum lætum hujus expeditionis ſuæ exitum ſibi jam ſpondens, de cetero, quid opus eſſet facto, deliberabat. Mihi vero, quæ tunc temporis gerebantur, talia videntur, ut non ſolum Carthaginienſibus, verum etiam quibusvis mortalium, qui fando illa acciperent, mira utique accidere debuerint. Etenim quis non ambigat, quî factum ſit, ut Romani, qui, poſt tot clades a Pœnis acceptas, prodire in aciem ad dimicandum recta fronte cum hoſtibus non audebant, iidem tamen nec victos ſe fateri, nec apertis excedere locis ſuſtinuerint? imo vero, ut, quum antea non niſi per montium radices agmen ducentes, hoſtem a latere ſequi conſueviſſent, nunc in plana camporum & nobiliſſimum totius Italiæ locum deſcenderint, urbemque munitiſſimam obſederint; quantumvis ipſos omni ex parte hoſtis ille oppugnaret,

Digitized by Google

πολεμίων, πρὸς οὓς οὐδ' ἐπινοήσαντες εἶοί τ' ἦσαν A.V.543.
αὐτοφθαλμεῖν· Καρχηδόνιοί τε, ἀδιαλείπτως νικῶντες ταῖς μάχαις, οὐχ ἧττον ἐνίοις καιροῖς ἐδυσχερήστοῦντο τῶν ἡττωμένων. Δοκεῖ δέ μοι αἴτιον τοῦτο γεγονέναι τῆς ἑκατέρων προαιρέσεως, τὸ παρ' ἀμφοῖν συντεθεωρῆσθαι, διότι τὸ παρ' Ἀννίβου σύνταγμα τῶν ἱππέων αἴτιον ἦν καὶ τοῦ νικᾶν τοὺς Καρχηδονίους, καὶ τοῦ λείπεσθαι τοὺς Ῥωμαίους. διόπερ αἵ τε τῶν ἡττωμένων στρατοπέδων ἀντιπαραγωγαὶ μετὰ τὰς μάχας εὐθέως κατ' αὐτῶν ἐγίγνοντο· διὰ γὰρ τόπων τοιούτων ἀντιπαρῆγον, ἐν οἷς οὐδὲν ἔμελλε βλάψειν αὐτοὺς τὸ τῶν ὑπεναντίων ἱππικόν· τά τε περὶ τὴν Καπύην τότε συμβαίνοντα, εἰκότως ἑκατέροις ἀπήντα.

In equitatu præcipua vis Hannibalis.

Τὸ μὲν γὰρ τῶν Ῥωμαίων στρατόπεδον ἐξιέναι μὲν πρὸς μάχην οὐκ ἐθάῤῥει, τῷ δεδιέναι τοὺς τῶν πολε- IV.

7. οὐδ' ἐπινοήσ. ex conjecł. ſcripſi: vulgo omnes οὔτ' ἐπινοήσ. 8. ἐνίοις. ἐν ἐνίοις edidit Caſaub. invitis mſtis. Ibid. ἡττωμένων. Sic Vrb. Alii vulgo ἡττημένων. 10. ἡττωμένων. ἡττημένων primus h. l. edidit Gron. invitis libris. Ibid. κατ' αὐτῶν ex conjecł. poſui, pro vulgato κατ' αὐτόν.

ret, adverſus quem rectos tenere oculos ne cogitantes quidem poterant? denique quî factum ſit, ut *Carthaginienſes*, cum perpetuo victores e pugnis diſcederent, non minoribus ſubinde incommodis affecti ſint, quam victi? Ac mihi quidem inſtituti utrorumque hæc videtur cauſſa fuiſſe, quod penitus perſpectum utrique habebant, *Hannibalis equitatum eſſe cauſſam, cur vincerent Carthaginienſes, vincerentur Romani.* Propterea nimirum & ſtatim poſt facta prælia Romani, quamvis victi, per colles a latere perſequi hoſtem ſolebant; quibus in locis hoſtilis equitatus nullum ipſis detrimentum erat allaturus: & per eamdem rationem conſentaneum erat, ut, quæ ad Capuam tunc fiebant, ab utraque parte ita acciderent.

4. Nam Romanæ quidem legiones, hoſtilis equitatus metu, prodire ad dimicationem

Digitized by Google

Ol.142.1. πολεμίων ἱππεῖς· ἔμενε δ' ἐν τῇ παρεμβολῇ τετολ-2
μηκότως, σαφῶς εἰδὸς, ἀβλαβῆ τὴν ἵππον αὐτοῖς
Cur Capuam reliquerit Hannibal? ἐσομένην, ὑφ' ἧς ἐν ταῖς μάχαις ἡττᾶτο. οἵ τε Καρ-3
χηδόνιοι πάλιν εὐλόγως οὔτε στρατοπεδεύσαντες
μετὰ τῆς ἵππου μένειν ἐδύναντο πλείω χρόνον, διὰ
τὸ τὰ μὲν ἐν τῇ παρακειμένῃ χώρᾳ χορτάσματα
πάντα κατεφθαρκέναι τοὺς Ῥωμαίους αὐτοῦ τούτου
χάριν, τοῖς δὲ νώτοις οὐκ ἐφικτὸν εἶναι, τοσαύτῃ μὲν
ἵππῳ, τοσούτοις δ' ὑποζυγίοις κατανύσαι χόρτον
ἢ κριθὰς κομίζοντας ἐκ μακροῦ διαστήματος· οὔτε4
μὴν ἄνευ τῶν ἱππέων παραστρατοπεδεύσαντες ἐθάρ-
ρουν πολιορκεῖν χάρακα καὶ τάφρον προβεβλημέ-
νους τοὺς ὑπεναντίους, πρὸς οὓς καὶ τὸν ἐξ ἴσου κίν-
δυνον αὐτοῖς ἀμφίδοξον εἶναι συνέβαινε χωρὶς τῶν
ἱππέων. ἔτι δὲ πρὸς τούτοις ἠγωνίων καὶ τοὺς ἐπι-5
καθισταμένους ἐπ' αὐτοὺς, μὴ παραγενηθέντες ἐπι-
στρατοπεδεύσωσιν, καὶ πολλὴν ἀπορίαν σφίσι παρα-
στή-

nem non audebant: eædemque intra castra nihil quidquam metuentes manebant, quoniam compertum habebant, equites, a quibus in acie collatis signis semper vincebantur, nihil jam sibi obfuturos. Rursus *Carthaginienses* neque *cum equitatu* eodem loco metari castra diutius commode poterant, quoniam pabula omnia per totam illam regionem ob id ipsum a Romanis fuerant corrupta, dossuariorum autem vectione tantum vel fœni vel hordei e longinquo comportari non poterat, quantum numerus ingens equorum & jumentorum postulabat: neque vero *absque equitatu* manere, & Romanos vallo ac fossa munitos aggredi audebant; cum quibus etiam ubi ex æquo pugnandum foret, dubius ipsis, absque equitatus opera, pugnæ eventus erat futurus. Augebat insuper sollicitudinem Carthaginiensium, quod multæ adversus se cogebantur copiæ; quæ, si advenirent, & prope sua castra locum aliquem opportunum insiderent, ademto rei frumentariæ commeatu summis diffi-

Digitized by Google

στήσαιεν, ἀφελόμενοι τὴν τῶν χορηγιῶν ἐπάρκειαν. A.V.543.
6 Ἐξ ὧν συλλογιζόμενος Ἀννίβας ἀδύνατον ὑπάρχον τὸ διὰ τῆς ἐκ χειρὸς βίας λῦσαι τὴν πολιορκίαν, 7 ἐπ' ἄλλης ἐγένετο γνώμης. ὑπέλαβε γὰρ, εἰ λαθραίαν ποιησάμενος τὴν πορείαν αἰφνιδίως ἐπιφανείη τοῖς κατὰ τὴν Ῥώμην τόποις, ἴσως μὲν ἂν καὶ περὶ τὴν πόλιν ἀνύσασθαί τι τῶν χρησίμων, ἐκπλήξας τῷ παραδόξῳ τοὺς ἐνοικοῦντας· εἰ δὲ μὴ τοῦτο, τούς γε περὶ τὸν Ἄππιον ἀναγκάσειν, ἢ λύειν τὴν πολιορκίαν, σπεύδοντας τῇ πατρίδι βοηθεῖν, ἢ διαιροῦντας τὴν δύναμιν, εὐκαταγωνίστους ὑπάρξειν καὶ τοὺς βοηθοῦντας καὶ τοὺς ἀπολειπομένους αὐτῶν.

Cur Capuam reliquerit Hannibal?

Ἃ διανοηθεὶς, ἐξέπεμψε γραμματοφόρον εἰς τὴν Καπύην, πείσας τινὰ τῶν Λιβύων αὐτομολῆσαι πρὸς τοὺς Ῥωμαίους, κἀκεῖθεν εἰς τὴν πόλιν, προνοηθεὶς 2 τῆς τῶν γραμμάτων ἀσφαλείας. πάνυ γὰρ ἠγωνία, μὴ θεωρήσαντες αὐτὸν ἀπαλλαττόμενον οἱ Καπυηνοὶ,

V. Capuanos de consilio suo monet.

difficultatibus ipsos essent affecturæ. Quæ omnia quum *Hannibal* intelligeret, persuasus, obsidionem vi aperta solvi non posse, alio se mente & cogitatione convertit. Cogitavit enim, si, clam itinere confecto, repente *circa Romam* esset conspectus, territis inopinatæ rei miraculo civibus, de urbe etiam ipsa fortasse nonnihil, quod operæ pretium foret, se perfecturum: sin minus, at certe *Appium* coacturum, ut vel obsidione desisteret, studio defendendæ patriæ, vel copias suas divideret, cujus rei consequens foret, ut de utrisque, cum qui pro ferenda ope contenderent, tum qui relinquerentur ad Capuam, facilis esset victoria futura.

5. Hæc meditatus, nuncium Capuam cum litteris mittit. Asrum enim quemdam donis perlicit, ut acceptis literis, quarum securitati diligenter prospexerat, specie transfugæ castra Romana ingressus, altera parte Capuam clam pervadat. Admodum enim una ea cura angebat, ne, ubi abscedentem Capuani vidissent, perterriti

Ol. 142. 1. Capuanos de consilio suo monet Hannibal.

κἄπειτα διατραπέντες, ὡς ἀπηλπισμένοι, παραδῶσι τοῖς Ῥωμαίοις ἑαυτούς. Διὸ γράψας ὑπὲρ τῆς 3 ἐπιβολῆς, ἀπέστειλε τὸν Λίβυν τῇ μετὰ τὴν ἀναζυγήν, ἵνα, συνέντες τὴν πρόθεσιν αὐτοῦ κατὰ τὸν χωρισμὸν, εὐθαρσῶς ὑπομένοιεν τὴν πολιορκίαν. Τοῖς δ' ἐν τῇ Ῥώμῃ προσπεπτωκότων τῶν περὶ τὴν 4 Καπύην, διότι παρεστρατοπεδευκὼς Ἀννίβας πολιορκεῖ τὰς δυνάμεις αὐτῶν, ὀρθοὶ ταῖς διανοίαις καὶ περίφοβοι πάντες ἦσαν, ὡς καὶ πρὸς τὰ ὅλα διατεινούσης τῆς ἐνεστηκυίας κρίσεως. διὸ καὶ ταῖς ἐξ- 5 αποστολαῖς καὶ ταῖς παρασκευαῖς πρὸς τοῦτο τὸ μέρος ὅλοι καὶ πάντες ἐνενεύκεσαν. Οἱ δὲ Καπυη- 6 νοὶ, κομισάμενοι τὰ παρὰ τοῦ Λίβυος γράμματα, καὶ γνόντες τὴν ἐπίνοιαν τῶν Καρχηδονίων, ἔμενον ἐπὶ τῶν ὑποκειμένων, κρίνοντες ἔτι ταύτην ἐξελέγξαι τὴν

V. 3. ἀπέστειλε. *Vulgo* ἦς ἀπέστειλε. *Delendum putavi* ἦς. *Possis vero* ὃ σαπέστειλε *vel* ἐξαπέστειλε *suspicari* Ibid. μετὰ τὴν ἀναζυγήν. κατὰ τὴν ἀναζ. *Med. quod verum videtur; sed ita, ut transpositis verbis legatur* ὑπὲρ τῆς ἐπιβολῆς τῆς κατὰ τὴν ἀναζυγήν, ἀπέστειλε τὸν Λίβυν. Ibid. κατὰ τὸν χωρ. *correxi cum Reisk. Vulgo* καὶ τὸν χωρισμόν.

territi e vestigio atque omni penitus spe destituti, Romanis sese dederent. Igitur exposito per epistolam consilio suo, postridie quam moverat castra Afrum illum misit, ut obsessi, cognita profectionis suæ caussa & fine, confidenter obsidionem tolerarent. Interim, qui *Romæ* erant, ut est allatum, quo loco res ad Capuam essent, Hannibalem videlicet castris collatis Romanas legiones obsidere, suspensi omnes animis magnoque in metu esse, quasi dies ille immineret, qui belli totius aleam cerneret. Itaque, & auxilia submittendo, & necessaria quævis præsidia comparando, toti in hanc omnes curam incumbunt. *Capuani* vero, literis acceptis, quas Afer tulerat, & Carthaginiensium cognito consilio, istius adhuc spei eventum rati explorandum, in proposito constantes

Digitized by Google

7 τὴν ἐλπίδα. Ἀννίβας δὲ μετὰ πέμπτην ἡμέραν τῆς παρουσίας, δεσπνοποιησάμενος, καὶ καταλιπὼν τὰ πυρὰ καιόμενα, τοιαύτην ἐποίησε τὴν ἀναζυγήν, ὥστε μηδένα συνεῖναι τῶν πολεμίων τὸ συμβαῖνον. 8 χρησάμενος δὲ ταῖς πορείαις διὰ τῆς Σαυνίτιδος ἐνεργοῖς καὶ συνεχέσι, καὶ τοὺς περὶ τὴν ὁδὸν τόπους ἀεὶ ταῖς προπορείαις ἐξερευνώμενος καὶ προκατα- 9 λαμβάνων· ἔτι τῶν ἐν τῇ Ῥώμῃ ταῖς διανοίαις περὶ τὴν Καπύην καὶ τὰς ἐκεῖ πράξεις ὄντων, ἔλαθε διαβὰς τὸν Ἀννίωνα ποταμὸν, καὶ συνεγίσας, ὥστε μὴ πλεῖον τεσσαράκοντα σταδίων ἀποσχὼν τῆς Ῥώμης, ποιήσασθαι τὴν παρεμβολήν.

A.V.543. Hannibal ad Romam.

Οὗ γενομένου καὶ προσπεσόντος εἰς τὴν Ῥώμην, εἰς ὀλοσχερῆ συνέβη ταραχὴν καὶ φόβον ἐμπεσεῖν 2 τοὺς κατὰ τὴν πόλιν· ἅτε τοῦ πράγματος αἰφνιδίου μὲν ὄντος καὶ τελέως ἀνελπίστου, διὰ τὸ μηδέποτε τὸν Ἀννίβαν ἐπὶ τοσοῦτον ἀπηρκέναι τῆς πό-

VI. Consternatio Romæ.

8. πρoπoρείαις. *Sic fere codd.* πρoπoρίαις *Vrb.* πρωτoπoρείαις *edidit Caſaub. cum Vrſino.*

ſtantes manſerunt. *Hannibal*, quinto poſt adventum ſuum die, cœnatus, ſic movit caſtra, accenſos ignes relinquens, ut ejus rei ſenſus ad neminem ex hoſtibus perveniret. Atque is per Samnium raptim ſine intermiſſione iter faciens, perque ſuorum manum, præire agmen juſſam, omnes viarum aditus ante explorans & occupans; dum adhuc Romani, qui in Vrbe erant, nonniſi in Capuam, & res quæ ibi gerebantur, defixas cogitationes habebant, *Annienem* amnem copias traduxit, & eo usque acceſſit, ut quinque millia paſſuum a Roma caſtra prius poneret, quam adventus ejus animadverteretur.

6. Cujus rei poſtquam allatus eſt Romam nuncius, populum univerſum tumultus ac pavor invaſerunt, ut in repentina re & prorſus inopinata; numquam enim Hannibal adeo prope ad urbis

Digitized by Google

Ol.142.1. λεως· ὑποτρεχούσης δέ τινος ἅμα καὶ τοιαύτης ἐν-
νοίας, ὡς οὐχ οἷόν τε, τοὺς ἐναντίους ἐπὶ τοσοῦτον
ἐγλίσαι καὶ καταθαῤῥῆσαι, μὴ οὐ τῶν περὶ Καπύην
στρατοπέδων ἀπολωλότων. Διόπερ οἱ μὲν ἄνδρες 3
τὰ τείχη προκατελάμβανον, καὶ τοὺς πρὸ τῆς πό-
Mos matronarum. λεως εὐκαίρους τόπους· αἱ δὲ γυναῖκες περιπορευόμε-
ναι τοὺς ναοὺς, ἱκέτευον τοὺς θεούς, πλύνουσαι ταῖς
κόμαις τὰ τῶν ἱερῶν ἐδάφη. τοῦτο γὰρ αὐταῖς ἔθος 4
ἐστὶ ποιεῖν, ὅταν τις ὁλοσχερὴς τὴν πατρίδα κατα-
λαμβάνῃ κίνδυνος. Ἄρτι δὲ τῶν περὶ τὸν Ἀννίβαν 5
κατεστρατοπεδευκότων, καὶ διανοουμένων τῇ μετὰ
ταῦθ' ἡμέρᾳ καταπειράζειν αὐτῆς τῆς πόλεως, γί-
γνεταί τις παράδοξόν τι καὶ τυχικὸν σύμπτωμα πρὸς
Cn. & P. Confules. σωτηρίαν τοῖς Ῥωμαίοις. Οἱ γὰρ περὶ τὸν Γναῖον 6
καὶ Πόπλιον, τοῦ μὲν ἑνὸς στρατοπέδου πρότερον
πεποιημένοι τὴν καταγραφὴν, ἐνόρκους εἶχον τοὺς
στρατιώτας, εἰς ἐκείνην τὴν ἡμέραν ἥξειν ἐν τοῖς
ὅπλοις εἰς τὴν Ῥώμην· τοῦ δ' ἑτέρου τότε τὰς κατα-
γραφὰς

bis mœnia accefferat. Simul omnium mentibus hæc cogitatio fuboriebatur, numquam potuiffe fieri, ut usque eo appropinquare hoftes effent aufi, nifi deletis prius ad Capuam legionibus. Igitur muros quidem & opportuna quæque ante urbem loca viri occupant: mulieres vero circa deum delubra difcurrunt, fupplicia diis faciunt, ædium facrarum pavimenta crinibus paffis mundant. Is namque illis mos eft, quoties in aliquo infigniore & graviore periculo patria verfatur. Vbi *Hannibal* caftra communiffet, die infequente urbem aggredi cogitans, commodum cafus quidam inopinatus ac fors fortuita Romanis falutaris accidit. *Cnæus (Fulvius)* & *Publius (Sulpicius,)* quum jam ante unam legionem confcripfiffent, fidem militum facramento obftrinxerant, venturos eo die Romam cum armis: alterius tunc dilectum

γραφὰς ἐποιοῦντο καὶ δοκιμασίας. Ἐξ οὗ συνέβη, A.V.543
πλῆθος ἀνδρῶν αὐτομάτως ἀθροισθῆναι πρὸς τὸν δέοντα καιρὸν εἰς τὴν Ῥώμην· οὓς ἐξαγαγόντες εὐθαρσῶς οἱ στρατηγοὶ, καὶ παρεμβαλόντες πρὸ τῆς πόλεως, ἐπέσχον τὴν ὁρμὴν τῶν περὶ τὸν Ἀννίβαν.

8Οἱ γὰρ Καρχηδόνιοι τὰ μὲν πρῶτον ὥρμησαν, οὐχ Agrum Romanum popularur Hannibal.
ὅλως ἀπελπίζοντες αἱρήσειν κατὰ κράτος αὐτὴν τὴν Ῥώμην· συνθεασάμενοι δὲ τοὺς ὑπεναντίους παρατεταγμένους, καὶ ταχέως διά τινος αἰχμαλώτου πυθόμενοι τὸ γεγονὸς, τῆς μὲν ἐπὶ τὴν πόλιν ἐπιβολῆς ἀπέστησαν, τὴν δὲ χώραν ἐδήουν ἐπιπο-
9ρευόμενοι, καὶ τὰς οἰκίας ἐνεπίμπρασαν. τὰς μὲν οὖν ἀρχὰς ἀναρίθμητον περιελασάμενοι λείας πλῆθος, ἤθροισαν εἰς τὴν παρεμβολὴν, ὡς ἂν εἰς ἄγραν ἥκοντες τοιαύτην, εἰς ἣν οὐδεὶς οὐδέποτε πολέμιον ἦλθεν ἐλπίζε.

G 4 Μετὰ

ctum agebant, & milites probabant. Quo factum eſt, ut ingens virorum numerus ſponte ſua Romam illo die, opportuno ſane tempore, conveniret. Hos igitur quum confidenter eduxiſſent *Conſules*, & ante urbis mœnia caſtra communiſſent, impetum Hannibalis repreſſerunt. Nam Carthaginienſes initio ei expeditioni ita ſe accinxerant, ut qui non plane deſperarent, ipſam quoque Romam per vim capere ſe poſſe. Nunc quum inſtructos in aciem hoſtes viderent, & mox omnia a quodam captivo eſſent edocti; ab urbis quidem oppugnandæ conſilio deſtiterunt; agrum vero, quoquoverſum diſcurſantes, omnem ſunt populati, & ædificia incenderunt. Et ita quidem initio prædam in caſtra congeſſerunt, quam abegerant, infinitam; quippe qui ad eas opes diripiendas acceſſiſſent, ad quas prædatum nemo ullum umquam hoſtem eſſe venturum crediderat.

7. At

Digitized by Google

Ol. 142. 1. VII. Recedit ab Vrbe.

Μετὰ δὲ ταῦτα τῶν ὑπάτων τολμησάντων ἐν δέκα σταδίοις ἀντιστρατοπεδεῦσαι σφίσι παραβόλως, Ἀννίβας ἅμα μὲν λείας πλῆθος ἠθροικὼς, ἅμα δὲ τῆς κατὰ τὴν πόλιν ἐλπίδος ἀποπεπτωκὼς· τὸ δὲ μέγιστον, συλλογιζόμενος τὰς ἡμέρας, ἐν αἷς ἤλπιζε κατὰ τὴν ἐξ' ἀρχῆς ἐπίνοιαν, πυθομένους τοὺς περὶ τὸν Ἄππιον τὸν περὶ τὴν πόλιν κίνδυνον, ἤτοι λύσαντας τὴν πολιορκίαν ὁλοσχερῶς παραβοηθήσειν τοῖς ἐπὶ τῇ Ῥώμῃ πράγμασιν, ἢ μέρος τι καταλιπόντας, τῷ πλείονι βοηθήσειν κατὰ σπουδήν· ὧν ὁπότερον ἂν συμβῇ, δεόντως ἔξειν ὑπειληφὼς, ἐκίνει τὴν δύναμιν ἐκ τῆς παρεμβολῆς ὑπὸ τὴν ἑωθινήν. Οἱ δὲ περὶ τὸν Πόπλιον, διασπάσαντες τὰς ἐπὶ τοῦ προειρημένου ποταμοῦ γεφύρας, καὶ συναναγκάσαντες αὐτὸν διὰ τοῦ ῥεύματος περαιοῦν τὴν δύναμιν, προσέκειντο τοῖς Καρχηδονίοις περὶ τὴν διάβασιν, καὶ πολλὴν παρεῖχον δυσχρηστίαν. ὁλοσχερὲς μὲν οὖν οὐδὲν ἐδύναντο πρᾶξαι, διὰ

Eum persequitur Sulpicius Cos.

7. At mox, ubi magno ausu sustinuissent *Consules* stadia decem ab hostium castris castra ponere; *Hannibal*, qui tantam cumulasset prædam, spe autem urbis potiundæ excidisset, qui denique, id quod erat omnium maximum, speraret, Appium (sicut ipse ab initio proposuerat) audito urbis Romæ periculo, vel omissa obsidione totis viribus ad ferendam patriæ opem discessurum, vel relicta ibi parte exercitus, cum altera eaque majore parte ad defensionem urbis esse accursurum; quorum utrumvis contigisset, bene se facturum, si castra moveret, intelligebat; quarta vigilia movit. At *Publius*, memorati ante fluminis pontibus interciss, & hoste compulso, per ipsum amnis alveum copias trajicere, in ipsa trajectione Carthaginiensibus imminens, magnas eis difficultates objecit. Et ob multitudinem cum equitum tum Numidarum, quocumque loco utilissimam operam

Digitized by Google

διὰ τὸ πλῆθος τῶν ἱππέων, καὶ τὴν πρὸς πάντα A.V.543.
τόπον εὐχρηστίαν τῶν Νομάδων· τῇ δὲ λείας ἱκανόν τι μέρος ἀφελόμενοι, καὶ περὶ τριακοσίους καταβαλόντες τῶν πολεμίων, τότε μὲν ἀνεχώρησαν πρὸς
6 τὴν παρεμβολήν. μετὰ δὲ ταῦτα νομίσαντες, τοὺς Καρχηδονίους διὰ φόβον σπουδῇ ποιεῖσθαι τὴν ὑπο-
7 χώρησιν, εἵποντο κατόπιν τῇς παρωρείας. Ἀννίβας δὲ τὸ μὲν πρῶτον ἠπείγετο, σπεύδων ἐπὶ τὸ προκείμενον· μετὰ δὲ πέμπτην ἡμέραν προσαγγελθέντος αὐτῷ, μένειν ἐπὶ τῆς πολιορκίας τοὺς περὶ τὸν Ἄππιον, οὕτως ὑποστὰς καὶ προσδεξάμενος τοὺς ἑπομένους, ἐπιτίθεται νυκτὸς ἔτι τῇ στρατο-
8 πεδείᾳ. καὶ πολλοὺς μὲν αὐτῶν ἀπέκτεινε, τοὺς δὲ
9 λοιποὺς ἐκ τῆς παρεμβολῆς ἐξέβαλε. Τῆς δ' ἡμέ- Rhegium petit Hannibal.
ρας ἐπιγενομένης, συνθεωρήσας τοὺς Ῥωμαίους πρός
τινα λόφον ἐρυμνὸν ἀποκεχωρηκότας, τοῦ μὲν ἔτι
10 προσκαρτερεῖν τούτοις ἀπέγνω· ποιησάμενος δὲ τὴν

G 5 πορείαν

VII. 5. καταβαλόντες dedit Vrb. Ceteri vulgo καταλαβόντες. 7. ἔτι τῇ στρατοπεδείᾳ correxi ex Reiskii conject. Vulgo ἐπὶ τὴν στρατοπεδείαν. 9. προσκαρτ. τούτοις. Mendose τούτους edd. & mssti.

operam navantium, nullum quidem, quod ad ſummam rei pertineret, inferre detrimentum hoſti potuerunt; at prædæ tamen magna ei parte ademta, cæſisque trecentis fere ex ejus exercitu, ad caſtra ſua ſe receperunt. Rati deinde, ob metum Pœnos in reditu iter ſic contendere, præter radices montium eos ſunt ſubſecuti. At *Hannibal* initio quidem feſtinabat, ad perficiendum, quod animo deſtinaverat, properans: poſt diem vero quintum, cognito, manere *Appium* in obſidione *Capuæ*, ſubſiſtere agmen jubet, ac ſequentes præſtolatur. Deinde caſtra Romanorum nocte aggreſſus, multos eorum occidit, reliquos caſtris ejicit. Poſtquam ortus fuit dies, ut vidit, Romanos in collem quemdam egregie munitum ſe recepiſſe; diutius iſtis immorari nequaquam e re ſua futu-

Ol.142.1. πορείαν διὰ τῆς Δαυνίας καὶ τῆς Βρεττίας, ἐπέστη τοῖς κατὰ τὸ Ῥήγιον τόποις ἀνυπόπτως, ὥστε παρ' ὀλίγον μὲν καὶ τῆς πόλεως κυριεῦσαι, πάντας δὲ τοὺς ἐπὶ τὴν χώραν ἐκπεπορευμένους ἀποτέμνεσθαι, καὶ πλείστων γενέσθαι Ῥηγίνων κύριος ἐν ἐκείνῃ τῇ παρουσίᾳ.

VIII. Δοκεῖ δέ μοι δικαίως ἄν τις ἐπισημήνασθαι κατὰ τοῦτον τὸν καιρὸν τάς τε Καρχηδονίων καὶ Ῥωμαίων ἀρετὰς καὶ φιλοτιμίας ἐν τῷ πολεμεῖν. Καθάπερ γὰρ Ἐπαμεινώνδαν τὸν Θηβαῖον θαυμάζουσι πάντες, διότι, παραγενόμενος εἰς Τέγεαν μετὰ τῶν συμμάχων, καὶ θεωρήσας τοὺς Λακεδαιμονίους, αὐτούς τε πανδημεὶ παραγεγονότας εἰς Μαντίνειαν, καὶ τοὺς συμμάχους εἰς ταύτην ἠθροικότας τὴν πόλιν, ὡς παρατα-ξομένους τοῖς Θηβαίοις· δειπνοποιήσα-σθαι τοῖς αὐτοῦ καθ' ὥραν παραγγείλας, ἐξῆγε τὴν δύναμιν

Res gestæ Epaminondæ

VIII. 2. παραταξομένους a Casaubono est. Veteres libri omnes παρατεξαμένους.

futurum ratus, facto per Apuliam Dauniam & Bruttios itinere, in locis circa *Rhegium*, nemine suspicante, ita repentinus apparuit, ut non multum abfuerit, quin urbe quoque ipsa potiretur: omnes certe eos, qui in agrum exierant, atque adeo plurimos in his cives Rheginos, eo adventu captos in potestatem habuit.

8. Hic mihi videtur aliquis jure merito *Carthaginiensium ac Romanorum virtutem & obstinatam in bello gerendo pervicaciam*, cujus eo tempore specimen ediderunt, observaturus & collaudaturus. Enimvero *Epaminondam* Thebanum mirantur omnes, qui postquam una cum sociis *Tegeam* pervenisset, cognito, *Lacedæmonios* & civiles omnes copias suas *Mantineam* adduxisse, & socios quoque omnes suos in eamdem urbem coëgisse, ut instructa acie cum Thebanis pugnarent; ipse, dato suis præcepto, ut tempori cœnarent, sub noctem primam

Digitized by Google

δύναμιν ἄρτι τῆς νυκτὸς ἐπιγιγνομένης, ὡς τῆς πα- A.V.543.
ρατάξεως χάριν σπεύδων εὐκαίρους τινὰς προκατα-
λαβέσθαι τόπους. τοιαύτην δὲ τοῖς πολλοῖς δόξαν ad Spar-
ἐνεργασάμενος, προῆγε, ποιούμενος τὴν πορείαν ἐπ' tam
αὐτὴν τὴν Λακεδαίμονα. προσμίξας δὲ περὶ τρίτην
ὥραν τῇ πόλει παραδόξως, καὶ καταλαβὼν τὴν
Σπάρτην ἔρημον τῶν βοηθησόντων, μέχρι μὲν ἀγο-
ρᾶς ἐβιάσα[το], καὶ κατέσχε τῆς πόλεως τοὺς ἐπὶ
τὸν ποταμὸν ἐστραμμένους τόπους. Γενομένης δὲ
περιπετείας, καί τινος αὐτομόλου τὴν νύκτα διαπε-
σόντος εἰς τὴν Μαντίνειαν, καὶ διασαφήσαντος Ἀγη-
σιλάῳ τῷ βασιλεῖ τὸ συμβαῖνον, καὶ τῶν βοηθούν-
των παραγενομένων εἰς τὸν τῆς καταλήψεως και-
ρόν· ταύτης μὲν τῆς ἐλπίδος ἀπεσφάλη· μετὰ δὲ
ταῦτα, περὶ τὸν Εὐρώταν ἀριστοποιησάμενος, καὶ
προσαναλαβὼν τὴν δύναμιν ἐκ τῆς καποπαθείας,
ὥρμα

3. ἐπιγιγνομένης. ἐπιγενομένης legitur apud Heronem. 4. προῆγε cum Reiskio scripsi pro vulgato προσῆγε 5. Vulgo cum pleriquæ mitis edebatur ὥραν ἐν τῇ πόλει. 6. Pro διαπεσόντος est περιπεσόντος apud Heronem. Ibid. καὶ διασαφ. τὸ συμβὰν Ἀγησ. τῷ βασ. Hero. 7. Pro τῆς ἐλπίδος ἀπεσφάλη est τῆς ἐπιβολῆς ἀπέστη apud Heron.

primam exercitum eduxit, quasi propter instans prælium opportuna quædam loca occupatum contenderet. Atque hoc ille quum multitudini persuasisset, agmen ulterius ducere, & *Lacedæmonem* ipsam petere instituit. Tertia hora ad urbem ut pervenit, præter omnium opinionem nactus Spartam propugnatoribus nudam, ad forum usque per vim irrupit, & partem urbis, quæ ad flumen vergit, cepit. Deinde casu interveniente, quum perfuga aliquis per noctem elapsus Mantineam veniisset, &, quod erat actum, *Agesilao* regi renunciasset, in ipso articulo, cum urbs capiebatur, auxilio superveniente; hac quidem spe dejectus est *Epaminondas*: deinde vero, ad Eurotam pransus, & refecto aliquantum milite e priore vexatione, eadem qua venerat via retro

Digitized by Google

Ol. 142. 1. & ad Mantineam.

ὥρμα πάλιν ἐξ ὑποστροφῆς τὴν αὐτὴν ὁδόν· συλλο- 8
γιζόμενος, ὅτι συμβήσεται, τῶν Λακεδαιμονίων καὶ
τῶν συμμάχων παραβεβοηθηκότων εἰς τὴν Σπάρ-
την, ἔρημον πάλιν καταλείπεσθαι τὴν Μαντίνειαν.
ὃ καὶ συνέβη γενέσθαι. διὸ παρακαλέσας τοὺς Θη- 9
βαίους, καὶ χρησάμενος ἐνεργῷ τῇ νυκτοπορείᾳ,
παρῆν, καὶ προσέμισγε τῇ Μαντινείᾳ περὶ μέσον
ἡμέρας, ἐρήμῳ τελέως ὑπαρχούσῃ τῶν βοηθησόντων.
Οἱ δ' Ἀθηναῖοι, κατὰ τὸν καιρὸν τοῦτον, σπουδά- 10
ζοντες μετασχεῖν τοῦ πρὸς τοὺς Θηβαίους ἀγῶνος
τοῖς Λακεδαιμονίοις κατὰ τὴν συμμαχίαν παρῆσαν.
ἤδη δὲ τῆς Θηβαίων πρωτοπορείας συναπτούσης 11
πρὸς τὸ τοῦ Ποσειδῶνος ἱερὸν, ὃ κεῖται πρὸ τῆς πό-
λεως ἐν ἑπτὰ σταδίοις, ὥσπερ ἐπίτηδες συνεκύρη-
σεν, ἅμα καὶ τοὺς Ἀθηναίους ἐπιφαίνεσθαι κατὰ
τὸν τῆς Μαντινείας ὑπερκείμενον λόφον. εἰς οὓς 12
ἐμβλέψαντες οἱ καταλελειμμένοι τῶν Μαντινέων,
μόλις ἐθάρρησαν ἐπιβῆναι τοῦ τείχους, καὶ κωλύ-
σαι

retro contendit. Conjectura enim e re ducta futurum profpiciebat, ut Lacedæmonii fociique ipforum cupiditate defendendæ Spartæ Mantineam quoque fine ullo præfidio relinquerent: neque fine ullo præfidio relinquerent: neque fane aliter accidit. Itaque Thebanos cohortatus, citato per noctem itinere ufus, circa meridiem aderat Epaminondas, jamque *Mantineæ*, propugnatoribus plane vacuæ, proximus erat. Accidit vero, ut *Athenienfes*, qui ex fœdere participare cum Lacedæmoniis prælium adverfus Thebanos properabant, commodum eodem tempore præfto effent. Iamque *Thebanorum* prima acies ad Neptuni fanum feptem ftadia ab urbe diftans acceffera; cum ecce, quafi ex compacto, Athenienfes in colle *Mantineæ* imminente cœpere confpici. Quos ut funt confpicati, qui relicti in urbe fuerant, ægre tandem murum confcendere, & irrumpen-

13 σαν τὴν τῶν Θηβαίων ἔφοδον. Διόπερ εἰκότως οἱ συγγραφεῖς ἐπιμέμφονται τοῖς προειρημένοις ἔργοις, φάσκοντες, τῷ μὲν ἡγεμόνι πεπρᾶχθαι πᾶν, ὅσον ἀγαθῷ στρατηγῷ· καὶ τῶν μὲν ὑπεναντίων κρείττω, τῆς δὲ τύχης ἧττω γεγονέναι τὸν Ἐπαμεινώνδαν. A.V.543. Res Epaminondæ ad Spartam & Mantineam,

IX. Τὸ δὲ παραπλήσιον ἄν τις εἴποι καὶ περὶ τῶν 2 κατ' Ἀννίβαν. Καὶ γὰρ τὸ, προσβάλλοντα τοῖς πολεμίοις, πειραθῆναι διὰ τῶν ἐκ μέρους ἀγώνων 3 λύειν τὴν πολιορκίαν· καὶ τὸ, ταύτης ἀποπεσόντα τῆς προσβολῆς, ἐπ' αὐτὴν ὁρμῆσαι τὴν Ῥώμην, κατ- 4 τὴν Καπύην πολιορκοῦντας· τὸ δὲ τελευταῖον, μὴ λῆξαι IX. Collatum cum rebus Hannib. ad Capuam & ad Romam.

13. ἐπιμέμφ. οὐκ ἐπιμέμφονται *suspicatus est Reisk. Equidem malim* τοῖς προειρημένοις τῆς τύχης ἔργοις. Ibid. *Forsim* ὅσον ἀγαθοῦ στρατηγοῦ. *Post ista autem verba delevi lacunæ signum, quod ibi posuerat Casaub.*

IX. 1. *Forsc.* τὸ δὴ παραπλήσ. 3. προσβολῆς. ἐπιβολῆς *malim.*

rumpentes Thebanos arcere sunt ausi. Propterea Scriptores res gestas *Epaminondæ*, quas modo narravimus, querelis jure prosequuntur: &, *imperatorem quidem boni ducis partes omnibus numeris explesse*, pronunciant; *sed ipsum, quum adversarios vinceret, a fortuna esse victum.*

9. Simile & de rebus gestis *Hannibalis* dicere nunc licet. Nam quod, hostes adortus, liberare Capuam obsidione, prælia per partes capessendo fit conatus; &, cum exitum non haberet id inceptum, Romam ipsam petere institerit; deinde, eo quoque consilio successu propter casus fortuitos carente, quod rediens, repressis insequentibus hostibus, occasioni sit insidiatus, si quis forte, ut consentaneum erat, in Romanorum ad Capuam castris motus exstitisset; postremo

Digitized by Google

Occas. Hannibal & Epaminondas.

λῆξαι τῆς προθέσεως πρὶν εἰς τὴν τῶν ἐχθρῶν βλάβην ἀποσκῆψαι, μονονοὺ δ' ἀναστάτους ποιῆσαι Ῥηγίνους· τίς οὐκ ἂν ἐπισημήναιτο καὶ θαυμάσαι τὸν προειρημένον ἐπὶ τούτοις ἡγεμόνα; Καὶ μὴν Ῥωμαίους Λακεδαιμονίων ἀμείνους ἄν τις ἐν τούτῳ τῷ καιρῷ κρίνειε. Λακεδαιμόνιοι μὲν γὰρ τῇ πρώτῃ εἰσαγγελίᾳ συνεκχυθέντες, τὴν μὲν Σπάρτην ἔσωσαν· τὴν δὲ Μαντίνειαν, τὸ καθ' αὑτοὺς μέρος, ἀπέβαλον. Ῥωμαῖοι δὲ καὶ τὴν πατρίδα διεφύλαξαν, καὶ τὴν πολιορκίαν οὐκ ἔλυσαν· ἀλλ' ἔμειναν ἀσαλεύτως καὶ βεβαίως ἐπὶ τῶν ὑποκειμένων, καὶ τὸ λοιπὸν ἤδη τεθαῤῥηκότως προσέκειντο τοῖς Καπυανοῖς. Ταῦτα μὲν οὖν οὐχ οὕτως τῶν Ῥωμαίων ἢ Καρχηδονίων ἐγκωμίου χάριν εἴρηταί μοι· τούτους μὲν γὰρ ἤδη πολλάκις ἐπεσημήναμεν· τὸ δὲ πλεῖον τῶν

4. πρὶν ex conject. adjecit Casaub. cum abesset a libris, nec fortasse admodum desideraretur. Ibid. Et μονονοὺ Casaubono debetur, cum μόνους darent libri omnes. 9. ἐπεσημήναμεν. ἐπεσημηνάμεθα voluit Reiskius.

ſtremo quod ab incepto ſuo non prius deſtiterit, quam, in hoſtium perniciem incumbens, Rheginos tantum non ſedibus ſuis ejecerit: hæc, inquam, quis non obſervatione ſua atque plauſu digna cenſeat? aut quis Hannibalem, qui iſta geſſit, admirandum eſſe imperatorem non pronunciet? Iam vero Romanos in illa temporum difficultate Lacedæmonios virtute antecelluiſſe, jure aliquis ſtatuat. Nam Lacedæmonii ut primum acceperunt nuncium, pro ferenda ope effuſi, Spartam illi quidem ſervarunt; at Mantineam, quod quidem in ipſis erat, amiſerunt. Romani vero & patriam conſervarunt, & obſidionem tamen non ſolverunt: ſed intrepide atque conſtanter quod agebant egerunt, ac de cetero jam confidenter poſt iſta Capuæ oppugnationem urſerunt. Atque hæc a nobis ſunt commemorata, non adeo, ut Romanorum aut Carthaginienſium laudationem perageremus; nam horum quidem virtutes ſæpe jam antea prædicavimus: ſed eorum potius gratia, qui apud

Digitized by Google

τῶν ἡγουμένων παρ' ἀμφοτέροις, καὶ τῶν μετὰ ταῦτα μελλόντων χειρίζειν παρ' ἑκάστοις τὰς κοινὰς πράξεις· ἵνα τῶν μὲν ἀναμιμνησκόμενοι, τὰ δ' ὑπὸ τὴν ὄψιν λαμβάνοντες, ζηλωταὶ γίγνωνται * * παραβολὸν ἔχειν τι καὶ κινδυνῶδες, τοὐναντίον δὲ ἀσφαλῆ μὲν τὴν τόλμαν, θαυμασίαν δὲ τὴν ἐπίνοιαν, ἀείμνηστον δὲ καὶ καλὴν ἔχει τὴν προαίρεσιν, καὶ κατορθωθέντα καὶ διαψευσθέντα, παραπλησίως, ἐὰν μόνον αὐτὴν νῷ γένηται τὰ πραττόμενα. A.V.543. Hannibal & Epaminondas.

III.

RES SYRACVSANAE.

X. Ornamenta Syracusarum Romam translata.

Οὐκ ἐκ τῶν ἔξω κοσμεῖται πόλις, ἀλλ' ἐκ τῆς τῶν οἰκούντων ἀρετῆς.

Ἐπεί-

10. Lacuna, *quam indicavit Casaubonus, sic fere supplenda:* ζηλωταὶ γίγνωνται τῶν τοιούτων, οὐχ οὕτως ὅσα δοκεῖ παράβ. Ibid. *dè post τοὐναντίον adjecit Casaub. Caret Hervag. & codd. nostri.* Ibid. καλὴν ἔχει. ἔχη *Aug. Reg. A.*

X. 1. Οὐκ ἐκ τῶν ἔξω *&c. Gnome ista nescio utrum ex Polybio excerpta, an Tituli loco juncta sit sequenti Fragmento.*

apud utrumque populum rebus præsunt, & qui deinceps apud quoscumque rempublicam sunt administraturi: ut & tantorum ducum redeuntes in memoriam, & res ab iis gestas ob oculos sibi proponentes, præclara facinora æmulentur; non tam quæ cum temeritate atque periculo conjuncta videantur, quam potius, quæ cautam aliquam ac tutam habeant audaciam, & admirandam sagacitatem, & consilium in omne ævum memorabile pariterque laudandum, sive exitum habuerint res gestæ, sive minus, dummodo prudenti ratione fuerint administratæ.

III.

10. *Non rebus extrinsecus allatis ornatur urbs, sed incolentium virtute.* (Ora Cod. Vrbinatis.)

Decre-

Digitized by Google

Ol. 142. 1.

Ἐκρίθη μὲν οὖν διὰ τοῦτο τοῖς Ῥωμαίοις, τὰ προειρημένα μετακομίζειν ἐς τὴν ἑαυτῶν πατρίδα, καὶ μηδὲν ἀπολιπεῖν. Πότερα δὴ ὀρθῶς τοῦτο καὶ συμφερόντως αὐτοῖς ἔπραξαν, ἢ τἀναντία, πολὺς ἂν εἴη λόγος· πλείων γε μὴν εἰς τὸ μὴ δεόντως σφίσι πεπρᾶχθαι μηδ' ἀκμὴν νῦν πράττεσθαι τοῦτο τοὔργον. Εἰ μὲν γὰρ ἐκ τοιούτων ὁρμηθέντες πρὸς βίβασαν τὴν πατρίδα, δῆλον, ὡς εἰκότως ταῦτα μετέφερον εἰς τὴν οἰκείαν, δι' ὧν ηὐξήθησαν. εἰ δ' ἁπλουστάτοις χρώμενοι βίοις, καὶ πορρωτάτω τῆς ἐν τούτοις περιττότητος καὶ πολυτελείας ἀφεστῶτες, ὅμως ἐπεκράτουν τούτων ἀεὶ παρ' οἷς ὑπῆρχε πλεῖστα καὶ κάλλιστα τὰ τοιαῦτα· πῶς οὐ νομιστέον, εἶναι τὸ γιγνόμενον ὑπ' αὐτῶν ἁμάρτημα; Τὸ

Parum recto consilio Romanorum.

3. Πότερα δή. *de malim cum Reiskio.* Ibid. πλείων *& deinde τοῦτο ex Vrsini conject. correxit Casaub. cum mendose omnes darent* πλεῖον *&* τούτου τοὔργον.

Excerpt. antiq. Lib. IX. *Cap.* 10.

Decreverunt itaque Romani, omnia illa, quæ commemoravimus, in patriam ſuam transferre, neque eorum quidquam in urbe capta relinquere. Qui *recte - ne hoc & e re ſua fecerint, an ſecus*, multifariam poteſt diſputari. Plures tamen rationes ſuppeditant, quæ *eam rem minus recte & tunc eſſe factam, & nunc cum maxime fieri*, evincant. Nam ſi ab ejuſcemodi profecti inſtitutis patriam ad hoc decus provexerunt, nemo dubitat, idoneam fuiſſe cauſſam, cur iſta domum tranſportarent, per quæ videlicet res eorum augebantur. Sin autem ita eſt, ut, quum ſimpliciſſimo vitæ genere uterentur, & ab hujus elegantiæ & magnificentiæ ſtudio abeſſent quam longiſſime, eos populos tamen ſuperarent, apud quos hujus generis res & plurimæ erant & pulcerrimæ; quis neget, *peccatum debere conſeri, quod tunc fecerunt?*

Digitized by Google

6 Τὸ γὰρ, ἀπολιπόντας τὰ τῶν νικώντων ἔθη, τὸν A.V.543.
τῶν ἡττωμένων ζῆλον ἀναλαμβάνειν, προσεπιδεατ-
τομένους ἅμα καὶ τὸν ἐξακολουθοῦντα τοῖς τοιούτοις
φθόνον, ὃ πάντων ἐστὶ φοβερώτατον ταῖς ὑπερο-
χαῖς, ὁμολογούμενον ἂν εἴποι τις εἶναι τῶν πρακτ-
7τόντων παράπτωμα. Ὁ γὰρ οὕτως * ὀρεμώμενος, Invidio-
οὐδέποτε μακαρίζει τοὺς τἀλλότρια κεκτημένους, sum de-
cis φθονεῖ· ἅμα καί τις ἔλεος αὐτῶν ὑποτρέχει τῶν mæ.
8ἐξ ἀρχῆς ἀποβαλόντων. Ἐπὰν δὲ καὶ προβαίνῃ
τὰ τῆς εὐκαιρίας, καὶ πάντα συνάγῃ πρὸς αὐτὸν
τὰ τῶν ἄλλων, καὶ ταῦτα συγκαλεῖ τρόπον τινὰ
τοὺς ἐστερημένους ἐπὶ θέαν, διπλάσιον γίγνεται τὸ
9κακόν. οὐ γὰρ ἔτι τοὺς πέλας ἐλεεῖν συμβαίνει τοὺς
θεωμένους, ἀλλὰ σφᾶς αὐτοὺς, ἀναμιμνησκομένους
10τῶν οἰκείων συμπτωμάτων. ἐξ ὧν οὐ μόνον φθόνος,
ἀλλ'

7. *Locus, sive mutilus, sive aliàs corruptus, sic fere restituendus videtur:* Οὐ γὰρ οὕτως ὁ θεώμενος οὐδέποτε μακ. τοὺς τἀλλ. κεκτημένους, ὡς φθονεῖ. *Tum vel* ἅμα *cum* φθονεῖ *jungendum, vel* ἅμα δὲ καί τις *legendum.* Ibid. αὐτῶν ὑποτρ. *Forsan* αὐτῷ.

cerunt? Nam si populus victor, relictis suis moribus, mores æmulatur eorum qui victi sunt, simulque *invidiam* etiam, quæ talia comitari solet, in sese convertit, rem omnium maxime eis, qui in dominatu sunt, timendam; nemo sane negaverit, delictum hic versari ejus, qui ita faciat. Etenim qui conspicit aliena possidentes, non tam laudare horum fortunam, quam invidere illis solet: simulque subit ejus animum commiseratio illorum, quibus hæc initio fuerunt ablata. Quodsi vero, crescente in dies successu, omnia, quæ penes alios fuerant, hic populus ad se converterit, atque hæc ipsa quodam modo eos, quibus fuerint erepta, spectandi desiderio illectos eodem congregaverint; tum vero duplex malum exiftit. Non enim alios jam miserantur talium spectatores, sed seipsos; dum præteritarum cladium suarum memoria eis refricatur. Vnde non

Digitized by Google

Ol.142.1. ἀλλ' οἷον ὀργή τις ἐκκαίεται πρὸς τοὺς εὐτυχοῦντας. ἡ γὰρ τῶν ἰδίων περιπετειῶν ἀνάμνησις ὡσανεὶ προτροπή τις ἐστὶ πρὸς τὸ κατὰ τῶν πραξάντων μῖσος. Τὸ μὲν οὖν τὸν χρυσὸν καὶ τὸν ἄργυρον ἀθροίζειν πρὸς αὐτοὺς, ἴσως ἔχει τινὰ λόγον· οὐ γὰρ οἷόν τε τῶν καθόλου πραγμάτων ἀντιποιήσασθαι, μὴ οὐ τοῖς μὲν ἄλλοις ἀδυναμίαν ἐνεργασαμένους, σφίσι δὲ τὴν τοιαύτην δύναμιν ἑτοιμάσαντας. Τὰ δ' ἐκτὸς ὑπάρχοντα τῆς προειρημένης δυνάμεως, ἦν, ἐν τοῖς ἐξ ἀρχῆς τόποις ἅμα τῷ φθόνῳ καταλιπόντας, ἐνδοξοτέραν ποιεῖν τὴν σφετέραν πατρίδα· μὴ γραφαῖς καὶ τύποις, ἀλλὰ σεμνότητι καὶ μεγαλοψυχίᾳ κοσμοῦντας αὐτήν. Οὐ μὴν, ἀλλὰ ταῦτα μὲν εἰρήσθω μοι χάριν τῶν μεταλαμβανόντων ἀεὶ τὰς δυναστείας· ἵνα μὴ, σκυλεύοντες τὰς πόλεις, κόσμον ὑπολαμβάνωσιν εἶναι ταῖς ἑαυτῶν πατρίσι τὰς ἀλλοτρίας συμφοράς.

Verum Romæ decus. 11 12 13

IV.

invidia tantum, verum etiam iræ veluti fomes accenditur adversus rerum potientes. Propriarum enim calamitatum recordatio, velut incitatio quædam est ad odium adversus illarum auctores. Iam aurum quidem atque argentum in patriam suam congerere, aliquam fortasse rationem habeat: imperium enim in omnes capessere nequeant, nisi talium rerum inopia aliorum potentiam imminuerint, earumdemque copia vires sibi paraverint. At, quæ non pertinent ad illam quam diximus potentiam, ea si Romani, una cum comitante invidia, reliquissent ibi ubi initio fuerant; poterant patriæ suæ majorem gloriam conciliare, non *tabulis & signis* eam decorantes, sed *gravitate morum & animi magnitudine.* Atque hæc quidem in eorum gratiam dicta mihi sunto, quicumque fuerint, qui imperium aliorum in sese transferunt: ne, dum victas urbes ornamentis suis spoliant, alienas calamitates decus esse patriæ suæ sibi persuadeant.

IV.

Digitized by Google

IV.

A.V.543.

RES HISPANIENSES.

Οἱ τῶν Καρχηδονίων ἡγεμόνες, κρατήσαντες τῶν ἀντιπάλων, σφῶν αὐτῶν οὐκ ἠδύναντο κρατεῖν· καὶ, δόξαντες τὸν πρὸς Ῥωμαίους πόλεμον ἀνῃρηκέναι, πρὸς αὐτοὺς ἐστασίαζον, παρατριβόμενοι διὰ τὴν 3ἔμφυτον Φοίνιξι πλεονεξίαν καὶ φιλαρχίαν. ὧν ὑπῆρχων Ἀσδρούβας ὁ Γέσκωνος, εἰς τοῦτο κακοπραγμοσύνης προήχθη διὰ τὴν ἐξουσίαν, ὡς τὸν πιστότατον τῶν κατ' Ἰβηρίαν φίλον Ἀνδοβάλην, πάλαι μὲν ἀποβαλόντα τὴν ἀρχὴν διὰ Καρχηδονίους, ἄρτι δὲ πάλιν ἀπειληφότα διὰ τὴν πρὸς ἐκείνους 4εὐνοιαν, ἐπεβάλετο χρημάτων πλῆθος αἰτεῖν. τοῦ δὲ παρακούσαντος διὰ τὸ θαρρεῖν ἐπὶ τῇ προγεγενημένῃ

XI. Hasdrubal, Giſconis fil. iniquus in Indibilem.

XI. 2. *Ex Mſto editum erat* καὶ παρατριβόμενος, *poſt quæ verba ſignum defectus poſuit Valeſius, monuitque deeſſe verbum* διετέλουν. *Nobis particula* καὶ *delenda viſa eſt.* 3. Φίλον. *Poſſis* Φίλων *ſuſpicari cum Gronovio.*

IV.

Excerpt. Valeſian.

11. *Carthaginienſium* duces, cum ſuperiores fuiſſent hoſtibus, ſui ipſorum non potuerunt eſſe compotes: & poſtquam confectum putarunt bellum cum Romanis, ipſi inter ſe hoſtiliter diſſidebant, & præ cupiditate ambitioneque Pœnis inſita altercabantur. Inter quos *Hasdrubal*, Giſconis filius, ob poteſtatem eo inſolentiæ proceſſit, ut ab uno e ſociis tota Hiſpania fideliſſimo *Indibile*, qui Carthaginienſium cauſa olim regno ejectus, & ob fidem in eos ac benevolentiam nuper in regnum reſtitutus fuerat, magnam pecuniæ vim flagitare non dubitaverit. Cujus voluntati cum non eſſet obſecutus: *Indi-*

Digitized by Google

Ol.142.1. νημένη πίστει πρὸς τοὺς Καρχηδονίους, ψευδῆ διαβολὴν ἐπενέγκας, ἠνάγκασε τὸν Ἀνδοβάλην δοῦναι τὰς ἑαυτοῦ θυγατέρας εἰς ὁμηρείαν.

V.

PARTES ARTIS IMPERATORIAE.

XII. Πολλὴν μὲν ἐπισκέψεως χρείαν ἔχει τὰ συμβαίνοντα περὶ τὰς πολεμικὰς ἐπιβολάς· ἔστι δὲ δυνατὸν, ἐν ἑκάστοις αὐτῶν εὐστοχεῖν, ἐὰν σὺν νῷ τις πράττῃ τὸ προτεθέν. Ὅτι μὲν οὖν ἔστι τῶν κατὰ πόλεμον ἔργων ἐλάττω τὰ προδήλως καὶ μετὰ βίας ἐπιτελούμενα τῶν μετὰ δόλου καὶ σὺν καιρῷ πραττομένων, εὐχερὲς τῷ βουλομένῳ καταμαθεῖν ἐκ τῶν ἤδη γεγονότων. ὅτι γε μὴν αὐτῶν τῶν ἐν καιρῷ πάλιν ἐνεργουμένων πλείω γίγνεται τὰ διαμαρτανόμενα

In bello plura dolo, quam aperta vi geruntur.

XII. Titulus *in ora Cod. Vrb.* Ὅτι τὸ ἀστρονομεῖν καὶ γεωμετρεῖν τῷ στρατηγῷ προσήκει.

Indibilis, ſua erga Carthaginienſes conſtanti fide fretus; *Hasdrubal*, conficta adverſus eum calumnia, filias ſuas obſides dare ipſum coëgit.

V.

Excerpt. antiq. ex Lib. IX. *cap.* 11-20.

12. Multa circumſpectione opus habent, quae circa *bellicae rei incepta* ſolent uſu venire. Poteſt vero aliquis ſingula, quae inſtituerit, perficere, ſi judicium certum ad propoſiti ſui exſecutionem adhibuerit. Iam eorum, quae in bello geruntur, pauciora eſſe, quae palam & aperta vi perficiuntur, quam quae dolo & per occaſionem patrantur, facile ſit cuivis, modo velit, ex rebus antea geſtis cognoſcere. Rurſus autem eorum, quae oblata occaſione fiunt, plura eſſe, quae aliquo peccato corrumpantur,

Digitized by Google

μενα τῶν κατορθουμένων, οὐδὲ τοῦτο γνῶναι χαλε- A.V.543.
4πὸν ἐκ τῶν συμβαινόντων. καὶ μὴν, διότι παρὰ τὰς
τῶν ἡγουμένων ἀγνοίας ἢ ῥᾳθυμίας ἐπιτελεῖται τὰ
πλεῖστα τῶν ἁμαρτημάτων, οὐδεὶς τοῦτ' ἀπορήσειε.
5Τίς οὖν ὁ τρόπος τῆς τοιαύτης διαθέσεως, σκοπεῖν
6ἤδη πάρεστι. Τὰ μὲν οὖν ἀπροθέτως ἐν τοῖς πο- Casus
λεμικοῖς συμβαίνοντα, πράξεις μὲν οὐδαμῶς ἀρμό- fortuitus.
ζει λέγειν, περιπετείας δὲ καὶ συγκυρήσεις μᾶλλον.
7διὸ καὶ λόγον οὐκ ἔχοντα μεθοδικὸν, οὐδ' ἑστῶτα,
παραλειπέσθω. τὰ δὲ κατὰ πρόθεσιν ἐνεργούμενα,
8ταῦτα δηλούσθω· περὶ ὧν ὁ νῦν δὴ λόγος. Πάσης Varia
δὴ πράξεως ἐχούσης καιρὸν ὡρισμένον, καὶ διάστη- momenta ad
μα, καὶ τόπον, καὶ προσδεομένης τοῦ λαθεῖν, καὶ actionem
συνθημάτων ὡρισμένων, ἔτι δὲ καὶ δι' ὧν, καὶ μεθ' pertinentia.
9ὧν, καὶ τίνι τρόπῳ πραχθήσεται· Φανερὸν, ὡς ὁ μὲν

4. οὐδεὶς. οὐδὲ Aug. Vrb. οὐδὲν Regii, Veſont. Tübing.

pantur, iis, quæ lætum finem ſortiantur, ne id quidem difficile cognitu fuerit, ſi rerum eventus ſpectentur. Illud quoque nemo in dubium vocaverit, eorum, qui rebus gerendis præſunt, inſcitia aut negligentia plerumque peccata admitti. Quonam igitur pacto ejusmodi incepta diſponi atque adminiſtrari recte queant, conſiderare jam licet. Enimvero quæcumque in rebus bellicis ſine certo propoſito accidunt, ea non *res geſtas* appellare convenit, ſed *caſus* potius & *fortuitos eventus*. Impræſentiarum igitur illa fortuita, quoniam rationem nullam habent ſtabilem, neque ullius artis præceptionibus parabilem, prætermittantur: atque ea tantum explicentur, quæ *deſtinato conſilio* fiunt; de quibus hic eſt ſermo inſtitutus. Quum igitur omnis actio tempus ſibi deſinitum habeat, ſpatio temporis certo confiat, & loco, tum vero latere etiam debeat, notis item indigeat vel ſignis, de quibus convenerit, nec non iis, per quos, & quibuscum geratur, & modo certo, quo ſit gerenda; palam eſt,

Digitized by Google

Ol.142.1. ἑκάστου τούτων εὐστοχήσας, οὐχ ἁμαρτήσεται τῆς ἐπιβολῆς· ὁ δ' ἑνὸς ὀλιγωρήσας, σφαλήσεται τῆς ὅλης προθέσεως. Οὕτως ἡ φύσις πρὸς τὰς ἀπο- 10
τυχίας τῶν ἐπινοηθέντων ἱκανὸν ἓν καὶ τὸ τυχὸν ἐποίησε τῶν κατὰ μέρος· πρὸς δὲ τὸ κατορθοῦν μόλις ἱκανὰ πάντα.

XIII. Διὸ χρὴ μηδενὸς ἀφροντιστεῖν ἐν ταῖς τοιαύταις ἐπιβολαῖς τοὺς ἡγουμένους. Ἔστι δ' ἀρχὴ μὲν τῶν 2
Silentium. προειρημένων τὸ σιγᾶν, καὶ μήτε διὰ χαρὰν, παραδόξου προφαινομένης ἐλπίδος, μήτε διὰ φόβον, μήτε διὰ συνήθειαν, μήτε διὰ φιλοστοργίαν, μεταδιδόναι μηδενὶ τῶν ἐκτός· αὐτοῖς δὲ κοινωνοῦσθαι τού- 3
τοις, ὧν χωρὶς οὐχ οἷόν τε τὸ προτεθὲν ἐπὶ τέλος ἀγαγεῖν, καὶ τούτοις μὴ πρότερον, ἀλλ' ὅταν ὁ τῆς ἑκάστου χρείας καιρὸς ἐπαναγκάζῃ. Χρὴ δὲ σιγᾶν 4
μὴ

10. ἀποτυχίας *correxit Casaub.* ἀτυχίας *ed. Herv. & codd. nostri.*

est, eum, qui singulorum horum debitam rationem habuerit, proposito non aberraturum; sin vero aliquis unum istorum neglexerit, universum ejus inceptum frustra futurum. Ita scilicet comparatum natura est, ut ad frustranda consilia unaquævis vel levissima pars, quæ de toto abest, satis virium habeat; quum, ut propositum assequaris, vix cunctæ simul sufficiant.

13. Idcirco, qui rebus gerendis præsunt, nihil quidquam in ejusmodi inceptionibus omittere debent, quod cura sua non complectantur. Omnium autem, quæ diximus, primum est *silentium*, & ut neque ob gaudium lætæ spei, ex inopinato tibi ostensæ, neque ob metum, neque ob aliquam familiaritatem, vel caritatem erga tuos, rem gerendam ulli eorum participes, ad quos illa nihil pertinet; sed iis solis communices, sine quibus perduci ad finem propositum non potest; & his ipsis quoque non ante, quam, usu postulante cujusque rei, necessitate cogaris. Silere autem

Digitized by Google

μὴ μόνον τῇ γλώττῃ, πολὺ δὲ μᾶλλον τῇ ψυχῇ. A.V.543.
5 Πολλοὶ γὰρ ἤδη, κρύψαντες τοὺς λόγους, ποτὲ μὲν
δι' αὐτῆς τῆς ἐπιφάσεως, ποτὲ δὲ καὶ διὰ τῶν πραττο-
μένων, φανερὰς ἐποίησαν τὰς ἑαυτῶν ἐπινοίας.
6 Δεύτερον δ' ἐπεγνωκέναι τὰς ἡμερησίους καὶ νυκτε- Itinerum
ρινὰς πορείας, καὶ τὰ διανύσματα τούτων, μὴ μό- intervalla.
7 νον κατὰ γῆν, ἀλλὰ καὶ κατὰ θάλατταν. Τρίτον Conver-
καὶ μέγιστον, τῶν ἐκ τοῦ περιέχοντος καιρῶν ἔχειν siones
ἔννοιαν, καὶ δύνασθαι τούτων κατὰ τὸ κριθὲν εὐστο- cœli.
8 χεῖν. Καὶ μὴν οὐδὲ τὸν τόπον τῆς πράξεως ἐν μι- Locus rei
κρῷ θετέον· ἐπειδὴ πολλάκις παρὰ τοῦτο τὰ μὲν agendæ.
ἀδύνατα δοκοῦντα εἶναι δυνατὰ, τὰ δὲ δυνατὰ πέ-
9 φυκεν ἀδύνατα. Τὸ δὲ τελευταῖον, συνθημάτων, Tesseræ
καὶ παρασυνθημάτων, ἔτι δὲ ἐκλογῆς, δι' ὧν καὶ & signa.
μεθ' ὧν ἐνεργηθήσεται τὸ κριθὲν, οὐκ ὀλιγωρητέον.

XIII. 8. *τόπον correxi. Vulgo omnes h. l. τρόπον.*

tem oportet, non lingua dumtaxat, ſed animo multo magis. Etenim ſæpius factum videmus, ut, qui rem, quod ad verba, clam habuerant, alii vultu ipſo, quem præ ſe ferebant, alii factis, conſilia quæ animo verſabant manifeſtarent. Proximum eſt, ut diurna nocturnaque itinera probe ſint nota, & eorum conficiendorum quis ſit modus, non ſolum terra, verum etiam mari. Tertium & maximum eſt, ut opportunitatum *ex cœli converſione mutationibusque* naſcentium notitiam habeas, & ut poſſis ad illarum rationes id, quod agere decreveris, ſine errore adcommodare. Sed nec *locum* rei gerendæ parvi pendere oportet; quoniam ſæpe per hanc obſervationem uſu venit, ut, quæ videbantur fieri non poſſe, fierent; & ea rurſus fieri non poſſent, quæ facilia exiſtimabantur. Poſtremo negligendæ non ſunt *teſſeræ & ſigna*, cum ſimplicia, dum duplicata; item eorum diligens electio, per quos & quibuscum res ſuſcepta peragetur.

14. Ho-

Digitized by Google

Ol. 142. 1. XIV. Tres viae harum rerum discendarum.

Τῶν δὲ προειρημένων τὰ μὲν ἐκ τριβῆς, τὰ δ' ἐξ ἱστορίας, τὰ δὲ κατ' ἐμπειρίαν μεθοδικὴν θεωρεῖται. Κάλλιστον μὲν οὖν, τὸ γινώσκειν αὐτὸν καὶ τὰς ὁδοὺς, καὶ τὸν τόπον, ἐφ' ὃν δεῖ παραγενέσθαι, καὶ τὴν φύσιν τοῦ τόπου· πρὸς δὲ τούτοις, δι' ὧν μέλλει καὶ μεθ' ὧν πράττειν. δεύτερον δὲ, ἱστορεῖν ἐπιμελῶς, καὶ μὴ πιστεύειν τοῖς τυχοῦσι· τὴν δὲ τῶν καθηγουμένων πίστιν ἐπί τι τῶν τοιούτων ἐν τοῖς ἑπομένοις ἀεὶ δεῖ κεῖσθαι. Ταῦτα μὲν οὖν καὶ τὰ τούτοις παραπλήσια δυνατὸν ἴσως καὶ δι' αὐτῆς τῆς στρατιωτικῆς τριβῆς περιγίγνεσθαι τοῖς ἡγουμένοις, τὰ μὲν ἐξ αὐτουργίας, τὰ δ' ἐξ ἱστορίας. Τὰ δ' ἐκ τῆς ἐμπειρίας προσδεῖται μαθήσεως καὶ θεωρημάτων, καὶ μάλιστα τῶν ἐξ ἀστρολογίας καὶ γεωμετρίας· ὧν τὸ μὲν ἔργον οὐ μέγα πρός γε ταύτην τὴν χρείαν, τὸ δὲ χρῆμα μέγα, καὶ μεγάλας συνερ-

14. Horum autem, quæ sunt a nobis commemorata, alia *usu & experientia* cognoscuntur; alia ex *historia* & ex *percontatione;* quorumdam notitia *arte ac justa doctrina* parari debet. Iam quidem optimum sane est, ducem ipsum vias habere notas, & locum, ad quem est veniendum, & loci naturam; ad hæc illos, per quos & quibuscum rem sit acturus. Sin minus, proximum illud est, ut accurate omnia percontetur, neque temere fidem cuivis habeat. Eorum vero fidei, qui ad expeditiones hoc genus viam præeunt, pignora penes eos semper teneri oportet, qui illos sequuntur. Ista igitur, quæ vel propria cognoscuntur experientia, vel ex historia aut percontatione ex aliis, per solum fortasse militarem usum sibi acquirere duces belli valeant: illa vero arte parabilis notitia opus habet disciplina & præceptis; illis potissimum, quæ ex astrologia & geometria petuntur: quarum scientiarum argumentum, ad præsens quidem institutum quod attinet, non est sane amplum;

Digitized by Google

A.V.543. Temporum rationes nosse debet imperator.

ὑπεργεῖν δυνάμενον πρὸς τὰς προειρημένας ἐπιβο-
6λάς. Ἀναγκαιότατον δ' αὐτῷ τὸ περὶ τὰς νυκτε-
ρινὰς θεωρίας καὶ τὰς ἡμερινάς. εἰ μὲν γὰρ ἴσας
ἦναι συνέβαινε ταύτας ἀεὶ, οὐδ' ἧς τινος ἂν ἀσχο-
λίας τὸ πρᾶγμα προσεδεῖτο, κοινὴ δ' ἂν ἦν ἁπάν-
7των ἡ γνῶσις. ἐπεὶ δ' οὐ μόνον ἔχει τὰ προειρημένα
πρὸς ἄλληλα διαφοράν, ἀλλὰ καὶ πρὸς αὐτά· δῆ-
λον, ὡς ἀνάγκη, γινώσκειν τὰς αὐξήσεις καὶ μειώ-
8σεις ἑκατέρων. πῶς γὰρ ἄν τις εὐστοχήσειε πορείας
καὶ διανύσματος ἡμερησίου, πῶς δὲ νυκτερινοῦ, μὴ
9καταναήσας τὰς τῶν προειρημένων διαφοράς; καὶ
μὴν οὐδὲν πρὸς τὸν δέοντα καιρὸν ἐξικέσθαι δυνατὸν
ἄνευ τῆς τούτων ἐμπειρίας· ἀλλὰ ποτὲ μὲν ὑστε-
10ρεῖν, ποτὲ δὲ προτερεῖν ἀνάγκη. Μεῖζον δὲ τὸ προ-
τερεῖν, ἐν μόνοις τούτοις, ἁμάρτημα τοῦ καθυστε-
11ρεῖν. ὁ μὲν γὰρ ὑπεράρας τὸν ὡρισμένον καιρὸν,

XIV. 5. *ἐπιβολάς ex conjecl. scripsi, pro vulgato μεταβολάς.* 6. *δ' αὐτοῦ. Forsan δ' αὐτῶν.* 9. *οὐδὲν. Forsan οὐδένα.*

plum; usus vero magnus, & qui rei bellicæ incepta plurimum possit adjuvare. Ceterum ejus argumenti pars maxime necessaria ea est, quæ *noctium ac dierum spatia* contemplatur. Quæ si æqualia semper essent, nihil prorsus in ea re foret laboris, quam vulgo omnes haberent cognitam. Sed quoniam non solum *dies noctesque* inter se differunt, verum etiam dies a die, nox a nocte; liquido patet, sciri necessario debere, quæ sit amborum *crescendi aut minuendi ratio*. Nam, qui horum discrimina ignoraverit, quomodo itineris, uno die puta aut una nocte conficiendi, ita rationem inibit, ut a proposito non aberret? Sed nec pervenire aliquo tempestive queas horum cognitione destitutus, quum modo tardius, modo maturius necessario sis venturus. *Gravius* autem *peccatum* est in hoc uno rerum genere, *maturius, quam tardius venire*. Nam qui tempus constitutum

Digitized by Google

Ol. 142. 1. Tempo-rum ra-tiones.

αὐτῆς ἀποτυγχάνει τῆς ἐλπίδος· τὸ γὰρ γεγονὸς ἐξ ἀποστήματος ἐπιγνοὺς, αὖθις ἀπολύεται μετ' ἀσφαλείας. ὁ δὲ προειρημένος, προλαβὼν τὸν καιρὸν, ἐγγίσας καὶ γνωρισθεὶς, οὐ μόνον ἀποτυγχάνει τῆς ἐπιβολῆς, ἀλλὰ καὶ κινδυνεύει τοῖς ὅλοις.

12

XV. Κρατεῖ δ' ἐπὶ πάντων μὲν τῶν ἀνθρωπείων ἔργων ὁ καιρὸς, μάλιστα δὲ τῶν πολεμικῶν. Διὸ προχείρως ἰστέον τῷ στρατηγῷ τροπὰς ἡλίου θερινὰς καὶ χειμερινὰς, ἔτι δ' ἰσημερίας, καὶ τὰς μεταξὺ τούτων αὐξήσεις καὶ μειώσεις ἡμερῶν καὶ νυκτῶν. οὕτω γὰρ ἂν μόνως δύναιτο συμμετρεῖσθαι πρὸς λόγον τὰ διανύσματα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. Καὶ μὴν τοὺς κατὰ μέρος καιροὺς ἀναγκαῖον εἰδέναι, καὶ τοὺς τῆς ἡμέρας καὶ τοὺς τῆς νυκτὸς, πρὸς τὸ γινώσκειν, πηνίκα ποιητέον καὶ τὰς ἐξεγέρσεις καὶ τὰς ἀναζυγάς. οὐ γὰρ οἷόν τε τοὺς τέλους

Partes diei.

12. προλαβὼν ex conjecł. correxi. Vulgo ὁ δὲ προειρημένος λαβὼν. Malim ὁ δὲ προλαβὼν cum Reisk.

XV. 2. Verba καὶ χειμερινὰς ignorat Herv. & msti. Ex conjecł. adjecit Casaubonus. 4. ἐξεγέρσεις dedit Vrb. Ceteri vulgo ἐγέρσεις.

ſtitutum exceſſit, eum præſens dumtaxat ſpes fruſtratur: poſtquam enim, procul adhuc poſitus, peccatum agnovit, ſecure inde ſe recipit. Alter vero ille, qui anticipat tempus, poſtquam acceſſit propius, & agnitus eſt, non ſolum re infecta diſcedit; ſed etiam ad ultimum periculi pervenit.

15. Quemadmodum autem in omnibus hominum actionibus *temporis opportunitas* dominatur; ſic *in bellicis* maxime. Itaque in numerato habere imperatorem oportet æſtivas hibernasque ſolis converſiones, nec non æquinoctium utrumque, & dierum noctiumque incrementa aut decrementa, quæ inter æquinoctia contingunt. Hoc enim ſolo modo poterit recta ratione commetiri cum tempore iter, ſive terra, ſive mari conficiendum. Quin etiam *temporum partes* ſcire oportet, tam *diei*, quam *noctis*: ut ſciat, quanam hora & evigilandum ſit, & proficiſcendum. Nemo enim opta-

Digitized by Google

τέλους τυγχάνειν, μὴ οὐ τῆς ἀρχῆς εὐστοχήσαντα. A.V.543.
Τοὺς μὲν οὖν τῆς ἡμέρας καιροὺς τῇ σκιᾷ συνθεωρεῖν οὐκ ἀδύνατον, ἔτι δὲ τῇ κατὰ τὸν ἥλιον πορείᾳ, καὶ τοῖς ἐπὶ τοῦ κόσμου γεγονόσιν αὐτοῦ τούτου διαστήμασι. τοὺς δὲ τῆς νυκτὸς δυσχερὲς, ἐὰν μή τις ἐπὶ τοῦ φαινομένου τῇ τῶν δώδεκα ζωδίων οἰκονομίᾳ καὶ τάξει συμπεριφέρηται· πάνυ γὰρ καὶ τοῦτο ῥᾴδιον τοῖς τὰ φαινόμενα πεπολυπραγμονηκόσιν. Partes noctis.
Ἐπεὶ γὰρ, ἀνίσων οὐσῶν τῶν νυκτῶν, ὅμως ἐν πάσῃ τῇ νυκτὶ τῶν δώδεκα ζωδίων ἓξ ἀναφέρεσθαι συμβαίνει· φανερὸν, ὡς ἀναγκαῖον, ἐν τοῖς αὐτοῖς μέρεσι πάσης νυκτὸς ἴσα μέρη τῶν δώδεκα ζωδίων ἀναφέρεσθαι. τοῦ δ' ἡλίου γνωριζομένου καθ' ἡμέραν, ποίαν μοίραν ἐπέχει· δῆλον, ὡς, δύναντος τούτου, τὴν κατὰ διάμετρον ἐπιτέλειν ἀνάγκη. λοιπὸν, ὅσον ἂν τὸ μετὰ ταύτην μέρος ἀνατεταλκὸς φαίνηται τοῦ Ζωδια-

6. συνθεωρεῖν. Θεωρεῖν *Aug. Vtb.* Ibid. τῇ δ' πορείᾳ cum *Vtbno* correxit *Cafaub.* quum eſſet τὴν δ' πορείαν. 8. ἴσα μέρη correxit *Cafaub.* ισομερῆ *Herv.* cum uetis. ἴσον μέρος στα *Aug.* & στα *Med.* 9. ἐπιτέλλειν ex *Reiskii* poſui conjectura. *Vulgo* omnes ἐπιτέμνειν.

optatum negotii finem aſſequetur, niſi qui principia bene poſuerit. Ac *diei* quidem *tempora* & ex umbra poſſumus inveſtigare, & ex ſolis curſu, eisque intervallis quæ ſol in cœlo permeavit. *Noctis* vero, haud facile eſt; niſi quis ea, quæ in cœlo apparent, ſidera noverit ad duodecim ſignorum diſpoſitionem atque ordinem referre: quod & ipſum quidem facile ei eſt, qui in *Phænomenorum* ſive *Sphæræ* doctrina fuerit verſatus. Quoniam enim, etſi inæquales ſint noctes, quavis tamen nocte ſigna Zodiaci ſex ſupra horizontem attolluntur; apparet, neceſſum eſſe, ut iisdem partibus cujusvis noctis partes Zodiaci æquales ſupra terram emergant. Quum igitur notum fuerit, ecquam portionem ſigniferi circuli ſol interdiu obtineat; perſpicuum eſt, poſt ejus occaſum oriri illud cœli punctum, quod iſti e diametro oppoſitum eſt. Ex quo conſequitur, ut, quanta Zodiaci

Digitized by Google

Ol. 142. 1. Partes noctis.

Ζωδιακοῦ, τοσοῦτον εἰκὸς ἠνύσθαι τῆς νυκτὸς ἀεί. γνωριζομένων δὲ τῶν ζωδίων καὶ κατὰ τὸ πλῆθος καὶ κατὰ τὸ μέγεθος, τοιούτους γίγνεσθαι μετὰ ταῦτα συμβαίνει καὶ τοὺς κατὰ μέρος καιροὺς τῆς νυκτός. Ἐν δὲ ταῖς συννεφέσι νυξὶ, τῇ σελήνῃ προσεκτέον· ἐπεὶ διὰ τὸ μέγεθος ὡς ἐπίπαν ἀεὶ τὸ ταύτης ἐμφαίνεται φῶς, καθ' ὃν ἂν ᾖ τόπον τοῦ κόσμου. καὶ ποτὲ μὲν ἐκ τῶν περὶ τὰς ἀνατολὰς καιρῶν καὶ τόπων στοχαστέον, ποτὲ δὲ πάλιν ἐκ τῶν περὶ τὰς δύσεις· προϋπαρχούσης καὶ περὶ τοῦτο τὸ μέρος ἐννοίας ἐπὶ τοσοῦτον, ὥστε συμπεριφέρεσθαι ταῖς καθ' ἡμέραν διαφοραῖς τῶν ἀνατολῶν. ἔστι δὲ τρόπος εὐθεώρητος καὶ περὶ ταύτην· ὅρος γὰρ ἐς μὴν, ὡς τύπῳ, καὶ πρὸς αἴσθησιν τοιοῦτοι πάντες.

11 12 13 14 15

Ἡ

14. προϋπαρχούσης *correxit Casaubonus, cum libri omnes darent* καὶ ὑπαρχούσης.

ci pars post illud punctum adscendisse deprehendetur, tantam semper noctis partem esse confectam intelligatur. Quoniam vero signorum & numerus cognitus est, & magnitudo; pari ratione etiam reliquæ deinde partes noctis cognoscuntur. Nubila autem nocte, *lunæ* attendendum est: quoniam propter illius sideris magnitudinem, in quacumque cœli sit regione, ut plurimum ejus lumen semper apparet. Ac aliâs quidem e tempore ortus, & e loco, quo in orientali plaga cœli hæret luna, intelligi hora noctis potest; aliâs rursus ex ejusdem occasu, aut loco quem versus occidentem occupat: dummodo etiam hujus generis notitiam jam ante in tantum comparatam tibi habeas, ut differentias intelligas, quæ in ortu lunæ per dies singulos intercedunt. Facilis autem est rationum hujus quoque sideris observatio: etenim, summatim si spectes, unius mensis spatio cursus ejus terminatur; &, ad sensum quidem, omnes menses similem habent rationem.

16. Atque

Digitized by Google

Ἢ, καὶ τὸν ποιητὴν ἄν τις ἐπαινέσειε, διότι παρεισάγει τὸν Ὀδυσσέα, τὸν ἡγεμονικώτατον ἄνδρα, τεκμαιρόμενον ἐκ τῶν ἄστρων, οὐ μόνον τὰ κατὰ τοὺς πλοῦς, ἀλλὰ καὶ τὰ περὶ τὰς ἐν τῇ γῇ πράξεις. Ἱκανὰ γὰρ καὶ τὰ παρὰ δόξαν γιγνόμενα * τυγχάνειν προνοίας ἀκριβοῦς εἰς τὸ πολλὴν ἀπορίαν παρασκευάζειν καὶ πολλάκις· οἷον ὄμβρων καὶ ποταμῶν ἐπιφοραὶ, καὶ πάγων ὑπερβολαὶ, καὶ χιόνες, ἔτι δὲ ὁ καπνώδης καὶ συννεφὴς ἀὴρ, καὶ τἄλλα τὰ παραπλήσια τούτοις. Εἰ δὲ καὶ περὶ ὧν δυνατόν ἐστι προϊδέσθαι, καὶ τούτων ὀλιγωρήσομεν, πῶς οὐκ εἰκότως ἐν τοῖς πλείστοις ἀποτευξόμεθα δι' αὐτούς; Διόπερ οὐκ ἀφρονιστητέον οὐδενὸς τῶν προειρημένων, ἵνα μὴ τοιούτοις ἀλογήμασι περιπίπτωμεν, οἷοις φασὶ περιπεσεῖν ἑτέρους τε πλείους, καὶ

A.V.543. XVI. Ulyssis Homerici peritia.

XVI. 2. *παρὰ δόξαν* cum Reiskio scripsi, pro vulgato *παράδοξα*. Tum lacunæ signum *interserui*, & excidisse puto verba *καὶ μὴ δυνάμενα*. Ibid. *ἀκριβοῦς* scripsi, vestigia scripturæ cod. Aug. secutus. Vulgo *ἀκριβῶς*. 5. *ἀφρονιστητέον* debetur Casaubono. *ἀφρονιστέον* Herv. cum mss.

16. Atque hoc nomine Poëtam merito aliquis laudaverit, qui peritissimum illum imperatoriæ artis virum, *Ulyssem*, inducit, non ea solum, quæ ad navigationem pertinent, ex astris conjectantem, verum etiam quæ ad actiones spectant in terris gerendas. Nam quæ inopinato accidunt, neque admittunt diligentem cautionem; puta, effusiones imbrium, incrementa amnium, frigora acerbius ingruentia, nivium copia, item aër densa caligine ceu fumo obscuratus, & similia his alia; sat magnam illa etiam per se vim habent, ut in multas sæpenumero difficultates conjiciant mortales. Quod si vero etiam ea neglexerimus, quæ possunt præcaveri; quis non videt, rationi consentaneum esse, ut pleraque nostra consilia ad irritum per nosmetipsos cadant? Quamobrem nullius eorum, quæ ante diximus, cura omittenda; ne in ejusmodi errores incidamus, in quos cum alii

Ol. 142. 1. καὶ τοὺς νῦν ὑφ' ἡμῶν λέγεσθαι μέλλοντας ὑποδέγματος χάριν.

XVII. Arati imperitia, ad Cynetham oppidum.

Ἄρατος, ὁ τῶν Ἀχαιῶν στρατηγὸς, ἐπιβαλόμενος πραξικοπεῖν τὴν τῶν Κυναιθέων πόλιν, συνετάξατο πρὸς τοὺς ἐκ τῆς πόλεως αὐτῷ συνεργοῦντας ἡμέραν, ἐν ᾗ τὸν μὲν Ἄρατον ἔδει νυκτὸς παραγενηθέντα πρὸς τὸν ἀπὸ Κυναίθης ῥέοντα ποταμὸν ὡς ἐπὶ * πρεπίου μένειν ἐνσχολήσαντα μετὰ τῆς δυνάμεως· τοὺς δ' ἔνδοθεν περὶ μέσον ἡμέρας, ὅτε λάβοιεν τὸν καιρὸν, ἕνα μὲν αὐτῶν μεθ' ἡσυχίας ἐν ἱματίῳ διὰ τῆς πύλης ἐκπέμψαι, καὶ κελεῦσαι, προελθόντα στῆναι πρὸ τῆς πόλεως ἐπὶ τὸν συνταχθέντα τάφον· τοὺς δὲ λοιποὺς προσενεγκεῖν τὰς χεῖρας τοῖς ἄρχουσι, κοιμωμένοις κατὰ μέσον ἡμέρας, τοῖς εἰθισμένοις τηρεῖν τὴν πύλην. γενομένου δὲ τούτου,

XVII. 1. ὡς ἐπὶ * πρεπίου. *Menda vel lacuna notam adjecit Casaub.* ὡς ἐπίου μένειν *Reg. G.* ὡς ἐπιπερειμένειν *alter cod. Medic. & sic ora cod. Aug. antiqua manu.* ἐπὶ Λεπρίου *vel potius* ἐπὶ τοῦ Ἡρείου, *versus Iunonis fanum, suspicatus est Reisk.* ἐπ' ἐρεπίων *voluit Gron.* Ibid. ἐνσχολήσαντα. ἐνασχολήσαντα *Vsin. Regii & Vesont.* ἐλοχήσαντα *maluerat Reisk.*

alii plures feruntur incidisse, tum ii, quorum hic exempli causa mentionem sumus facturi.

17. *Aratus*, prætor Achæorum, *Cynæthensium* urbem proditione capere aggressus, diem cum iis, quorum opera intra muros utebatur, constituit, quo die oportebat, ut ipse ad amnem Cynætha delabentem adesset, eoque loci cum copiis * moraretur atque exspectaret; conjurati vero in urbe, circa meridiem, ubi nacti essent occasionem, uno e suis cum pallio per silentium porta emisso, qui, paulisper progressus, in tumulo quodam sepulcrali, de quo convenerat, qui ante urbem est, consisteret; ceteri interim Polemarchis, qui portam soliti erant custodire, meridiano somno indulgentibus, manus inferrent: quo facto,

Achæos

τούτου, σπουδῇ καταταχεῖν τοὺς Ἀχαιοὺς ἐκ τῆς A.V.543.
5 ἐνέδρας ἔδει πρὸς τὴν πύλην. Τούτων δὲ διατεταγ- Arati imperitia.
μένων, καὶ τοῦ καιροῦ συναύψαντος, ὁ μὲν Ἄρατος
ἦκε, καὶ κρυφθεὶς κατὰ τὸν ποταμὸν, ἔμενε τηρῶν
6 τὸ σύνθημα. περὶ δὲ πέμπτην ὥραν, ἔχων τις πρό- Oves pellitæ.
βατα μαλακὰ τῶν εἰθισμένων περὶ πόλιν τρέφειν,
δεηθεὶς ἐκ τοῦ καιροῦ πύθεσθαί τι τοῦ ποιμένος βιω-
τικὸν, ἐξῆλθε διὰ τῆς πύλης ἐν ἱματίῳ, καὶ στὰς
ἐπὶ τὸν αὐτὸν τάφον, περιεβλέπετο τὸν ποιμένα.
7 οἱ δὲ περὶ τὸν Ἄρατον ἀποδεδόσθαι σφίσι τὸ σύνθη-
μα νομίσαντες, σπουδῇ πρὸς τὴν πόλιν ἐφέροντο
8 πάντες. Ταχὺ δὲ τῆς πύλης κλεισθείσης ὑπὸ τῶν
ἐφεστώτων, διὰ τὸ μηδέπω μηδὲν ὑπὸ τῶν ἔνδον
ἡτοιμάσθαι· συνέβη, μὴ μόνον τῆς πράξεως ἀποτυ-
χεῖν τοὺς περὶ τὸν Ἄρατον, ἀλλὰ καὶ τοῖς ἐκ τῆς
πόλεως

5. *συνάψαντος correxit Casaub. cum Vrsino. συνάρξαντος Herv. cum Med. & ora Aug. συνάξαντος Aug. Vrb. Regii, Vesont. Tubing.* 6. *βιωτικὸν adscivi ex ora cod. Aug. & Med. Mendose βιωτικὸν libri omnes in contextu, quod in ἰδιωτικὸν ex ingenio mutavit Casaub. βιοτικὸν videtur prius fuisse in cod. Vesont.*

Achæos ex insidiis, quanta maxima celeritate possent, oportebat ad occupandam portam adcurrere. His ita constitutis, ubi rei agendæ tempus advenit, adest *Aratus*, & juxta amnem se occultans, signum præstolatur. Erant autem cuidam *oves delicatæ*, (*pellitas* alii vocant) ejus generis, quod circa urbem solet pasci: hic hora diei circiter quinta, aliquid ad rem familiarem pertinens tum forte scisciteri cupiens a pastore, palliatus urbe exiit, &, eidem illi tumulo insistens, pastorem oculos huc illuc circumferens quærebat. Ibi tum *Aratus* & qui illi aderant, datum sibi esse signum rati, curriculo omnes ad urbem contendunt. At quum repente statio custodum portam clausisset, (nihil dum enim conjurati intra muros paraverant;) non solum ab incepto depulsus est Aratus, sed etiam in causa fuit, ut ci-

ves

Digitized by Google

Ol. 142. 1. Aratī imperitia.

πόλεως συμπράττουσιν, αἰτίους γενέσθαι τῶν μεγίστων συμπτωμάτων· καταφανεῖς γὰρ γενόμενοι, παραχρῆμα προβληθέντες ἀπέθανον. Τί οὖν εἴποι τις ἂν τῆς περιπετείας αἴτιον γεγονέναι; τὸ ποιήσασθαι τὸν στρατηγὸν ἁπλοῦν τὸ σύνθημα, νέον ἀκμὴν ὄντα, καὶ τῆς τῶν διπλῶν συνθημάτων καὶ παρασυνθημάτων ἀκριβείας ἄπειρον. Οὕτως αἱ πολεμικαὶ πράξεις ἐν μικρῷ τὸ διαφέρον ἔχουσι τῆς ἐφ' ἑκάτερα ῥοπῆς τῶν ἐκβαινόντων.

Signa duplicata.

XVIII. Cleomenis error ad Megalopolin.

Καὶ μὴν Κλεομένης, ὁ Σπαρτιάτης, προθέμενος διὰ πράξεως ἑλεῖν τὴν τῶν Μεγαλοπολιτῶν πόλιν, συνετάξατο τοῖς τὸ τεῖχος φυλάττουσι τὸ κατὰ τὸν Φωλοὸν καλούμενον, νυκτὸς ἥξειν μετὰ τῆς δυνάμεως κατὰ τρίτην φυλακήν· τοῦτον γὰρ ἐφύλαττον τὸν καιρὸν τὸ τεῖχος οἱ συμπράττοντες αὐτῷ. οὐκέτι δὲ προνοηθεὶς, ὅτι περὶ τὴν τῆς Πλειάδος ἐπιτολὴν τελέως ἤδη βραχείας εἶναι συμβαίνει τὰς νύκτας,

ves in urbe, qui ejus conatus adjuverant, mala experirentur graviſſima: deprehenſi enim in re manifeſta, ac ſtatim producti, perierunt. Ecquam igitur ejus calamitatis fuiſſe cauſſam dicemus? Quod nempe dux ſignum ſimplex conſtituerat, ut qui juvenis admodum tunc eſſet, neque ullum penitus obſervationis exactæ *duplicatorum ſignorum*, quæ in ſubſidium ſimplicium adhibentur, uſum haberet. Adeo res bellicæ parvo momento poſſunt impelli, ut vel hunc, vel contrarium exitum ſortiantur.

18. *Cleomenes* quoque, rex Spartæ, quum urbem *Megalopolin* proditione clandeſtina capere propoſuiſſet, cum iis, qui in parte mœnium ad Speluncam nuncupata cuſtodias agebant, conſtituit, noctu ſe eo venturum tertia vigilia: nam id erat tempus, quo murorum cuſtodiam obituri erant proditores. Sed non cogitaverat Cleomenes, noctes circa *Plejadum exortum* eſſe breviſſimas. Itaque,

Digitized by Google

νύκτας, ἐκίνησε τὴν δύναμιν ἐκ τῆς Λακεδαίμονος A.V.543.
περὶ δυσμὰς ἡλίου. λοιπὸν, οὐ δυνάμενος καταταχεῖν, ἀλλὰ τῆς ἡμέρας καταλαμβανούσης, εἰκῇ καὶ ἀλόγως βιαζόμενος, αἰσχρῶς ἐξέπεσε, πολλοὺς ἀποβαλὼν, καὶ κινδυνεύσας τοῖς ὅλοις· ὃς, εἰ κατὰ τὸ συνταχθὲν ὑστόχησε τοῦ καιροῦ, καὶ κρατούντων τῆς εἰσόδου τῶν συνεργούντων εἰσήγαγε τὴν δύναμιν, οὐκ ἂν διεψεύσθη τῆς ἐπιβολῆς. Πάλιν ὁμοίως Φί- Philippi peccata ad Melitæam.
λιππος ὁ βασιλεὺς, ὡς ἐπάνω προεῖπον, πρᾶξιν ἔχων ἐκ τῆς τῶν Μελιταιέων πόλεως, κατὰ δύο τρόπους ἥμαρτε· καὶ γὰρ τὰς κλίμακας ἐλάττους ἔχων ἦλθε τῆς χρείας, καὶ τοῦ καιροῦ διέπεσε. συνταξάμενος γὰρ ἦξεν περὶ μέσας νύκτας κατακεκοιμημένων ἤδη πάντων, πρὸ τοῦ δέοντος καιροῦ κινήσας ἐκ Λαρίσσης, καὶ προσπεσὼν πρὸς τὴν τῶν Μελιταιέων χώραν, οὔτ' ἐπιμένειν ἐδύνατο, δεδιὼς, μὴ προσαγγελθείη

que, profectus Lacedæmone ſub occaſum ſolis cum exercitu, quum id ſpatium tam celeriter perficere non potuiſſet, quin prius dies illuceſceret, temere ac contra rationem per vim conatus irrumpere, multis ſuorum amiſſis, de ſumma re periclitatus, cum ignominia eſt repulſus: qui, ſi tempus, quod conſtitutum fuerat, recte obſervaſſet, per portam a fautoribus ſuis occupatam copias ſuas introduxiſſet, neque eum ſpes fefelliſſet, quam de ſuo incepto conceperat. Similiter & *Philippus*, ſicut jam ante expoſuimus, inſtituta cum nonnullis ex urbe *Melitæenſium* proditione, duplicem errorem admiſit: nam & ſcalas breviores attulit, quam ut uſui eſſe poſſent, & ab opportuno rei agendæ tempore aberravit. Conſtituerat, *ſe circa mediam noctem, quando omnes tenet ſomnus, venturum:* ſed maturius, quam par erat, Lariſſa profectus, ubi ſemel in agrum Melitæenſium irrupiſſet, neque manere potuit, metuens, ne oppidani de adventu ſuo fierent certiores; neque porro

Digitized by Google

Ol.142.1. γελθείη τοῖς ἔνδον, οὔτ' ἀνακάμψας ἔτι λαθεῖν. διόπερ ἀναγκαζόμενος εἰς τοὔμπροσθεν προάγειν, 7 ἦκε πρὸς τὴν πόλιν, ἀκμὴν τῶν ἀνθρώπων ἐγρηγορότων. ὅθεν οὐδὲ διὰ τῶν κλιμάκων ἠδύνατο βιάζεσθαι, διὰ τὴν ἀσυμμετρίαν, οὔτε διὰ τῆς πύλης εἰσελθεῖν, τῷ μὴ δύνασθαι τοὺς ἔνδον αὐτῷ συνεργεῖν διὰ τὸν καιρόν. τέλος, διερεθίσας τοὺς ἐν τῇ 9 πόλει, καὶ πολλοὺς τῶν ἰδίων ἀποβαλών, μετ' αἰσχύνης ἄπρακτος ἐπανῆλθε, πᾶσι καὶ τοῖς ἄλλοις παρηγγελκώς, ἀπιστεῖν αὐτῷ καὶ φυλάττεσθαι.

XIX. Nicias Atheniensis turbatur defectu lunæ.

Καὶ μὴν Νικίας, ὁ τῶν Ἀθηναίων στρατηγὸς, δυνάμενος σώζειν τὸ περὶ τὰς Συρακούσας στράτευμα, καὶ λαβὼν τῆς νυκτὸς τὸν ἁρμόζοντα καιρὸν εἰς τὸ λαθεῖν τοὺς πολεμίους, ἀποχωρήσας εἰς ἀσφαλὲς, κἄπειτα τῆς σελήνης ἐκλιπούσης, δεισιδαιμονήσας, ὥς τι δεινὸν προσημαινούσης, ἐπέσχε τὴν ἀναζυγήν. καὶ παρὰ τοῦτο συνέβη, κατὰ τὴν ἐπιοῦ- 8 σαν

latere, si pedem retro tuliſſet. Igitur ulterius pergere coactus, ad urbem acceſſit, cunctis in ea adhuc vigilantibus. Vnde evenit, ut neque per ſcalas irrumpere poſſet, ob modum ipſarum inæqualem; neque per portam ingredi, quia tempore deſtituti, qui intus erant, operam illi navare nequiverant. Tandem, irritata ira oppidanorum, multis ſuorum amiſſis, nihil inde præter ſuum dedecus retulit, poſtquam eo facinore alios etiam omnes admoniſſet, ut nullam ſibi deinceps fidem haberent, & caverent.

19. Iam & *Nicias*, dux *Athenienſium*, quum ſervare exercitum, qui ad *Syracuſas* erat, poſſet, ſumſiſſetque ad id noctis partem, fallendo hoſti maxime opportunam; ubi jam in locum tutum ſe recepiſſet, mox quia *luna defecerat*, religione tactus, quaſi mali aliquid ea res portenderet, inhibuit agmen. Quo factum, ut, quum inſecuta

Digitized by Google

σαν αὐτοῦ νύκτα ποιησαμένου τὴν ἀναζυγήν, προσα- A.V.543.
θομένων τῶν πολεμίων, καὶ τὸ στρατόπεδον καὶ τοὺς
ἡγεμόνας ὑποχειρίους γενέσθαι τοῖς Συρακουσίοις.
3καί τοι γε παρὰ τῶν ἐμπείρων ἱστορήσας μόνον περὶ
τούτων, δυνατὸς ἦν, οὐχ οἷον παραλιπεῖν διὰ τὰ
τοιαῦτα τοὺς ἰδίους καιρούς, ἀλλὰ καὶ συνεργοῖς χρή-
4σασθαι διὰ τὴν τῶν ὑπεναντίων ἄγνοιαν. Ἡ γὰρ
τῶν πέλας ἀπειρία μέγιστον ἐφόδιον γίγνεται τοῖς
ἐμπείροις πρὸς κατόρθωσιν. Ἐκ μὲν οὖν ἀστρολο-
γίας μέχρι τῶν προειρημένων πολυπραγμονητέον.
5Περὶ δὲ τῆς τῶν κλιμάκων συμμετρίας τοιοῦτός τις Scalarum commetienda-
ἐστὶν ὁ τρόπος τῆς θεωρίας. ἐὰν μὲν γὰρ διά τινος rum ratio.
τῶν συμπρατλόντων δοθῇ τὸ τοῦ τείχους ὕψος,
6πρόδηλος ἡ τῶν κλιμάκων γίγνεται συμμετρία. οἷον
γὰρ ἂν δέκα τινῶν εἶναι συμβαίνῃ τὸ τοῦ τεί-
χους ὕψος, τοιούτων δώδεκα δεήσει τὰς κλίμακας

XIX. 3. *ἱστορήσας. Mendose Herv. cum mstis nostris ἱστοῤῥήσας. Correxit Casaub. Adjectum autem malim particulam ἂν vel h. l. vel post δυνατὸς. 6. συμβαίνῃ ex Suida adsci. i. Vulgo συμβαίνει.* Ibid. *τὰς κλίμακας. Articulum, qui abest vulgo, ex conject. adjeci cum Reisk.*

cuta nocte discessum moliretur, explorato ab hostibus consilio, & castra & duces in Syracusiorum potestatem venirent. Atqui si vel peritos dumtaxat percontatus esset *Nicias;* poterat non dicam occasionem suis consulendi propterea non prætermittere; sed etiam, propter ignorantiam adversariorum, eo quasi telo uti ad rem bene gerendam. *Maximum* enim *peritis ad ea, quæ parant, perficienda viaticum est imperitia aliena.* Et ex siderum quidem doctrina tantum, delibandum, quantum ad ea, quæ diximus, futurum sit satis. *Scalarum* autem *commetiendarum,* ut usui respondeant, ratio est hujusmodi. Scilicet, si eorum, qui intra urbem tibi favent, aliquis mœnium altitudinem tibi dederit, manifesta res est. Qualium enim partium decem est muri altitudo; talium duodecim, large sumtarum, scalas

Digitized by Google

Ol. 142. 1. δαψιλῶν ὑπάρχειν. τὴν δ' ἀπόβασιν τῆς κλίμακος, πρὸς τὴν τῶν ἀναβαινόντων συμμετρίαν, ἡμίσειαν εἶναι δεήσει τῆς κλίμακος· ἵνα μήτε πλεῖον ἀφιστάμεναι διὰ τὸ πλῆθος τῶν ἐπιβαινόντων εὐσύντριπτοι γίγνωνται, μήτε πάλιν ὀρθότεραι προσερειδόμεναι λίαν ἀκροσφαλεῖς ὦσι τοῖς προσβαίνουσιν. Ἐὰν δὲ μὴ δυνατὸν ᾖ μετρῆσαι, μηδ' ἐγλῖσαι τῷ τείχει, λεπτέον ἐξ ἀποστάσεως παντὸς ὕψους τὸ μέγεθος τῶν πρὸς ὀρθὰς ἐφεστώτων τοῖς ὑποκειμένοις ἐπιπέδοις. ὅ τε τρόπος τῆς λήψεως καὶ δυνατὸς καὶ ῥάδιος τοῖς βουλομένοις πολυπραγμονεῖν τὰ παρὰ τῶν μαθηματικῶν.

XX. Geometriam nosse debet Imperator.

Διὸ πάλιν ἐν τούτοις φανερὸν, ὅτι δεήσει τοὺς βουλομένους εὐστοχεῖν ἐν ταῖς ἐπιβολαῖς καὶ πράξεσι, γεγεωμετρηκέναι, μὴ τελείως, ἀλλ' ἐπὶ τοσοῦτον, ἐφ' ὅσον ἀναλογίας ἔννοιαν ἔχειν, καὶ τῆς περὶ τὰς ὁμοιό-

6. δαψιλῶν. δαψιλῶς Vrſin. & ſic Veſont. & Aug. ex correct. ab eadem manu. 9. τὰ παρὰ. Articulum τὰ ex ingenio adjecit Caſaub.

ſcalas eſſe oportebit. Spatium autem, quo ipſæ ſcalæ ab imo muro aberunt, cum numero adſcendentium commetiendo, æquale facies dimidiatæ ipſarum longitudinis; ne, vel, ſi longius abfuerint, præ conſcendentium numero facile confringantur, vel, ſi rectiores applicentur, facili lapſu, qui adſcendunt, ruant præcipites. Sin autem metiri murum nequeas, neque ad eum accedere; ſumi poterit cujusvis altitudinis modus earum rerum, quæ propoſitæ ſuperficiei ad rectos angulos inſiſtunt. Poteſt enim illa menſura ſumi, & quidem facile, ſi quis ea, quæ a mathematicis docentur, pauliſper tractaverit.

20. Iterum igitur ex his apparet, neceſſe fore iis, qui in ſuſceptis a ſe actionibus aberrare a ſcopo noluerint, *Geometrica* addidiciſſe; non perfecte quidem, ſed quantum ſatis ſit ad proportiones intelligendas, & illa, quæ de figurarum æqualitate docentur.

Digitized by Google

2ὁμοιότητας θεωρίας. Οὐ γὰρ περὶ ταῦτα μόνον, A.V.543.
ἀλλὰ καὶ περὶ τὰς τῶν σχημάτων μεταλήψεις ἐν
ταῖς στρατοπεδείαις ἀναγκαῖος ἐστὶν ὁ τρόπος, χάρ-
ιν τοῦ δύνασθαι ποτὲ μὲν πᾶν σχῆμα μεταλαμβάν-
οντας τηρεῖν τὴν αὐτὴν συμμετρίαν τῶν ἐν ταῖς
3παρεμβολαῖς περιλαμβανομένων· ποτὲ δὲ πάλιν
ἐπὶ τῶν αὐτῶν σχημάτων μένοντας αὔξειν ἢ μειοῦν
τὸ περιλαμβανόμενον τῇ στρατοπεδείᾳ χωρίον, κα-
τὰ λόγον ἀεὶ τῶν προσγιγνομένων, ἢ τῶν χωριζο-
4μένων ἐκ τῆς παρεμβολῆς. ὑπὲρ ὧν ἡμῖν ἐν τοῖς πε- Polybii Commentarii Tactici.
ρὶ τὰς Τάξεις Ὑπομνήμασιν ἀκριβέστερον δεδήλω-
5ται. Οὐ γὰρ οἶομαι τοῦτό γε μετρίως ἡμῖν ἐποίσειν
οὐδένα, διότι πολλά τινα προσαρτῶμεν τῇ στρατη-
γίᾳ, κελεύοντες ἀστρολογεῖν καὶ γεωμετρεῖν τοὺς
6ὀρεγομένους αὐτῆς. Ἐγὼ δὲ τὰ μὲν ἐκ περιτ[ο]ῦ

I 3 παρελ-

XX. 3. περιλαμβ. ex Reiskii conject. scripsi pro vulgato παραλαμβανόμενον. Ibid. προσγιγνομένων ex Vrsini emend. adsci;si, pro mendoso προγινωσκομένων, quod est in libris; pro quo παραγιγνομένων posuit Casaub. 4. περὶ τὰς Τάξεις Sic corrigendum putavi. Mendosè Codices omnes παρὰ τὰς Τάξεις. Sed ora cod. Aug. & inde ora edit. Hervag. περὶ Παρατάξεων, quod in contextum recepit Casaub. 5. ἐποίσειν ex conject. correxi. Vulgo omnes ὑποίσειν.

centur. Etenim non ad ista solum requiritur Geometrarum scientia; verum etiam ad commutandas pro loci ingenio figuras in ponendis castris: ut possis, modo figura in quamvis aliam mutata, eumdem servare commensum omnium, quæ castris solent comprehendi; modo, servata eadem figura, vel laxiorem vel angustiorem aream vallo contentam reddere, pro ratione multitudinis quæ vel denuo advenit in castra, vel ab iis discedit. Qua de re in *Tacticis* nostris *Commentariis* accuratius est explanatum. Etenim neminem hoc quidem ullo jure nobis objecturum arbitror, quod muneris imperatorii nimis multas faciamus appendices, dum ejus candidatos jubemus & Astrologiæ & Geometriæ operam dare. Imo vero, quæ supervacanea sunt, ac nonnisi osten-

Digitized by Google

Ol. 142. 1. Artes præparatoriæ.

παρελκόμενα τοῖς ἐπιτηδεύμασι, χάριν τῆς ἐν ἑκάστοις ἐπιφάσεως καὶ στωμυλίας, πολύ τι μᾶλλον ἀποδοκιμάζων, παραπλησίως δὲ καὶ τὸ ποῤῥωτέρω τοῦ πρὸς τὴν χρείαν ἀνήκοντος ἐπιτάττειν, περὶ τἀναγκαῖα φιλοτιμότατός εἰμι καὶ σπουδάζων. Καὶ γὰρ ἄτοπον, τοὺς μὲν ὀρχηστικῆς ἢ τοὺς αὐλητικῆς ἐφιεμένους, ἐπιδέχεσθαι τήν τε περὶ τοὺς ῥυθμοὺς καὶ τὰ μουσικὰ προκατασκευήν, ἔτι δὲ τὰ περὶ τὴν παλαίστραν, διὰ τὸ δοκεῖν προσδεῖσθαι τὸ τέλος ἑκατέρου τῆς τῶν προειρημένων συνεργίας· τοὺς δὲ στρατηγίας ἀντιποιουμένους ἀσχάλλειν, εἰ δέησει τῶν ἐκτὸς ἐπιτηδευμάτων μέχρι τινὸς ἀναλαβεῖν· ὥστε τοὺς περὶ τὰς βαναύσους τέχνας ἀσκοῦντας ἐμμελεστέρους εἶναι καὶ φιλοτιμοτέρους τῶν περὶ τὰ κάλλιστα καὶ σεμνότατα προαιρουμένων διαφέρειν· ὧν οὐδὲν ἂν ὁμολογήσειε νοῦν ἔχων οὐδείς.

6. φιλοτιμότατός. Vulgo φιλοτιμώτατος. Sic & v. 9. vulgo φιλοτιμωτέρους. 9. προαιρουμ. Vulgo omnes τῶν προαιρουμένων. Delendum censui articulum.

oſtentationis cauſſa, & ut ſit garriendi materia, ad artium diſciplinas forinſecus trahuntur, ea equidem ipſe potius magnopere improbo; pariterque eos, qui multo plura, quam quæ ad uſum faciunt, imperant: at, quæ ſunt neceſſaria, ea, quanto maximo ſtudio poſſum, urgeo, ac pro eis contendo. Etenim abſurdum eſt, eos quidem, qui ſaltandi arti aut tibias inflandi dant operam, rhythmorum & muſicæ ſtudiis prius inſtrui ſe curare, quin etiam palæſtræ motus addiſcere, quoniam artes illæ ſubſidio harum diſciplinarum opus habere creduntur; eos autem, qui imperatores exercituum evadere cupiunt, ægre ferre, ſi alias nonnullas artes, velut extrinſecus adſumendas, oporteat ipſos aliquatenus delibare: adeo ut, qui artes illiberales exercent, plus ad eas curæ ac ſtudii adhibeant, quam hi, qui in rebus pulcerrimis & graviſſimis præſtare ceteris propoſitum habent: quæ omnia, nemo vir eſt cordatus, qui de ſe fateatur.

Digitized by Google

οὐδείς. Καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον ἡμῖν εἰρήσθω. A.V.543.

* * *

Οἱ δὲ πλεῖστοι τῶν ἀνθρώπων ἐξ αὐτῆς τῆς περιμέτρου τεκμαίρονται τὰ μεγέθη τῶν προειρημένων. λοιπὸν, ὅταν εἴπῃ τις, τὴν μὲν τῶν Μεγαλοπολιτῶν πόλιν πεντήκοντα σταδίων ἔχειν τὸν περίβολον, τὴν δὲ τῶν Λακεδαιμονίων ὀκτὼ καὶ τετταράκοντα, τῷ δὲ μεγέθει διπλῆν εἶναι τὴν Λακεδαίμονα τῆς Μεγάλης πόλεως, ἄπιστον αὐτοῖς εἶναι δοκεῖ τὸ λεγόμενον. ἂν δὲ καὶ συναυξήσαί τις βουλόμενος τὴν ἀπορίαν εἴπῃ, ὅτι δυνατόν ἐστι, τετταράκοντα σταδίων πόλιν ἡ στρατοπεδείαν ἔχουσαν τὴν περιγραφὴν, διπλασίαν γίγνεσθαι τῆς ἑκατὸν σταδίων ἐχούσης τὴν περίμετρον, τελέως ἐκπληκτικὸν αὐτοῖς φαίνεται τὸ λεγόμενον. τούτου δ' ἐστὶν αἴτιον, ὅτι τῶν ἐν τοῖς παιδικοῖς μαθήμασι παραδιδομένων ἡμῖν διὰ τῆς γεωμετρίας οὐ μνημονεύομεν.

XXI. Sparta duplo major Megalopoli.

Ex circuitu urbis non intelligitur magnitudo.

I 4 Περὶ

XXI. 4. τούτου. τοῦτο δ' Herv. cum mss nostris.

teatur. Verum de hisce hactenus dicta sufficiant.

* * *

21. Plerique hominum *ex solo ambitu magnitudines urbium & castrorum* conjectant. Ac propterea, si quem dicentem audierint, *Lacedæmonem* patere quidem in circuitu stadia tantum octo & quadraginta, duplo vero majorem obtinere magnitudinem ejus, quam habet *Megalopolis*, cujus ambitus est stadiorum quinquaginta; dictis fidem omnem abrogant. Quod si vero augendæ admirationis caussa dicat aliquis, *posse fieri, ut vel oppidum, vel castra, spatio quadraginta stadiorum circumscripta, majora duplo sint eis quæ in circuitu stadia centum habent*, plane obstupescunt. Id autem ex eo fit, quod parum eorum meminimus, quæ inter pueriles disciplinas e Geometria doceri

Digitized by Google

Ol.142.1. Περὶ μὲν οὖν τούτων προήχθην εἰπεῖν, διὰ τὸ μὴ μό-5 νον τοὺς πολλοὺς, ἀλλὰ καὶ τῶν πολιτευομένων, καὶ τῶν ἐν ταῖς ἡγεμονείαις ἀναστρεφομένων τινὰς ἐκπλήττεσθαι, θαυμάζοντας, ποτὲ μὲν, εἰ δυνατόν ἐστι, μείζω τὴν τῶν Λακεδαιμονίων πόλιν εἶναι, καὶ πολλῷ μείζω, τῆς τῶν Μεγαλοπολιτῶν, τὸν περίβολον ἔχουσαν ἐλάττω· ποτὲ δὲ τὸ πλῆθος τῶν ἀνδρῶν6 τεκμαίρεσθαι, στοχαζομένους ἐξ αὐτῆς τῆς περιμέ-

Collibus superstructæ urbes. τρου τῶν στρατοπεδειῶν. Παραπλήσιον δέ τι καὶ7 ἕτερον ἀδίκημα συμβαίνει περὶ τὰς τῶν πόλεων ἀποφάσεις. οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων τὰς περικεκλασμένας καὶ βουνώδεις πλείους οἰκίας ὑπολαμβάνουσι κατέχεσθαι τῶν ἐπιπέδων. τὸ δ' οὐκ ἔστι τοιοῦ-8 τον, διὰ τὸ τὰς οἰκίας τῶν οἰκοδομιῶν μὴ τοῖς ἐγκλίμασι τῶν ἐδάφων, ἀλλὰ τοῖς ὑποκειμένοις ἐπιπέδοις οἰκοδομεῖσθαι πρὸς ὀρθὰς, ἐφ' ὧν καὶ τοὺς λόφους αὐτοὺς βεβηκέναι συμβαίνει. γνοίη δ' ἄν τις9

ἐκ

doceri ſolemus. Equidem, ut aliquid de his dicerem, ſum adductus, quod non rude tantum vulgus, ſed eorum etiam nonnulli qui rempublicam adminiſtrant, quive exercitus ducunt, interdum ſtupore defixi mirentur, qui poſſit fieri, ut Sparta, quæ ambitu murorum eſt minor, Megalopolim magnitudine longe ſuperet; pariterque interdum ex ſolo circuitu caſtrorum de numero hominum faciant conjecturam. Similis huic eſt & ille error, qui in pronunciando de urbibus ſolet committi. Scilicet plerique hominum arbitrantur, *urbes, tumulis & vallium anfractibus ſuperſtructas, plures domos continere iis, quarum ſuperficies plana eſt.* At id ſane ſecus habet. Nam quæ in ejusmodi locis ſtruuntur ædificia, ea ita eriguntur, non ut inclinationibus ſoli ad angulos rectos inſiſtant, ſed ſubjectæ ſuperficiei planæ, cui & colles ipſi incumbunt. Atque id quidem, quod dico,

Digitized by Google

ἐκ τοῦ φαινομένου παιδικῶς ὅπως τὸ λεγόμενον. A.V.543.
10 ἡ γὰρ νοήσαι τις εἰς ὕψος ἀνατεταμένας τὰς ἐν τοῖς κλίμασιν οἰκίας οὕτως, ὥστε πάσας ἰσοϋψεῖς ὑπάρχειν· φανερὸν, ὡς, ἑνὸς ἐπιπέδου γενομένου τοῦ κατὰ τὰ τέγη τῶν οἰκιῶν, ἴσον καὶ παραλληλον ἔσται τοῦτο τῶν τοῖς λόφοις ὑποκειμένων καὶ τοῖς τῶν τει-
11 χῶν θεμελίοις ἐπιπέδων. Περὶ μὲν οὖν τῶν ἡγεῖσθαι καὶ πολιτεύεσθαι βουλομένων, ἀγνοούντων δὲ τὰ τοιαῦτα καὶ θαυμαζόντων, ἐπὶ τοσοῦτον ἡμῖν εἰρήσθω.

VI.

BELLVM HANNIBALICVM.

Ingenium & mores Hannibalis.

Τῶν ἑκατέροις, Ῥωμαίοις φημὶ καὶ Καρχηδονίοις, Ol.142.2.
προσπιπτόντων καὶ συμβαινόντων εἰς ἣν ἀνὴρ αἴτιος A.V.544. XXII.
2 καὶ μία ψυχὴ, λέγω δὲ τὴν Ἀννίβου. τά τε γὰρ Vnus Hannibal
I 5 κατὰ ubique omnia gerit.

9. παιδικῶς ὅπως. παιδικῶς ὁμοῦ edd. cum nonnullis codicibus. Cogitaveram παιδικῶς πως.

eo, ratione quadam, quæ vel pueris manifesta est, intelligi potest. Si quis enim domos, quæ pendentibus clivis sunt superstructæ, animo fingat altius assurgentes, ita ut eamdem omnes habeant altitudinem; palam est, quemadmodum tectorum omnium una plana superficies erit, sic istam superficiem æqualem ac parallelam fore illi plano solo, cui & colles & ædificiorum fundamenta innituntur. Verum de iis quidem, qui, quum hæc talia ignorent atque mirentur, præesse tamen exercitibus & administrare rempublicam cupiunt, hæc impræsentiarum dixisse sufficiat.

VI.

Excerpt. Valesian.

22. Omnium, quæ & Romanis ac Carthaginiensibus eo tempore eveniebant, unum caput atque *una mens*, *Hannibalis* scilicet, in causa erat. Namque

Digitized by Google

Ol.142.2. κατὰ τὴν Ἰταλίαν ὁμολογουμένως οὗτος ἦν ὁ χειρίζων, τά τε κατὰ τὴν Ἰβηρίαν διὰ τοῦ πρεσβυτέρου τῶν ἀδελφῶν Ἀσδρούβου, μετὰ δὲ ταῦτα διὰ τοῦ πρεσβύτου Μάγωνος. οἱ γὰρ τοὺς τῶν Ῥωμαίων 3 στρατηγοὺς ἀποκτείναντες ἅμα κατὰ τὴν Ἰβηρίαν ἦσαν οὗτοι. Καὶ μὴν τά κατὰ τὴν Σικελίαν ἔπρατ- 4 τε, τὰς μὲν ἀρχὰς, διὰ τοὺς περὶ τὸν Ἱπποκράτην, ὕστερον δὲ διὰ Μυττόνου τοῦ Λίβυος. ὁμοίως δὲ 5 καὶ κατὰ τὴν Ἑλλάδα καὶ τὴν Ἰλλυρίδα· καὶ τὸν ἀπὸ τούτων τῶν τόπων φόβον ἀνατεινόμενος ἐξέπληττε καὶ περιέσπα Ῥωμαίους διὰ τῆς πρὸς Φίλιππον κοινοπραγίας. Οὕτω μέγα τι χρῆμα καὶ 6 θαυμάσιον, ἀνὴρ καὶ ψυχὴ δεόντως ἁρμοσθεῖσα κατὰ τὴν ἐξαρχῆς σύστασιν πρὸς ὅ τι ἂν ὁρμήσῃ τῶν ἀνθρωπίνων ἔργων. Ἐπεὶ δ' ἡ πραγμάτων διάθε- 7 σις εἰς ἐπίστασιν ἡμᾶς ἦχε περὶ τῆς Ἀννίβου φύσεως, ἀπαιτεῖν ὁ καιρὸς δοκεῖ μοι, τὰς μάλιστα διαπορου-

Dissentiunt auctores de ingenio Hannibalis.

XXII. 2. πρεσβύτου Μάγ. πρεσβευτοῦ *suspicatus est* Gron. *Imo* νεωτέρου *malim.* 7. ἦχε *ex conject. scripsi, pro vulgato* εἶχε.

Namque in Italia quidem, ut inter omnes constat, ipse omnia gerebat; Hispaniam vero per seniorem e fratribus *Hasdrubalem*, ac deinde per *Magonem* [majorem] administrabat: ab his enim ambo prætores Romani in Hispania cæsi fuere. Præterea in Sicilia res regebat, prius quidem *Hippocratis*, deinde *Myttoni* Afri ministerio; pariterque in Græcia ac per Illyricum, quibus ex locis formidinem intentans ob societatem cum Philippo initam, terrebat ac distinebat Romanos. Tantum in omnibus rebus, quas aggredi placuerit, valet unius hominis mens, ad consilium semel captum probe adplicata atque intenta. Sed quoniam ipse rerum status ad notandum *Hannibalis ingenium* nos perpulit; haudquaquam alienum fuerit, meo quidem judicio, singularia quædam

Digitized by Google

8 πορουμένας ἰδιότητας ὑπὲρ αὐτοῦ δηλῶσαι. Τινὲς A.V.544.
μὲν γὰρ ὠμὸν αὐτὸν οἴονται γεγονέναι καθ' ὑπερβολήν, τινὲς δὲ φιλάργυρον. τὸ δ' ἀληθὲς εἰπεῖν ὑπὲρ αὐτοῦ καὶ τῶν ἐν πράγμασιν ἀναστρεφομένων, οὐ ῥᾴδιον. ἔνιοι μὲν γὰρ ἐλέγχεσθαί φασι τὰς φύσεις ὑπὸ τῶν περιστάσεων, καὶ τοὺς μὲν ἐν ταῖς ἐξουσίαις καταφανεῖς γίγνεσθαι, κἂν ὅλως τὸν πρὸ τοῦ χρόνον ἀναστέλλωνται, τοὺς δὲ πάλιν ἐν ταῖς ἀτυ-
10 χίαις. Ἐμοὶ δ' ἐμπαλιν οὐχ ὑγιὲς εἶναι δοκεῖ τὸ λεγόμενον. οὐ γὰρ ὀλίγα μοι φαίνονται, τὰ δὲ πλεῖ- Multa
στα, ποτὲ μὲν διὰ τὰς τῶν φίλων παραθέσεις, contra in-
ποτὲ δὲ διὰ τὰς τῶν πραγμάτων ποικιλίας, ἄν- fuum fa-
θρωποι παρὰ τὴν ἑαυτῶν προαίρεσιν ἀναγκάζεσθαι mines.
καὶ λέγειν καὶ πράττειν.

Γνοίη δ' ἄν τις ἐπὶ πολλῶν τῶν ἤδη γεγονότων, XXIII.
2 ἐπιστήσας. Τίς γὰρ Ἀγαθοκλέα τὸν Σικελίας τύ- Agatho-
cles.

ραννον

8. καὶ τῶν ἐν πρ. καὶ καθόλου τῶν ἐν πράγμ. malim cum Reisk.

quædam in illo homine, de quibus maxime alii aliter sentiunt, declarare. Sunt enim, qui existimant, *crudelissimum eum fuisse;* sunt, qui *avaritiæ deditum.* Ceterum cum in ipso, tum in omnibus, qui in rebus gerendis versantur, veritatem plane assequi difficile est. Etenim nonnulli animum uniuscujusque ex fortuna ac temporibus maxime deprehendi ajunt, atque hos quidem in imperio ac potestate, illos in calamitatibus ingenium suum prodere, quantumvis antea texerint. Mihi vero non usquequaque verum esse hoc, quod dicunt, videtur. Qui enim magnas res tractant, nunc amicorum hortatu, nunc ob varietates temporum ac casuum, plurima contra suum institutum & dicere & facere coguntur.

23. Atque id quidem ita esse, in multis ex superiori memoria, si quis animum adjecerit, facile deprehendet. Quis est enim, qui nesciat, *Agathoclem* Siciliæ tyran-

Digitized by Google

Ol. 142. 2. ραννον οὐχ ἱστόρηκε, διότι, δόξας ὠμότατος εἶναι κατὰ τὰς πρώτας ἐπιβολὰς καὶ τὴν κατασκευὴν τῆς δυναστείας, μετὰ ταῦτα, νομίσας βεβαίως ἐνδεδέσθαι τὴν Σικελιωτῶν ἀρχὴν, πάντων ἡμερώτατος δοκεῖ γεγονέναι καὶ πραότατος. Ἔτι δὲ Κλεο-
Cleomenes. μένης, ὁ Σπαρτιάτης, οὐ χρηστότατος μὲν βασιλεὺς, πικρότατος δὲ τύραννος, εὐτραπελώτατος δὲ πάλιν ἰδιώτης καὶ φιλανθρωπότατος; Καί τοι γοῦν οὐκ εἰκὸς ἦν, περὶ τὰς αὐτὰς φύσεις τὰς ἐναντιωτάτας διαθέσεις ὑπάρχειν· ἀλλ' ἀναγκαζόμενοι τοῖς τῶν πραγμάτων μεταβολαῖς συμμετατίθεσθαι, τὴν ἐναντίαν τῇ φύσει πολλάκις ἐμφαίνουσι διάθεσιν ἔνιοι τῶν δυνατῶν πρὸς τοὺς ἐκτός· ὥστε μὴ οἷον ἐλέγχεσθαι τὰς φύσεις διὰ τούτων, τὸ δ' ἐναντίον ἐπισκοτεῖσθαι μᾶλλον. Τὸ δ' αὐτὸ καὶ διὰ τὰς τῶν φίλων παραθέσεις εἴωθε συμβαίνειν οὐ μόνον ἡγεμόσι καὶ δυνάσταις καὶ βασιλεῦσιν, ἀλλὰ καὶ
Athenienſes. πόλεσιν. Ἀθηναίων γοῦν εὕροι τις ἂν ὀλίγα μὲν τὰ

tyrannum, cum inter initia conſtituendæ dominationis ſæviſſimus eſſet habitus, poſteaquam ſatis confirmatam eam eſſe exiſtimavit, omnium clementiſſimum & mitiſſimum eſſe viſum? Quid Spartanus *Cleomenes?* Nonne idem rex optimus, tyrannus autem acerbiſſimus, rurſus idem, cum privatus eſſet, jucundiſſimus ac beneficentiſſimus? Et tamen haud credibile eſt, in eadem natura adeo inter ſe contrarias ineſſe conſtitutiones. Sed revera plerique principes, pro inclinationibus ac mutationibus temporum flectere ſe ac convertere coacti, ſæpe numero longe diverſum ab ingenio ſuo inſtitutum foris oſtendunt: quare tantum abeſt, ut hujusmodi factis eorum animus prodatur, quin potius absconditur. Idem vero etiam per amicorum ſuggeſtiones accidere ſolet non ſolum imperatoribus ac principibus & regibus, verum etiam urbibus. Ab *Athenienſibus* certe

τὰ πικρὰ, πλεῖστα δὲ τὰ χρηστὰ καὶ σεμνὰ, τῆς A.V.544.
πολιτείας Ἀριστείδου καὶ Περικλέους προεστώτων·
7 Κλέωνος δὲ καὶ Χάρητος, τἀναντία. Λακεδαιμονίων Lacedæ-
ἡγουμένων τῆς Ἑλλάδος, ὅσα μὲν διὰ Κλεομβρότου monii.
τοῦ βασιλέως πράττοιτο, πάντα συμμαχικὴν εἶχε
8 τὴν αἵρεσιν· ὅσα δὲ δι' Ἀγησιλάου, τοὐναντίον. ὥστε
καὶ τὰ τῶν πόλεων ἔθη ταῖς τῶν προεστώτων δια-
9 φοραῖς συμμεταπίπτειν. Φίλιππος δὲ ὁ βασιλεὺς, Philip-
ὅτε μὲν Ταυρίων ἦ Δημήτριος αὐτῷ συμπράττοιεν, pus.
ἦν ἀσεβέστατος· ὅτε δὲ πάλιν Ἄρατος ἦ Χρυσόγο-
νος, ἡμερώτατος.

Παραπλήσια δέ μοι δοκεῖ τούτοις καὶ τὰ κατ' XXIV.
2 Ἀννίβαν γεγονέναι. καὶ γὰρ περιστάσεσι παραδό- Annibal
ξοις καὶ ποικίλαις ἐχρήσατο, καὶ φίλοις τοῖς ἔγγι- varius,
στα μεγάλας ἐσχηκόσι διαφοράς, ὥστε καὶ λίαν pro varie-
ἐκ τῶν κατ' Ἰταλίαν πράξεων δυσθεώρητον εἶναι τὴν tate tem-
3 τοῦ προαιρημένου φύσιν. Τὰς μὲν οὖν τῶν περιστά- porum

σεων

certe pauca admodum reperias acerbe facta, plurima vero benigne ac graviter, quamdiu *Aristides* & *Pericles* reipublicæ præfuerunt: at alia omnia, dum *Cleo* & *Chares* civitatis principes fuere. *Lacedæmoniis* Græciæ principatum tenentibus, quæcunque rex *Cleombrotus* gessit, cuncta ex sociali consilio sunt profecta: quæ vero sunt ab *Agesilao* gesta, contrariam rationem habent. Adeo civitatum etiam ingenia pro varietate ducum immutantur. Rex item *Philippus*, quoties *Taurione* ac *Demetrio* ministris utebatur, pessimus erat: quoties vero ex *Arati* aut *Chrysogoni* consilio agebat, clementissimus.

24. Atque idem fere *Hannibali* contigisse existimo. Nam & varios atque inopinos casus est expertus, & amicorum contraria prorsus indole præditorum consuetudine usus est: adeo ut ex his, quæ in Italia gessit, difficillimum sit viri illius ingenium perspicere. Ac temporum quidem difficultates

Ol. 142. 2. & amicorum.

σεων ὑποβολὰς εὐχερὲς καὶ διὰ τῶν μετὰ ταῦτα ῥηθησομένων καταμαθεῖν· τὰς δὲ τῶν φίλων οὐκ ἄξιον παραλιπεῖν, ἄλλως τε, καὶ διὰ μιᾶς γνώμης ἱκανὴν τοῦ πράγματος ἔμφασιν λαβόντος. Καθ' ὃν γὰρ καιρὸν Ἀννίβας ἐξ Ἰβηρίας τὴν εἰς Ἰταλίαν περείαν ἐπενόει στέλλεσθαι μετὰ τῶν δυνάμεων, μεγίστης προφαινομένης δυσχρηστίας περὶ τὰς τροφὰς καὶ τὴν ἑτοιμότητα τῶν ἐπιτηδείων τοῖς στρατοπέδοις, ἅτε καὶ κατὰ τὸ μῆκος ἀνήνυτον ἔχειν τι δοκούσης τῆς ὁδοῦ, καὶ κατὰ τὸ πλῆθος καὶ τὴν ἀγριότητα τῶν μεταξὺ κατοικούντων Βαρβάρων· τότε δοκεῖ, καὶ πλεοναάκις ἐν τῷ συνεδρίῳ περὶ τούτου τοῦ μέρους ἐμπιπτούσης ἀπορίας, εἷς τῶν φίλων, Ἀννίβας ὁ Μονομάχος ἐπικαλούμενος, ἀποφήνασθαι γνώμην, διότι μία τις ὁδὸς αὐτῷ προφαίνεται, δι' ἧς ἔστιν εἰς Ἰταλίαν ἐλθεῖν ἐφικτόν. τοῦ δ' Ἀννίβου λέγειν

Hannibal cogn. Monomachus.

XXIV. 3. *ὑποβολὰς ex conject. posui, pro vulgato* ὑπερβολὰς. Ibid. λαβόντος. *Et hoc ex nostra est conjectura. Vulgo* λαβεῖν, *hiante oratione; unde Valesius, asterisco post* μιᾶς γνώμης *posito, verbum* ἐξὸν *ibi deesse monuerat.*

tates quid suaserint Hannibali, facile etiam ex his, quæ deinde dicentur, intelligere licebit: amicorum autem consilia non sunt prætereunda, præsertim quum vel ex uno verbo, quod pro sententia aliquando dictum est, satis id, quod volo, apparere possit. Etenim quo tempore *Hannibal* cum copiis in Italiam trajicere cogitabat, cum maxima difficultas sese objiceret in annona & commeatibus ad alendum militem comparandis; (quippe & ipsa itineris magnitudo, atque occurrentium barbarorum numerus ac ferocitas, prope inexplicabilem difficultatem afferebat:) re sæpius in medium proposita, cunctisque e concilio varie ambigentibus, unus ex Hannibalis amicis, *Hannibal* cognomento *Monomachus*, hanc sententiam dixisse fertur; *unicam sibi viam videri, qua in Italiam perveniri possit.* Rogante vero

Digitized by Google

λέγειν κελεύσαντος, διδάξαι δεῖν, ἔφη, τοὺς δυνά- A.V.544.
μεις ἀνθρωποφαγεῖν, καὶ τούτῳ ποιῆσαι συνήθεις. * fævorum consiliorum auctor.
7 Ἀννίβας δὲ πρὸς μὲν τὸ τόλμημα καὶ τὸ πρακτι-
κὸν τῆς ἐπινοίας οὐδὲν ἀντειπεῖν ἐδυνήθη· τοῦ δὲ
πράγματος λαβεῖν ἔννοιαν, οὐδ' αὐτὸν, οὔτε τοὺς
8 φίλους ἐδύνατο πεῖσαι. Τούτου δὲ τἀνδρὸς εἶναί φα-
σιν ἔργα καὶ τὰ κατὰ τὴν Ἰταλίαν εἰς Ἀννίβαν
ἀναφερόμενα περὶ τῆς ὠμότητος· οὐχ ἧττον δὲ καὶ
τῶν περιστάσεων.

Φιλάργυρός γε μὴν δοκεῖ γεγονέναι διαφερόντως, XXV.
Avaritiæ accusatur Hannibal.
καὶ φίλῳ χρῆσθαι Φιλαργύρῳ, Μάγωνι, τῷ τὰ κα-
2 τὰ τὴν Βρεττίαν χειρίζοντι. Ταύτην δὲ τὴν ἱστο-
ρίαν ἐγὼ παρέλαβον μὲν καὶ παρ' αὐτῶν Καρχηδο-
3 νίων. Ἐπιχώριοι γὰρ οὐ μόνον τὰς τῶν ἀνέμων
στάσεις, κατὰ τὴν παροιμίαν, ἀλλὰ καὶ τὰ τῶν ἐγ-
χωρίων

6. *Post* συνήθεις, *ubi* asteriscum *interposui*, *vulgo ex Cod. Peiresc. inserta leguntur hæc verba*: Ζήτει τὰ λοιπὰ ἐν τῷ περὶ Στρατηγημάτων. *Nihil tamen in Contextu videtur desiderari.*

XXV. 1. τῷ τὰ κατὰ. *Abest vulgo articulus* τὰ. 2. Ταύτην δὲ τὴν ἱστορίαν. *Ante hæc verba intercidisse narrationem aliquam, suspicatus est Reiskius.*

vero Hannibale, eam ut aperiret; *ad esum*, inquit, *humanæ carnis militem condocefaciendum esse*. At Hannibal tum quidem ad hujus consilii audaciam & efficaciam nihil habuit, quod opponeret: sed, ut rei ipsius periculum faceret, neque ipse, neque amicorum quisquam in animum inducere potuit. Hujus autem *Monomachi* cuncta illa facinora esse dicuntur, quæ sunt in Italia *crudeliter gesta*, & quæ Hannibali vulgo tribuuntur: sed eorumdem facinorum non minima pars casibus etiam ac temporibus accepta referri debet.

25. Porro vero *avarus Hannibal* supra modum fuisse videtur, atque amico avaro *Magone* usus esse, qui res in Bruttiis administravit. Atque hanc ego rem cum ab ipsis Carthaginiensibus accepi; (*indigenæ* enim non modo *ventorum stationes*, ut proverbio dicitur, sed & popularium

Digitized by Google

Ol. 142. 2. χωρίων ἀνθρώπων ἤθη κάλλιστα γινώσκουσιν. ἔτι δὲ Μασσανάσσου ἀκριβέστερον διήκουσα, φέροντος ἀπολογισμοὺς, καθόλου μὲν περὶ πάντων Καρχηδονίων, μάλιστα δὲ περὶ τῆς Ἀννίβου καὶ Μάγωνος, τοῦ Σαυνίτου προσαγορευομένου, φιλαργυρίας. πρὸς γὰρ τοῖς ἄλλοις ἔφη γενναιότατα κεκινωνηκότας ἑαυτοῖς πραγμάτων τοὺς προειρημένους ἀπὸ τῆς πρώτης ἡλικίας, καὶ πολλὰς μὲν πόλεις κατ' Ἰβηρίαν, πολλὰς δὲ κατὰ τὴν Ἰταλίαν εἰληφότας ἑκατέρους, τὰς μὲν κατὰ κράτος, τὰς δὲ ἐκ παραδόσεως, οὐδέποτε μετεσχηκέναι τῆς αὐτῆς πράξεως ἀλλήλοις· ἀλλὰ ἀεὶ μᾶλλον ἑαυτοὺς ἢ τοὺς πολεμίους στρατηγεῖν, χάριν τοῦ μὴ συμπαρεῖναι θάτερον θατέρῳ πόλεως καταλαμβανομένης, ἵνα μήτε διαφέρωνται πρὸς σφᾶς ἐκ τῶν τοιούτων, μήτε μερίζωνται τὸ λυσιτελὲς, ἐφαμίλλου τῆς ὑπεροχῆς αὐτῶν ὑπαρχούσης.

Mago Samnis, avarus.

Πλὴν

5. πρὸς γὰρ τοῖς ἄλλοις, inter cetera enim: *ſic Valeſius. Immo vero* πρὸς γὰρ τοὺς ἄλλους, adverſus alios. Ibid. πράξεως ἀλλήλοις. *Correxi vulgatum* ἀλλήλους. 6. στρατηγεῖν. κατασστρατηγεῖν *ſuſpicatus eſt Valeſius. Si quid mutandum,* παρατηρεῖν *malim.*

pularium hominum mores *optime norunt*) tum a *Maſiniſſa* diſtinctius didici. Is in genere de omnium Pœnorum, ſed maxime *de Hannibalis ac Magonis*, cognomento *Samnitis*, *avaritia* argumenta afferebat. *Præclictos enim viros*, ajebat, *quum ab ineunte ætate, adverſus alios quidem, junctis ſtudioſiſſime conſiliis geſſerint res, ac multas urbes cum in Hiſpania, tum in Italia, partim vi, partim deditione, ceperint, numquam tamen in ejusdem facti ſocietatem ambos ſimul veniſſe; ſed ſibi invicem magis ſemper, quam hoſtibus, inſidiatos eſſe, ne umquam in expugnatione alicujus oppidi alter una cum altero adeſſet, ne qua inter ipſos diſſenſio ex hujusmodi rebus oriretur, neve prædam ac lucrum partiri opus eſſet, cum amborum æqualis foret dignitas.*

26. At

Πλὴν ὅτι γε καὶ τὴν Ἀννίβου φύσιν οὐ μόνον ἡ A.V.544. XXVI. Receptâ a Romanis Capuâ,
τῶν φίλων παράθεσις, ἔτι δὲ μᾶλλον ἡ τῶν πραγ-
μάτων περίστασις ἐβιάζετο καὶ μετετίθετο πολλά-
κις, ἔκ τε τῶν προειρημένων καὶ τῶν λέγεσθαι μελόν-
των ἔστι φανερόν. Ἅμα γὰρ τῷ γενέσθαι τὴν Κα-
πύην τοῖς Ῥωμαίοις ὑποχείριον, εὐθέως ἦσαν, ὅπερ
εἰκὸς, αἱ πόλεις μετέωροι, καὶ περιέβλεπον ἀφορ-
μὰς καὶ προφάσεις τῆς πρὸς Ῥωμαίους μεταβολῆς.
ὅτε δὴ καὶ δοκεῖ μάλιστα δυσχρηστηθεὶς Ἀννίβας
εἰς ἀπορίαν ἐμπεσεῖν ὑπὲρ τῶν ἐνεστώτων. οὔτε γὰρ
τηρεῖν τὰς πόλεις πάσας πολὺ διεστώσας ἀλλήλων
δυνατὸς ἦν, καθίσας εἰς ἕνα τόπον, τῶν πολεμίων
καὶ πλείοσι στρατοπέδοις ἀντιπαρατεταγότων· οὔτε
διαιρεῖν εἰς πολλὰ μέρη τὴν αὐτοῦ δύναμιν εἰός τ' ἦν.
εὐχείρωτος γὰρ ἔμελλε τοῖς ἐχθροῖς ὑπάρξειν, καὶ
διὰ τὸ λείπεσθαι τῷ πλήθει, καὶ διὰ τὸ μὴ δύνασθαι
πᾶσιν αὐτὸς συμπαρεῖναι. Διόπερ ἠναγκάζετο,
τὰς

XXVI. 3. *δυσχρηστηθεὶς monente Valesio posui pro vulgato* δυσχρη-
σθεὶς. 5. *πᾶσιν αὐτὸς Reiskio debeo. Vulgo male* αὐτοῖς.

26. At vero, non solum amicorum suggestionibus, sed magis etiam *rerum atque temporum ratione* sæpe coactum & *mutatum* fuisse *Hannibalis ingenium*, cum ex supra dictis, tum ex his, quæ deinceps prosequemur, clarissimum fit. Postquam enim *Capua* a Romanis in ditionem redacta est; statim cunctæ civitates, animis, ut solet, suspensæ, occasiones causasque ad Romanos deficiendi circumspiciebant. Quo tempore *Hannibal* de præsenti rerum statu ambigens, maximis difficultatibus conflictatus fuisse videtur. Nam neque universas civitates procul inter se dissitas continere poterat, ipse uno in loco sedens, hoste pluribus exercitibus contra ipsum utente: neque in plures partes distribuere & carpere copias suas poterat; ne hosti facilem victoriam præberet, cum & numero inferior esset, neque ibi ubique adesse posset. Quare cogebatur, alias quidem civitates

Ol. 142. 2. cogitur Hannibal, multa durius facere.

τὰς μὲν προδήλως ἐγκαταλείπειν τῶν πόλεων, ἐξ ὧν δὲ τὰς φρουρὰς ἐξάγειν· ἀγωνιῶν, μὴ κατὰ τὰς μεταβολὰς τῶν πραγμάτων συγκαταφθείρῃ τοὺς ἰδίους στρατιώτας. ἐνίας δὲ καὶ παρασπονδῆσαι ὑπέμεινε, μετανιστὰς εἰς ἄλλας πόλεις, καὶ ποιῶν ἀναρπάστους αὐτῶν τοὺς βίους. Ἐξ ὧν προσκόπτοντες, οἱ μὲν ἀσέβειαν, οἱ δ' ὠμότητα κατεγίνωσκον. καὶ γὰρ ἁρπαγὴ χρημάτων ἅμα τοῖς προειρημένοις, καὶ φόνοι, καὶ βίαιοι προφάσεις ἐγίγνοντο, διά τε τῶν ἐξιόντων καὶ διὰ τῶν εἰσιόντων στρατιωτῶν εἰς τὰς πόλεις· ἑκάστων ὑπειληφότων, ὅσον οὐκ ἤδη τοὺς ὑπολειπομένους μεταβαλεῖσθαι πρὸς τοὺς ὑπεναντίους. Ἐξ ὧν καὶ λίαν δυσχερὲς, ἀποφήνασθαι περὶ τῆς Ἀννίβου φύσεως, διά τε τὴν τῶν φίλων παράθεσιν, καὶ τὴν τῶν πραγμάτων περίστασιν. κρατεῖ γε μὴν ἡ φήμη παρὰ μὲν Καρχηδονίοις, ὡς φιλαργύρου· παρὰ δὲ Ῥωμαίοις, ὡς ὠμοῦ γενομένου αὐτοῦ. VII.

6. συγκαταφθείρῃ *cum eodem Reisk. scripsi, pro vulgato* συγκαταφθερῇ. 7. ἐνίας δὲ. δὲ *ex conject. scripsi.* γὰρ *edidit Vales. &* γοῦν *praetulit in Notis.* δὰς *ait fuisse in msto.*

vitates aperte derelinquere, ex aliis vero præsidium educere, veritus, ne, si novas res molirentur cives, milites simul suos perderet. Quin etiam nonnullas contra fœdera violare sustinuit, transductis in alias urbes civibus, atque eorum opibus in prædam concessis. Ex quibus cum in offensionem plurium veniisset, alii impietatem, alii crudelitatem ei objiciebant. Nam præter illa, quæ modo memoravi, direptiones bonorum, & væ-

des, & violentæ calumniæ ab egredientibus & ingredientibus in urbes militibus exercebantur; cum singuli existimarent, relictos propediem ad Romanorum partes defecturos esse. Quamobrem difficile admodum est, de *Hannibalis* ingenio aliquid affirmare, cum ob amicorum suggestiones, tum ob temporum & casuum varietatem. Fama tamen obtinuit apud Carthaginienses, *avarum;* apud Romanos vero, *crudelem eum fuisse.* VII.

Digitized by Google

VII.

A.V. 544.

RES SICVLAE.

Agrigentum Romanis traditum.

Ἡ δὲ τῶν Ἀκραγαντίνων πόλις οὐ μόνον κατὰ τὰ XXVII. Situs & præstantia Agrigenti.
περιειρημένα διαφέρει τῶν πλείστων πόλεων, ἀλλὰ καὶ κατὰ τὴν ὀχυρότητα, καὶ μάλιστα κατὰ τὸ κάλλος καὶ τὴν κατασκευήν. Ἔκτισται μὲν γὰρ ἀπὸ θαλάττης ἐν ὀκτωκαίδεκα σταδίοις, ὥστε μηδενὸς ἀμοίρους εἶναι τῶν ἐκ ταύτης χρησίμων. Ὁ δὲ περίβολος αὐτῆς καὶ φύσει καὶ κατασκευῇ διαφερόντως ἠσφάλισται. κεῖται γὰρ τὸ τεῖχος ἐπὶ πέτρας ἀκροτόμου, καὶ περιῤῥῶγος, ἣ μὲν αὐτοφυῶς, ἣ δὲ χειροποιήτου· περιέχεται δὲ ποταμοῖς. ῥεῖ γὰρ Agrigentus fluv.
αὐτῆς παρὰ μὲν τὴν νότιον πλευρὰν ὁ συνώνυμος τῇ πόλει, παρὰ δὲ τὴν ἐπὶ τὰς δύσεις καὶ τὸν λίβα τετραμμένην ὁ προσαγορευόμενος Ὕψας. ἡ δ' ἄκρα Hypsas fl.

XXVII. 4. αὐτοφυῶς ex Vrb. edidit Castalio. cum quo faciunt Aug. & Regii. αὐτοφυοῦς ex Herv. restituit Gronov. pro quo est Med.

VII.

Excerpt. antiq. ex Lib. IX. *Cap.* 21.

27. AGRIGENTVM non ob ea dumtaxat, quæ ante diximus, sed etiam propter munitionum firmitatem, & propter pulcritudinem ac magnificentiam plerisque præstat urbibus. Nam quum sit conditum stadia decem & octo a mari, omnia ei abunde suppetunt commoda, quæ mare solet afferre. Ambitus vero ejus, cum natura, tum arte, egregie est munitus. Superstructus enim est murus petræ durissimæ, ac partim natura partim industria hominum undique præruptæ: cingitur autem fluviis. Australe namque latus amnis præterfluit ejusdem cum urbe nominis: occidenti soli & Africo oppositam partem alluit qui nominatur *Hypsas*. Qua vero ortum

Ol. 142. 2. τῆς πόλεως ὑπέρκειται κατ' αὐτὰς τὰς θερινὰς ἀνατολὰς· καταὶ μὲν τὴν ἔξωθεν ἐπιφάνειαν ἀπροσίτῳ φάραγγι περιεχομένη, κατὰ δὲ τὴν ἐντὸς μίαν ἔχουσα πρόσοδον ἐκ τῆς πόλεως. ἐπὶ δὲ τῆς κορυ-7 φῆς Ἀθηνᾶς ἱερὸν ἔκτισται, καὶ Διὸς Ἀταβυρίου, καθάπερ καὶ παρὰ Ῥοδίοις. τοῦ γὰρ Ἀκράγαντος 8 ὑπὸ Ῥοδίων ἀποικισμένου, εἰκότως ὁ θεὸς οὗτος τὴν αὐτὴν ἔχει προσηγορίαν, ἣν καὶ παρὰ τοῖς Ῥοδίοις. κεκόσμηται δὲ καὶ τἆλλα μεγαλοπρεπῶς ἡ πόλις, 9 ναοῖς καὶ στοαῖς. καὶ ὁ τοῦ Διὸς τοῦ Ὀλυμπίου νεὼς συντέλειαν μὲν οὐκ εἴληφε· κατὰ δὲ τὴν ἐπιβολὴν καὶ τὸ μέγεθος οὐδ' ὁποίου τῶν κατὰ τὴν Ἑλλάδα δοκεῖ λείπεσθαι.

Templum Iovis Atabyrii. Agrig. colonia Rhodiorum.

✻ ✻ ✻

Agathyrnenses

Ἀγάθυρνα, πόλις Σικελίας, ὡς Πολύβιος ἐν-10 νάτῃ.

Ὁ δὲ

9. συντέλειαν. *Vulgo* πολυτέλειαν. Ibid. ὁποίου. ὁποίου οὖν *Casaub.* 10. Ἀγάθυρνα. *Sic Valesius cum aliis correxit: sed* Ἀγάθυρσα *ex mstis editur apud Steph. Byz.*

ortum solis æstivum urbs respicit, imminet arx; quæ ab exteriori parte voragine alta atque inaccessa circumdatur, ab altera vero parte venientes ex urbe uno tantum aditu admittit. In summo vertice Minervæ ædes visitur, & *Iovis Atabyrii*, sicut apud Rhodios. Nam quum *Rhodiorum colonia* sit *Agrigentum*, jure merito hic deus eodem nomine colitur, atque apud Rhodios. Cetera & aliis templis atque porticibus magnifice decorata urbs est: & Olympii Iovis templum absolutum quidem non est; sed magnitudine tamen incepti & amplitudine nulli ex omnibus Græciæ operibus secundum esse videtur.

✻ ✻ ✻

Agathyrna, oppidum Siciliæ; ut Polybius Libro IX. (*Stephanus Byz.*)

Marcus

Digitized by Google

A.V.544.

11 Ὁ δὲ Μάρκος, δοὺς πίστεις ὑπὲρ ἀσφαλείας, ἔπεισεν αὐτοὺς ἐκχωρεῖν εἰς Ἰταλίαν, ἐφ' ᾧ, λαμβάνοντας μέτρημα παρὰ τῶν Ῥηγίνων, πορθεῖν τὴν Βρεττιανήν, κυρίους ὄντας ὧν ἂν ἐκ τῆς πολεμίας ὠφεληθῶσι. in Italiam translocantur.

VIII.

RES GRAECORVM.

(I.) *Legatio Aetolorum ad Lacedæmonios contra Philippum, & Acarnanum ad eosdem pro Philippo.*

XXVIII. Chlæneas Aetoli Oratio ad Lacedæmonios.

„Ὅτι μὲν οὖν, ὦ ἄνδρες Λακεδαιμόνιοι, τὴν Μακεδόνων δυναστείαν ἀρχὴν συνέβη γεγονέναι τοῖς Ἕλλησι δουλείας, οὐδ' ἄλλως εἰπεῖν οὐδένα πέπεισμαι τολμῆσαι· σκοπεῖν δ' οὕτως ἔξεστιν. Ἤν τι σύστημα τῶν

K 3

XXVIII. 1. *Μακεδόνων cum Vrsino correxit Casaub. cum mendose Λακεδαιμόνων esset apud Herv. & in codd. omnibus.*

Marcus (Valerius Lævinus,) fide salutis data, eis persuasit, ut in Italiam trajicerent, ea conditione, ut, stipendio a *Rheginis* accepto, popularentur *Bruttium* agrum, & quamcumque ex hostili agro prædam facerent, eam jure dominii possiderent. (*Suidas in ἐφ' ᾧ.*)

VIII.

(I.) *Excerpt. antiq. ex Lib.* IX. *cap.* 22-33.

28. *Equidem persuasus sum, viri Lacedæmonii, fore neminem, qui negare ausit, Macedonum imperium Græcis civitatibus causſam & principium exſtitiſſe ſervitutis. Id vero ita poteſt intelligi. Erat olim inter Græcos,*

Digitized by Google

Ol. 142. 2. Oratio ad Lacedæmonios pro Aetolis,

„τῶν ἐπὶ Θρᾴκης Ἑλλήνων, οὓς ἀπῴκισαν Ἀθηναῖοι καὶ Χαλκιδεῖς, ὧν μέγιστον εἶχε πρόσχημα καὶ δύ- 2
ναμιν ἡ τῶν Ὀλυνθίων πόλις. Ταύτην ἐξανδραπο- 3
δισάμενος Φίλιππος, καὶ παράδειγμα ποιήσας, οὐ μόνον τῶν ἐπὶ Θρᾴκης πόλεων ἐγένετο κύριος, ἀλλὰ καὶ Θετταλοὺς ὑφ' αὑτὸν ἐποιήσατο διὰ τὸν φόβον. Μετ' οὐ πολὺ δὲ μάχῃ νικήσας τοὺς Ἀθηναίους, 4
ἐχρήσατο μεγαλοψύχως τοῖς εὐτυχήμασιν, οὐχ ὅπως Ἀθηναίους εὖ ποιήσῃ, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἵνα διὰ τῆς πρὸς ἐκείνους εὐεργεσίας προκαλέσηται τοὺς ἄλλους εἰς τὸ ποιεῖν ἐθελοντὴν αὐτῷ τὸ προστατούμενον. Ἦν ἔτι τὸ τῆς ὑμετέρας πόλεως ἀξίω- 5
μα, δικοῦν ἂν σὺν καιρῷ προστήσεσθαι τῶν Ἑλλήνων. τοιγαροῦν πᾶσαν ἱκανὴν ποιησάμενος πρόφασιν, ἦκε 6
μετὰ τῶν δυνάμεων, καὶ κατέφθειρε μὲν τέμνων τὴν γῆν, κατέφθειρε δ' αὐτῶν τὰς οἰκίας. τὸ δὲ τελευ- 7
τῶν,

6. κατέφθειρε δ' αὖ καὶ τὰς οἰκίας edidit Casaub. invitis mstis.

cos, qui Thraciam colebant, corpus veluti quoddam coloniarum, ab Athenienſibus & Chalcidenſibus eo deductarum; inter quas & ſplendoris & potentiæ plurimum urbs Olynthiorum obtinuit. Hanc Philippus quum in ſervitutem redegiſſet, & in exemplum timendi ceteris ſtatuiſſet; non ſolum Thracenſium Græcorum oppidis eſt potitus, ſed etiam Theſſalos metu conſternatos poteſtati ſuæ ſubjecit. Non multo poſt, ſuperatis in acie Athenienſibus, victoria ille quidem magno animo & moderate eſt uſus; non ſane, quod vellis ex animo bene vellet, nam ab ea quidem mente plurimum aberat; verum, ut beneficiis, quæ in Athenienſes conferret, alios alliceret, ut imperium ſuum ultro acciperent. Manebat adhuc civitati veſtræ ſua auctoritas, quæ, ſi offerretur occaſio, populorum Græciæ patrocinium videbatur ſuſceptura. Idcirco Philippus, quamlibet levem occaſionem ſatis juſtam belli cauſſam eſſe ratus, cum copiis in fines veſtros venit, agros devaſtat, domos veſtras evertit: poſtremo, quum oppida

„τεῖον, ἀποτεμόμενος καὶ τὰς πόλεις καὶ τὴν χώ- A.V.544.
ραν ὑμῶν, προσένειμε τὴν μὲν Ἀργείοις, τὴν δὲ Te- adversus
γεάταις καὶ Μεγαλοπολίταις, τὴν δὲ Μεσσηνίοις· Macedo-
ἅπαντας βουλόμενος καὶ παρὰ τὸ προσῆκον εὐερ- nes.
γετεῖν, ἐφ' ᾧ μόνον ὑμᾶς κακῶς ποιεῖν. Διεδέξατο
πάρ' αὐτοῦ τὴν ἀρχὴν Ἀλέξανδρος. οὗτος πάλιν,
ὑπολαβὼν βραχύ τι τῆς Ἑλλάδος ἔναυσμα καταλι-
πέσθαι περὶ τὴν Θηβαίων πόλιν, τίνα τρόπον αὐτὴν
διέφθειρε, πάντας ὑμᾶς οἴομαι κατανοεῖν.

„Καὶ μὴν περὶ τῶν διαδεξαμένων τούτου τὰ XXIX.
πράγματα, πῶς κέχρηνται τοῖς Ἕλλησι, τί με δεῖ
κατὰ μέρος λέγειν; οὐδεὶς γάρ ἐστι τῶν ὄντων οὕ-
τως ἀπράγμων, ὃς οὐχὶ πέπυσται, πῶς Ἀντίπα-
τρος μὲν, ἐν τῇ περὶ Λαμίαν μάχῃ νικήσας τοὺς
Ἕλληνας, κάκιστα μὲν ἐχρήσατο τοῖς ταλαιπώροις
Ἀθηναίοις, ὁμοίως δὲ καὶ τοῖς ἄλλοις· εἰς τοῦτο δ'

K 4 ὕβρεως

7. Μεσσην. Μεσσηνίοις Hervag. cum Ang. Regiis, Vsſent.
XXIX. 2. οὕτως ἀπράγμων. Particulam οὕτως, quam ignorant musti, ex Vſſini conjecſ. inſerunt Caſaub. Forſan ipſa verba τῶν ὄντων delenda erant, ut ex οὕτως depravata. Ibid. ὁμοίως. ὅμοιον Hervag. cum Med.

oppida etiam cum agris vobis ademiſſet, alia Argivis attribuit, alia Tegeatis & Megalopolitanis, nonnulla item Meſſeniis; omnibus vel contra jus & fas benefacere cupiens, ea dumtaxat mercede, ut vobis malefaceret. Succeſſit huic in regno Alexander. *Hic quoque, arbitratus, exiguum ſaltem aliquem Græciæ fomitem ſupereſſe, dum* urbs Thebanorum *ſtaret, quomodo in eam ſævierit, veſtrum puto eſſe neminem, quin ſciat.*

29. *Iam illi, qui* poſt Alexandrum *in Macedonia rerum ſunt potiti, quales ſe erga Græcos præbuerint, quid ſigillatim me dicere eſt opus? Nemo homo vivit, adeo rerum geſtarum incurioſus, qui narrante fama non didicerit, quomodo* Antipater, prælio victis ad Lamiam *Græcis, infelices* Athenienſes *peſſime acceperit, peſſime item alios: qui*

Digitized by Google

Ol. 142. 2. Oratio ad Lacedæmon. pro Aetolis,

„ὕβρεως ἦλθε καὶ παρανομίας, ὡς φυγαδοθήρας καταστήσας, ἐξέπεμψε πρὸς τὰς πόλεις ἐπὶ τοὺς ἀντειρηκότας, ἢ καθόλου λελυπηκότας τι τὴν Μακεδόνων οἰκίαν. ὧν οἱ μὲν ἐκ τῶν ἱερῶν ἀγόμενοι μετὰ βίας, οἱ δ' ἀπὸ τῶν βωμῶν ἀποσπώμενοi, μετὰ τιμωρίας ἀπέθνησκον, οἱ δὲ διαφυγόντες ἐκ πάσης ἐξενηλατοῦντο τῆς Ἑλλάδος· φύξιμον γὰρ οὐδὲν ἦν πλὴν ἑνὸς αὐτοῖς τοῦ τῶν Αἰτωλῶν ἔθνους. Τά γε μὴν Κασσάνδρῳ καὶ Δημητρίῳ πεπραγμένα, σὺν δὲ τούτοις Ἀντιγόνῳ τῷ Γοναταῖ, τίς οὐκ οἶδε; διὰ γὰρ τὸ προφάτως αὐτὰ γεγονέναι, τελέως ἐναργῆ συμβαίνει τὴν γνῶσιν αὐτῶν ὑπάρχειν. ὧν οἱ μὲν φρουρὰς εἰσάγοντες εἰς τὰς πόλεις, οἱ δὲ τυράννους ἐμφυτεύοντες, οὐδεμίαν πόλιν ἄμοιρον ἐποίησαν τοῦ τῆς δουλείας ὀνόματος. Ἀφέμενος δὲ τούτων, ἐπάνειμι νῦν ἐπὶ τὸν τελευταῖον Ἀντίγονον· ἵνα μὴ τὴν ἐκ τούτου

3. ἀντειρηκότας. ἀντηρικότας *suspicatus est Reisk.* 7. τὸν τελευταῖον Ἀντίγονον *edidi ex Gronovii conject. Vulgo* τὸ τελευταῖον Ἀντιγόνου. Ibid. τὴν ἐκ τούτου πρᾶξιν. *Sic ora Ang. & sic monente*

qui quidem eo insolentiæ atque immanitatis venit, ut inquisitores exulum, ob id ipsum institutos, per urbes dimitteret, adversus eos, qui ipsi contradixissent, aut omnino regiam Macedonum ullo pacto offendissent. Atque horum alii ab ædibus sacris vi abducti, alii ab ipsis deorum aris abstracti, cum cruciatu necati sunt: qui autem evaserant, ii universa Græcia extorres pellebantur; neque ullum usquam miseris, nisi apud unam Aetolorum *gentem, perfugium patebat.* Cassandri *porro facta, &* Demetrii, *nec non* Antigoni Gonatæ, *quis ignorat? Nam quia non ita dudum illa acciderunt, viget adhuc in hominum animis recens eorum memoria, & exacta omnium notitia. Namque horum alii præsidiis in urbes inductis, alii tyrannis impositis, nullam fiverunt esse urbem, quæ durum illud servitutis nomen non experiretur. Verum hæc mitto, & ad* novissimi Antigoni *facta redeo: me,*

„τούτου πρᾶξιν ἀπάκως τινὲς ὑμῶν θεωροῦντες, A.V.544. adv. Ma-
8 ὑπόχρεοι χάριτι νομίζωσιν εἶναι Μακεδόσιν. Οὔτε cedones.
γὰρ Ἀχαιοὺς σώζειν προαιρούμενος Ἀντίγονος ἐπανείλετο τὸν πρὸς ὑμᾶς πόλεμον, οὔτε τῇ Κλεομένους τυραννίδι δυσαρεστούμενος, ἵνα Λακεδαιμονίους
9 ἐλευθερώσῃ. καὶ λίαν γὰρ ὅ γε τοιοῦτός ἐστι τρόπος εὐήθης, εἴ τις ἄρα ταύτην ὑμῶν ἔχει τὴν διάληψιν.
10 ἀλλ', ἐρῶν οὐκ ἐν ἀσφαλεῖ τὴν ἑαυτοῦ δυναστείαν ἐσομένην, ἐὰν ὑμεῖς τὴν Πελοποννησίων ἀρχὴν καταστήσησθε· πρὸς δὲ τούτῳ, βλέπων εὖ πεφυκότα τὸν Κλεομένην, καὶ τὴν τύχην ὑμῖν λαμπρῶς συνερ-
11 γοῦσαν· ἅμα φοβηθεὶς καὶ φθονήσας παρῆν, οὐ Πελοποννησίοις βοηθήσων, ἀλλὰ τὰς ὑμετέρας ἐλπίδας ἀφελούμενος, καὶ τὴν ὑμετέραν ὑπεροχὴν τα-
12 πεινώσων. Διόπερ οὐκ ἐπὶ τοσοῦτον ἀγαπᾶν ὀφείλετε Μακεδόνας, ὅτι, κυριεύσαντες τῆς πόλεως, οὐ

nente Vrſino edidit Caſaub. τὴν ἐμὴν ἐκ τούτου *dant codd. omnes, unde Reiskius* τὴν ἑλληνικὴν τούτου πρᾶξιν *ſuſpicatus eſt.*

ne, ſi quis fortaſſe veſtrûm, quæ ille tum geſſit, ſimpliciore animo conſideravit, aliquid eo nomine ſe debere Macedonibus in animum inducat. Enimvero Antigonus *bellum adverſus vos ſuſcepit, non eo ſane conſilio, ut Achæos ſervaret, aut quod, tyrannide Cleomenis offenſus, in libertatem vindicare vos vellet. Quam opinionem de illo ſi quis veſtrûm habet, hunc profectò oportet eſſe nimis facili ad quidvis credendum ingenio. Sed intelligebat nimirum* Antigonus, *ſi veſtrum ſemel in Peloponneſios imperium foret ſtabilitum, ſuam ſibi parum tutam dominationem futuram: videbat præterea, magnam in Cleomene indolem animi ingeniique eſſe, vosque fortuna cum primis ſecunda uti: hæc cum ejus animum timore & invidia ſtimulaſſent, venit, non ut Peloponneſiis ferret opem, ſed ut ſpes veſtras vobis præcideret, & potentiam veſtram attereret. Quapropter non tantam, cur* Macedones *diligatis, cauſſam habetis, quod urbe veſtra potiti*

Ol. 142. 2. Oratio ad Lacedæmon. pro Aetolis,

„διήρπασαν, ἐφ' ὅσον ἐχθροὺς νομίζειν καὶ μισεῖν, ὅτι δυναμένους ὑμᾶς ἡγεῖσθαι τῆς Ἑλλάδος πλεονάκις ἤδη κεκωλύκασι.

XXX. „Περί γε μὴν τῆς Φιλίππου παρανομίας, τίς χρεία πλείω λέγειν; Τῆς μὲν γὰρ εἰς τὸ θεῖον ἀσεβείας ἱκανὸν ὑπόδειγμα αἱ περὶ τοὺς ἐν Θέρμῳ ναοὺς ὕβρεις· τῆς δ' εἰς τοὺς ἀνθρώπους ὠμότητος, ἡ περὶ τοὺς Μεσσηνίους ἀθεσία καὶ παρασπόνδησις. * Αἰτωλοὶ γὰρ μόνοι μὲν τῶν Ἑλλήνων ἀντωφθάλμησαν πρὸς Ἀντίπατρον ὑπὲρ τῆς τῶν ἀδίκως ἀκληρούντων ἀσφαλείας· μόνοι δὲ πρὸς τὴν Βρέννου καὶ τῶν ἅμα τούτῳ βαρβάρων ἔφοδον ἀντέστησαν· μόνοι δὲ καλούμενοι συνηγωνίζοντο, βουλόμενοι τὴν πάτριον ἡγεμονίαν τῶν Ἑλλήνων ὑμῖν συγκατασκευάζειν. Ταῦτα μὲν οὖν ἡμῖν ἐπὶ τοσοῦτον εἰρήθω. Περὶ δὲς τοῦ νῦν ἐνεστῶτος διαβουλίου, γράφειν μὲν καὶ χειροτο-

12. ὅτι *ignorant msti. Ex Vrſini conject. inſeruit Caſaub.*
XXX. 3. Αἰτωλοὶ γὰρ. *Aut excidiſſe aliquid ante hæc verba, aut δὲ pro γὰρ legendum monuit Reisk.*

potiti eam non diripuerunt, quantam, cur hoſtes veſtros eos ducatis, & odio proſequamini, quod, principatum Græciæ quum poſſetis conſequi, eum ne adipiſceremini, perſæpe impedimento vobis fuerunt.

30. *At* de Philippi iniquitate *quid attinet verba facere? In deos qua ſit impietate, luculento teſtimonio ſunt contumeliæ, delubris Thermi illatæ: qua in homines crudelitate, violata per ſcelus, quæ data fuerat Meſſeniis fides.* * *Soli enim* Aetoli *pro ſecuritate eorum, qui nefarie opprimebantur, contra Antipatrum oculos ſuſtinuerunt attollere; ſoli, irruenti in Græciam Brenno & ceteris barbarorum copiis, reſtiterunt: ſoli ex omnibus, quorum auxilium imploraſtis, adfuerunt, ut in recuperando Græciæ principatu, quem majores veſtri tenuerunt, vos adjuvarent. Verum de his quidem hactenus. Ad* præſentem *vero* deliberationem *quod attinet, licet ita oportet*

Digitized by Google

„ρστονεῖν ἀναγκαῖόν πως ἐστὶν, ὡς περὶ πολέμου βου- A.V.544.
λευομένοις, τῇ μέντοι γε ἀληθείᾳ μὴ νομίζειν, τοῦ- adv. Ma-
cedones.
6 τον ἔσεσθαι πόλεμον. Ἀχαιοὺς μὲν γὰρ οὐχ οἷον δεῖν ἡσσωμένους βλάπτειν ὑμῶν τὴν χώραν, μεγάλην δὲ χάριν ἕξειν αὐτοὺς ὑπολαμβάνω τοῖς θεοῖς, ἐὰν δύνωνται τὴν ἰδίαν τηρεῖν, ἐπειδὰν αὐτοῖς ὁ πόλεμος ὑπ' Ἠλείων καὶ Μεσσηνίων διὰ τὴν πρὸς ἡμᾶς συμμαχίαν, ἅμα δὲ τούτοις ὑφ' ἡμῶν περισταθῇ. 7 Φίλιππον δὲ πάντως πέπεισμαι λήξειν τῆς ἐρημῆς, κατὰ μὲν γῆν ὑπ' Αἰτωλῶν πολεμούμενον, κατὰ δὲ θάλατταν ὑπό τε Ῥωμαίων καὶ τοῦ βασιλέως Ἀτ- 8 τάλου. λίαν δ' εὐμαρῶς ἐστι συλλογίσασθαι τὸ μέλ- 9 λον ἐκ τῶν ἤδη γεγονότων. εἰ γὰρ πρὸς μόνους Αἰτωλοὺς πολεμῶν μηδέποτε δυνατὸς ἦν χειρώσασθαι τούτους,

6. δεῖν ἡσσωμένους βλάπτειν. Revocavi lectionem codicum, nisi quod ἡσσάμενους in ἡσσωμ. mutavi. Casaubonus ex conject. edidit οὐχ οἷον οὐδὲν ἠτιμένους βλάψειν. 7. δὲ πάντως πέπεισμαι correxi cum Reisk. δὲ ταῦθ' ὡς πέπεισμαι Herv. cum codd. nostris omnibus, excepto altero Med. in quo est δ' ἐνταῦθ' ὡς. Hinc Vrsinus δ' ἐνταῦθα πέπεισμ. Sed Casaubonus δὲ κατὰ ταῦτ' ἐγὼ πέπεισμαι. 8. εὐμαρῶς. εὐμαρές ἐστι ex Vrsini conject. adscivit Casaub.

teat perscribere, ita sententias dicere, quasi de bello *proposita esset consultatio: re tamen vera bellum istud existimandum non est. Etenim victi* Achæi, *tantum abest, arbitror, ut agrum vestrum sint populaturi, ut magnas diis potius gratias habituri sint, si ditionem ipsi suam potuerint defendere, cum & ab Eleis & a Messeniis, societate nobis junctis, & simul a nobis pati se undique bello senserint.* Philippum *vero utique a ferocia destiturum mihi persuadeo, ubi terra quidem Aetoli bellare in eum cœperint, mari vero populus Romanus & rex Attalus. Certe, quid futurum sit, ex iis quæ jam ante acciderunt facili conjectura potest divinari. Nam si cum sola* Aetolorum *gente armis decertans, suæ illos potestati subjicere*

Digitized by Google

Ol. 142. 2. Oratio ad Lacedæmon. pro Aetolis, XXXI.

„τούτους, ἤ που συμβεβηκότων, ἀξιόχρεως ἂν εἴη πρὸς τὸν ἐνεστῶτα πόλεμον.

„Ταῦτα μὲν οὖν εἰρήθω μοι κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν, χάριν τοῦ γνῶναι πάντας ὑμᾶς, διότι καὶ μὴ προεσπεδεμένους, ἀλλ' ἐξ ἀκεραίου βουλευομένους, μᾶλλον Αἰτωλοῖς ὑμᾶς ἢ Μακεδόσιν ἐχρῆν συμμαχεῖν. Ἂν δὲ καὶ προκατέχεσθε, καὶ προδιελήφατε περὶ τούτων, τίς ἔτι καταλείπεται λόγος; Εἰ γὰρ συνέθεσθε τὴν νῦν ὑπάρχουσαν ὑμῖν πρὸς ἡμᾶς συμμαχίαν πρότερον τῶν ὑπ' Ἀντιγόνου γεγενημένων εἰς ὑμᾶς εὐεργετημάτων· ἴσως ἦν εἰκὸς διαπορεῖν, εἰ δέον ἐστὶ, τοῖς ἐπιγεγονόσιν εἴκοντας, παριδεῖν τι τῶν πρότερον ὑπαρχόντων. Ἐπεὶ δὲ συντετελεσμένης ὑπ' Ἀντιγόνου τῆς πολυθρυλήτου ταύτης ἐλευθερίας καὶ σωτηρίας, ἣν οὗτοι παρ' ἕκαστον

9. συμβεβηκότων. *Desiderari nisi videtur* πάντων, πολλῶν, τοσούτων, *aut aliquid simile.*

XXXI. 4. ἣν οὗτοι παρ' ἕκαστον. *Sic ex ingenio emendavit Casaub.* εἰσὶν οἱ τούτων ἕκαστον *Hervag. cum Med.* ἣν εἰ τούτων ἕκαστον *Ang. Vrb. Regii, Vesont. Tubing.*

jicere numquam potuit; erit videlicet metuendum, ne, ubi dicti populi in unum convenerint, bello ab iis inferendo par sit futurus.

31. *Hæc pro instituto dicenda censui, ut intelligeretis omnes, vos, nedum jam ante illigatos, sed vel si re integra proponeretur hujusmodi deliberatio, nobis potius Aetolis societate jungi debere, quam Macedonibus. Quod si etiam præoccupati tenemini, jamque ante de ea re statuistis, quid verbis amplius est opus? Sane enim, si fœdus hoc, quod vobis est nobiscum, ante esset ictum, quam illa ab Antigono beneficia accepissetis, dubitari fortasse posset, num antiquius aliquod fœdus negligere deberetis, dum recentioribus bene meritis provocati novæ gratiæ locum daretis. Nunc, quoniam post libertatem istam & salutem vobis per Antigonum partam, quæ tantopere jactatur, & ab istis subinde*

Digitized by Google

„ἕκαστον ὑμῖν ὀνειδίζουσι, μετὰ δὲ ταῦτα βουλευόμενοι, καὶ πολλάκις ἑαυτοῖς δόντες λόγον, ποτέροις ὑμᾶς δεῖ κοινωνεῖν πραγμάτων, Αἰτωλοῖς ἢ Μακεδόσιν, εἵλεσθε μετέχειν Αἰτωλοῖς, οἷς ἐδάκατε περὶ τούτων πίστεις, καὶ ἐλάβετε παρ' ἡμῶν, καὶ συμπεπολεμήκατε τὸν πρώην συστάντα πόλεμον ἡμῖν πρὸς Μακεδόνας· τίς ἔτι δύναται περὶ τούτων εἰκότως ἐπαπορεῖν; Τὰ μὲν γὰρ πρὸς Ἀντίγονον καὶ Φίλιππον ὑμῖν ὑπάρχοντα φιλάνθρωπα παρεγράφη τότε. λοιπὸν, ἢ δι' Αἰτωλῶν ἀδίκημά τι δεῖ μετὰ ταῦτα γεγονὸς εἰς ὑμᾶς δεικνύειν, ἢ διὰ Μακεδόνων εὐεργεσίαν, ἢ, μηδετέρου τούτων ἐπιγεγονότος, πῶς, οἷς πρότερον ἐξ ἀκεραίου βουλευόμενοι δικαίως οὐ προσέσχετε τὸν νοῦν, τούτων νῦν ἐντραπέντες, ἀνασκευάζειν μέλλετε συνθήκας, ὅρκους, τὰς μεγίστας A.V.544. adv. Macedones.

4. ὑμῖν ex mente Casauboni correxi. Vulgo omnes ἡμῖν. Ibid. μετέχειν Αἰτωλοῖς ex Casaub. & Reiskii conject. posui, pro μετέχειν ἐν πολλοῖς. 6. λοιπὸν ἢ δι' Αἰτ. λοιπὸν ἤδη Αἰτ suspicatus est Reisk. & mox ἢ νὴ διὰ Μακ. pro ἢ διὰ Μακεδ. Ibid. προσέσχετε τὸν νοῦν. Verba τὸν νοῦν absunt a plerisque codd. nec admodum desiderantur.

de vobis exprobratur, deliberatione posthac instituta, cum utris societatem fortunarum inire deberetis, *rerum omnium momentis probe expensis, præoptastis* Aetolis *potius quam* Macedonibus *vos adjungere; cujus rei fidem & dedistis ipsi nobis, & vicissim a nobis accepistis; qui etiam nuperum adversus Macedones bellum una nobiscum gessistis: post ista,* inquam, *omnia, quis poterit amplius de eadem re dubitandi esse locus? Quæcumque enim amicitiæ jura cum Antigono & Philippo vobis intercedebant, ea tunc temporis sunt expuncta. Restat igitur, ut vel posteriore aliqua ab* Aetolis *injuria vos probetis lacessitos, vel recentiore beneficio a* Macedonibus *affectos. Quorum si neutrum postea contigit, cedo, quam ob caussam, quos antea, ubi integris rebus deliberabatis, merito non curastis, eorum nunc rationem habentes, fœdera, jusjurandum, & quæ maxima censentur*

Digitized by Google

Ol. 142. 2. „στας πίστεις παρ' ἀνθρώποις;" Ὁ μὲν οὖν Χλαινέας, τοιαῦτα διαλεχθεὶς, καὶ δόξας δυσαντιρρήτως εἰρηκέναι, κατέπαυσε τὸν λόγον.

XXXII. Lycisci Acarnanis Oratio ad Lacedæmonios pro Macedonibus,

1 Μετὰ δὲ ταῦτα Λυκίσκος, ὁ τῶν Ἀκαρνάνων πρεσβευτὴς, εἰσελθὼν, τὸ μὲν πρῶτον ἐπέσχε, θεωρῶν τοὺς πολλοὺς ἐν αὐτοῖς διαλαλοῦντας ὑπὲρ τῶν προειρημένων. Ἐπεὶ δέ ποτε καθησύχασαν, οὕτω 2 πως ἤρξατο τοῦ λέγειν. „Ἡμεῖς, ἄνδρες Λακεδαιμόνιοι, παρεγενόμεθα μὲν, ὑπὸ τοῦ κοινοῦ τῶν Ἀκαρνάνων ἀπεσταλμένοι πρὸς ὑμᾶς, μετέχοντες δὲ σχεδὸν ἀεί ποτε Μακεδόσι τῶν αὐτῶν ἐλπίδων, καὶ τὴν πρεσβείαν ταύτην κοινὴν ὑπολαμβάνομεν ἡμῖν 3 ὑπάρχειν καὶ Μακεδόσιν. Ὥσπερ δὲ καὶ κατὰ τοὺς κινδύνους, διὰ τὴν ὑπεροχὴν καὶ τὸ μέγεθος τῆς Μακεδόνων δυνάμεως, ἐμπεριέχεσθαι συμβαίνει καὶ τὴν ἡμετέραν ἀσφάλειαν ἐν ταῖς ἐκείνων ἀρεταῖς· οὕτω καὶ κατὰ τοὺς πρεσβευτικοὺς ἀγῶνας ἐμπε-

fentur inter homines fidei vincula, evertetis, atque antiquabitis? Hæc locutus CHLAENEAS, quum jam videretur ejus oratio perquam difficulter posse confutari, finem dicendi fecit.

32. Secundum hæc prodit in medium LYCISCVS, Acarnanum orator: qui primo, quia videbat omnes inter se de iis, quæ dicta fuerant, colloquentes, vocem continuit; ubi vero tandem audientia est facta, in hunc fere modum orationem est exorsus. *Nos quidem, viri Lacedaemonii! a communi* Acarnanum *oratores ad vos missi huc venimus: sed qui ejusdem semper spei ac fortunæ cum* Macedonibus *fuimus participes, hanc quoque legationem nobis cum illis esse communem arbitramur. Quemadmodum autem in bellorum discriminibus usu venit, ut, propter præpotentes & magnas Macedonum vires, nostra quoque securitas ipsorum virtute, ceu eidem caussæ implicita, contineatur: ita etiam in legationum disceptationibus salutem*

Acar-

Digitized by Google

„ἐμπεριέχεται τὸ τῶν Ἀκαρνάνων συμφέρον ἐν τοῖς A.V.544.
5 Μακεδόνων δικαίοις. διόπερ οὐ δεῖ θαυμάζειν ὑμᾶς, adversus Aetolos & Roma-
ἐὰν τὸν πλείω λόγον ὑπὲρ Φιλίππου ποιώμεθα καὶ nos.
6 Μακεδόνων. Χλαινέας τοιγαροῦν, καταστρέφων τὴν δημηγορίαν, ἀποτομόν τινα συγκεφαλαίωσιν ἐποιήσατο τῶν ὑπαρχόντων πρὸς ὑμᾶς δικαίων. ἔφη γάρ, εἰ μὲν ἐπιγέγονέ τι μετὰ τὸ θέσθαι τὴν συμμαχίαν ὑμᾶς τὴν πρὸς τούτους, ἤτοι βλαβερὸν καὶ δυσχερὲς ὑπ' Αἰτωλῶν, ἢ καὶ νὴ Δία φιλάνθρωπον ὑπὸ Μακεδόνων, εἰκότως ἂν καὶ τὸ νῦν διαβούλιον ἐξ 8 ἀκεραίου σκέψεως τυγχάνειν· εἰ δὲ, μηδενὸς ἐπιγεγονότος τοιούτου, τὰ κατ' Ἀντίγονον προφερόμενοι, τὰ πρότερον ὑφ' ὑμῶν δεδοκιμασμένα, πεπείσμεθα νῦν ἡμεῖς ἀνασκευάσειν ὅρκους καὶ συνθήκας, εὐηθεστάτους πάντων ἡμᾶς ὑπάρχειν. Ἐγὼ δ', εἰ μὲν μηδὲν ἐπιγέγονε κατὰ τὸν τούτου λόγον, μένει δὲ τὰ πράγματα τοιαῦτα τοῖς Ἕλλησιν, οἷα πρότερον ἦν,

XXXII. 4. ἐμπεριέχεται dedit Aug. & Vrb. Ceteri vulgo ἐμπεριέχεσθαι, ut paulo superius. 8. ἀνασκευάσειν ex Aug. adscivi. Vulgo ἀνασκευάζειν.

Acarnanum Macedonum jura in se continent. Quare mirari nemo vestrûm debet, si pars major orationis nostræ de Philippo & Macedonibus *fit futura. Enimvero Chlæneas, in extrema sua concione, jura, quæ sunt Aetolis vobiscum, præcisa quadam collectione est complexus. Dixit enim:* si post initam a vobis cum sua gente societatem, aut damno aut molestia aliqua Aetoli, aut contra beneficio aliquo Macedones vos affecerint; idoneam esse causſam, cur hæc deliberatio velut rebus integris instituatur: sin, horum quum nihil acciderit, nos interim, allatis in medium rebus gestis Antigoni, & eis, quæ prius a vobis decreta sunt, confidamus jusjurandum & fœdera evertere posse; omnium mortalium nos fore fatuissimos. *Ego vero, si modo, ut hic ait, nihil postea contigit, & res Græcorum in statu sunt eodem,*

Ol. 142. 2. Oratio ad Lacedæmon. pro Macedonibus,

„Ἦν, ὅτε πρὸς αὐτοὺς Αἰτωλοὺς ἐποιεῖσθε τὴν συμμαχίαν, ὁμολογῶ πάντων εὐηθέστατος ὑπάρχειν, καὶ ματαίους μέλλειν διατίθεσθαι λόγους· εἰ δὲ τὴν ἐναντίαν ἔσχηκε διάθεσιν, ὡς ἐγὼ σαφῶς δείξω προϊόντος τοῦ λόγου, καὶ λίαν ἐμὲ μὲν οἴομαι φανήσεσθαί τι λέγειν ὑμῖν τῶν συμφερόντων, Χλαινέαν δ' ἀγνοεῖν. Παραγιγνόμεθα μὲν οὖν ὑπὲρ αὐτοῦ τούτου, πεπεισμένοι δεῖν ἡμᾶς ποιεῖσθαι τοὺς λόγους ὑπὲρ τοῦ δεῖξαι, διότι καὶ πρέπον ὑμῖν ἐστι καὶ συμφέρον, εἰ μὲν δυνατὸν, ἀκούσαντας τῆς ἐπιφερομένης τοῖς Ἕλλησι περιστάσεως, καλόν τι βουλεύσασθαι καὶ πρέπον ἑαυτοῖς, μετασχόντας ἡμῖν τῶν ἐλπίδων· εἰ δὲ μὴ, τούτων τὴν ἡσυχίαν ἔχειν κατὰ τὸ παρόν.

XXXIII. „Ἐπεὶ δ' ἀνέκαθεν οὗτοι κατηγορεῖν ἐτόλμησαν τῆς Μακεδόνων οἰκίας· ἀναγκαῖον εἶναί μοι δοκεῖ, πρότε-

11. διότι καὶ ex conject. scripsi, pro διὸ καὶ, quod habent vulgo omnes. 12. τούτων. Forsan εἰ δὲ μὴ τοῦτο, τὴν ἡσυχ.

eodem, quo prius erant, quando cum ſolis Aetolis ſocietatem contraxiſtis; non abnuo, quin mortalium omnium ſim ſtultiſſimus, & omnis hæc, quam affero, oratio inanis ac vana ſit. Sin ita eſt, quemadmodum deinceps ſumus perſpicue probaturi, ut ſtatus rerum in contrarium verterit; plane equidem confido, viſum iri me vobis utique utilia dixiſſe, Chlæneam vero in errore verſari. Et hoc nimirum illud ipſum eſt, cujus gratia venimus, quum officii noſtri duceremus, ejusmodi orationem apud vos habere, quæ liquido probaret, & honeſtum & utile vobis futurum, ut, ſi fieri queat, poſtquam de impendentibus univerſæ Græciæ malis fueritis edocti, præclarum aliquod ac vobis dignum conſilium ſuſpiciatis, ſalutis ac periculi ſocietatem nobiscum ineuntes: ſin hoc fieri nequeat, ſaltem ut hoc tempore quieti maneatis.

33. Sed quoniam iſti ab ultima rerum memoria exorſi, regiam Macedonum *domum criminari ſunt auſi; pauca mihi*

Digitized by Google

„πρότερον ὑπὲρ τούτων βραχέα διαλεχθέντας, ἀφε- A.V.544.
λέσθαι τὴν ἄγνοιαν τῶν πεπιστευκότων τοῖς εἰρη- adversus
μένοις. Ἔφη τοιγαροῦν Χλαινέας, Φίλιππον τὸν Aetolos
Ἀμύντου διὰ τῆς Ὀλυνθίων ἀτυχίας κύριον γενέσθαι & Roma-
Θετταλίας. Ἐγὼ δὲ διὰ Φιλίππου οὐ μόνον Θετ- nos.
ταλοὺς, ἀλλὰ καὶ τοὺς λοιποὺς Ἕλληνας ὑπολαμβάνω
σεσῶσθαι. καθ' οὓς γὰρ καιροὺς Ὀνόμαρχος καὶ Φι-
λόμηλος, καταλαβόμενοι Δελφοὺς, ἀσεβῶς καὶ πα-
ρανόμως ἐγένοντο κύριοι τῶν τοῦ θεοῦ χρημάτων, τό-
τε τίς ὑμῶν οὐκ οἶδε, διότι τηλικαύτην συνεστήσαντο
δύναμιν, πρὸς ἣν οὐδεὶς ἔτι τῶν Ἑλλήνων ἀντοφθαλ-
μεῖν δυνατὸς ἦν; ἀλλ' ἐκινδύνευον, ἅμα ταῖς εἰς τὸ
θεῖον ἀσεβείαις, καὶ τῆς Ἑλλάδος γενέσθαι κύριοι πά-
σης. ἐν οἷς καιροῖς Φίλιππος ἐθελοντὴν αὐτὸν ἐπι-
δοὺς, ἐπανείλετο μὲν τοὺς τυράννους, ἠσφαλίσατο
δὲ τὰ κατὰ τὸ ἱερὸν, αἴτιος δ' ἐγένετο τοῖς Ἕλλησι
τῆς

XXXIII. 1. διαλεχθέντας *correxit Casaub.* διαλεχθέντες *Herv. cum mstis.* 3. διὰ Φιλίππου. διὰ Φίλιππον *Aug. Regii, Vesont.* 4. Φιλόμηλος. Φιλόμαλος *Hervag. Regii, Vesont. Tubing.* 6. ἐπανείλετο *correxi cum Reisk. Vulgo* ἐπανεῖλε.

mihi prius de iisdem rebus neceſſario dicenda videntur, ut iis, qui fidem dictis habuerint, ſuum errorem eripiam. Dixit igitur Chlæneas, Philippum Amyntæ F. per exitium Olynthiis illatum Theſſalia eſſe potitum. *Cenſeo vero ego, per* Philippum *non ſolum Theſſalos, ſed ceteros quoque Græcos omnes fuiſſe tum ſervatos. Quo enim tempore* Onomarchus & Philomelus, *urbe* Delphorum *occupata, impie ac nefarie ſacra Deo pecunia ſunt potiti; quis ignorat e vobis, tantum iſtos potentiæ tunc ſibi comparaſſe, ut eis palam reſiſtere Græcorum nemo auderet? Quin eo videbatur res rediiſſe, ut iſti, ſacrilegio admiſſo non contenti, univerſæ hoc amplius Græciæ dominarentur. Atque hoc eſt tempus, quando* Philippus, *periculo ultro ſe objiciens, tyrannos ſuſtulit, templum Delphicum in tuto collocavit, & Græciæ populis au-*

Digitized by Google

Ol. 142. 2. Oratio ad Lacedæmon. pro Macedonibus,

„τῆς ἐλευθερίας, ὡς αὐτὰ τὰ πράγματα μεμαρτύρηκε καὶ τοῖς ἐπιγενομένοις. οὐ γὰρ ὡς ἠδικηκότα Φίλιππον Θετταλοὺς, καθάπερ οὗτος ἐτόλμα λέγειν, ἀλλ' ὡς εὐεργέτην ὄντα τῆς Ἑλλάδος, καὶ κατὰ γῆν αὐτὸν ἡγεμόνα καὶ κατὰ θάλατταν εἵλοντο πάντες· οὗ πρότερον ἀνθρώπων οὐδεὶς ἔτυχε. Νὴ Δί', ἀλλὰ παρεγένετο μετὰ τῆς δυνάμεως εἰς τὴν Λακωνικήν. Οὐ κατά γε τὴν αὐτοῦ προαίρεσιν, ὡς ὑμεῖς ἴστε. καλούμενος δὲ, καὶ πολλάκις ὀνομαζόμενος ὑπὸ τῶν ἐκ Πελοποννήσου φίλων καὶ συμμάχων, μόλις αὐτὸν ἐπέδωκε. Καὶ παραγενόμενος, πῶς τοῖς πράγμασιν ἐχρήσατο, ὦ Χλαινέα, σκόπει. δυνάμενος γὰρ συγχρήσασθαι ταῖς τῶν ἀστυγειτόνων ὁρμαῖς πρός τε τὴν τῆς χώρας τῆς τούτων καταφθοράν, καὶ τὴν τῆς πόλεως ταπείνωσιν, καὶ τοῦτο πρᾶξαι μετὰ τῆς μεγίστης χάριτος· ἐπὶ μὲν τὴν τοιαύτην αἵρεσιν οὐδαμῶς αὐτὸν ἐνέδωκε· καταπλη-

ξάμενος

tor libertatis exſtitit: quod poſteris quoque teſtatum ut eſſet, res inſecutæ effecerunt. Philippum enim Græci, non ſane ut auctorem injuriarum in Theſſalos, quod iſtum dicere non puduit, ſed ut de Græcia tota bene meritum, terra marique ducem ſuum omnes elegerunt: qui honos nemini cuiquam mortalium ante ipſum contigerat. At enim Laconicæ fines cum exercitu Philippus eſt ingreſſus! *Non ultro ille quidem, nec proprio conſilio; quod ipſi quoque ſcitis: ſed ab amicis & ſociis, quos in Peloponneſo habebat, accitus ac ſæpius invocatus, ægre tandem hiſce rebus animum applicuit. Et poſtquam in Peloponneſum venit, vide mihi, Chlænea, qualem ſe exhibuerit. Quum enim poſſet finitimorum abuti cupiditatibus ad Lacedæmoniorum agros devaſtandos, & civitatis opes ac potentiam imminuendam, eoque facto maximam a multis gratiam inire; ad ejusmodi conſilia animum inclinare numquam voluit; ſed, pariter & illis & his terrore*

„ξαίμενος δὲ καὶκείνους καὶ τούτους, ἐπὶ τῷ κοινῇ A.V.544. adversus Aetolos & Romanos.
συμφέροντι διὰ λόγου τὴν ἐξαγωγὴν ἀμφοτέρους
ἠνάγκασε ποιήσασθαι περὶ τῶν ἀμφισβητουμένων·
12οὐκ αὐτὸν ἀποδείξας κριτὴν ὑπὲρ τῶν ἀντιλεγομέ-
νων, ἀλλὰ κοινὸν ἐκ πάντων τῶν Ἑλλήνων καθίσας
13κριτήριον. ἄξιόν γε τὸ γεγονὸς ὀνείδους καὶ προ-
φορᾶς.

„Πάλιν Ἀλεξάνδρῳ, διότι μὲν, ἀδικεῖσθαι δόξας, XXXIV.
τὴν Θηβαίων πόλιν ἐκόλασε, τοῦτο πικρῶς ὠνείδι-
2σας. ὅτι δὲ τιμωρίαν ἔλαβε παρὰ τῶν Περσῶν ὑπὲρ
τῆς εἰς ἅπαντας τοὺς Ἕλληνας ὕβρεως, οὐκ ἐποιή-
3σω μνήμην· οὐδὲ διότι μεγάλων καὶκῶν κοινῇ πάντας
ὑμᾶς ἔλυσε, καταδουλωσάμενος τοὺς βαρβάρους,
καὶ παρελόμενος αὐτῶν τὰς χορηγίας, εἷς ἐκεῖνοι
χρώμενοι κατέφθειραν τοὺς Ἕλληνας, ποτὲ μὲν Ἀθη-
ναίους καὶ τοὺς τούτων προγόνους ἀγωνοθετοῦντες

L 2 καὶ

11. καὶ τούτους *Casaubono debetur.* καὶ τοὺς *Herv. cum mitis. Verba autem ἐπὶ τῷ κοινῇ συμφ. cum præcedd. junxerat Casaub. quæ mihi ad seqq. referenda visa sunt.*

XXXIV. 3. πάντας ὑμᾶς. πάντας ἡμᾶς *expressit Casaub. in vers.* omnes nos.

terrore injecto, utrosque ad communem utilitatem verbis componere controversias coëgit. Neque ipse judicem se eorum, quæ utrimque afferebantur, constituit; sed ex omnibus Græcis commune judicium instituit. En facinus, dignum me hercules, quod vituperetur atque exprobretur.

34. *Iam &* Alexandro *illud quidem cum amarulentia objecisti, quod Thebanorum urbem, a qua injuriam sibi rebatur factam, supplicio affecit: illud non commemorasti, ipsum a Persis earum contumeliarum, quas Græcis omnibus imposuerant, pœnas exegisse: neque item illud, malis ingentibus vos omnes ab eo fuisse liberatos, quando barbaros subegit, & eas ipsis opes ademit, quarum largitione Græcos corrumpebant, modo Athenienses, modo Thebanos, cum horum (Lacedæmoniorum) majoribus committendo & ad bella mutua*

Digitized by Google

Ol. 142. 2. Oratio ad Lacedæmon. pro Macedonibus,

„καὶ συμβάλλοντες, ποτὲ δὲ Θηβαίους· καὶ τέλος ὑπήκοον ἐποίησε τὴν Ἀσίαν τοῖς Ἕλλησι. Περὶ δὲ τῶν διαδεξαμένων πῶς καὶ τολμᾶτε μνημονεύειν; Ἐκεῖνοι γὰρ κατὰ τὰς τῶν καιρῶν περιστάσεις, οἷς μὲν ἀγαθῶν, οἷς δὲ κακῶν ἐγίγνοντο παραίτιοι πολλάκις· περὶ ὧν τοῖς μὲν ἄλλοις ἴσως ἂν ἐξείη μνησικακεῖν, ὑμῖν δ' οὐδαμῶς καθήκει τοῦτο ποιεῖν, τοῖς ἀγαθοῦ μὲν μηδενὶ μηδενὸς παραιτίοις γεγονόσι, κακῶν δὲ πολλοῖς καὶ πολλάκις. Ἐπεὶ τίνες οἱ τὸν Ἀντίγονον εἰσὶ τὸν Δημητρίου παρακαλέσαντες ἐπὶ διαιρέσει τοῦ τῶν Ἀχαιῶν ἔθνους; Τίνες δ' οἱ πρὸς τὸν Ἀλέξανδρον τὸν Ἠπειρώτην ὅρκους ποιησάμενοι καὶ συνθήκας ἐπ' ἐξανδραποδισμῷ καὶ μερισμῷ τῆς Ἀκαρνανίας; οὐχ ὑμεῖς; Τίνες δὲ κατὰ κοινὸν τοιούτους ἡγεμόνας ἐξέπεμψαν, οἵους ὑμεῖς; οἵ γε καὶ τοῖς

5. ἂν ἐξείη. Sic correxi. ἐνίξει Herv. & alter Med. ἂν ἔξειεν alter Med. ἂν ἔξει cetteri codd. Sed ἴσως ἔξεστι Casaub. sua auctoritate, omisso ἄν. Ibid. πολλοῖς ex conject. scripsi. Vulgo omnes πολλῶν καὶ πολλάκις. Forsan πολλῶν πολλοῖς καὶ πολλάκις.

mutua concitando; ipsi interim, ceu quidam ludorum præsides, otiosi hoc spectaculo fruentes. Alexander *vero non prius quievit, quam Græcorum imperio Asiam subjecit. De* hujus *autem* successoribus *quo tandem modo vel verba facere auditis? Etenim illi quidem pro varia temporum conditione aliis bonorum, aliis malorum auctores sæpe fuerunt. Ac malorum quidem, si qua sunt ab eis illata, liceat fortasse aliis meminisse; vobis certe ejusmodi querimonia nullo modo convenit, qui nemini ullum umquam bonum, mala autem multa sæpe multis conciliastis. Obsecro enim, quinam illi fuerunt, qui* Antigonum Demetrii F. *incitarunt, ut gentis Achæorum commune concilium dissolveret? Quinam illi, qui cum* Epirota Alexandro *fœdus jurejurando firmatum icerunt, ad subjugandam & dividendam* Acarnaniam? *nonne vos ii estis? Quinam vero tales publice duces exercituum emiserunt, quales vos? qui quidem etiam intactis religione*

„τοῖς ἀσύλοις ἱεροῖς ἐτόλμησαν προσάγειν τὰς χεῖ- A.V.544.
ρας. ὧν Τίμαιος μὲν τό τε ἐπὶ Ταινάρῳ τοῦ Ποσει- adversus
δῶνος, καὶ τὸ τῆς ἐν Λούσοις ἱερὸν Ἀρτέμιδος ἐσύλη- Aetolos
σε· Φάρυκος δὲ καὶ Πολύκριτος, ὁ μὲν τὸ τῆς Ἥρας & Roma-
ἐν Ἄργει τέμενος, ὁ δὲ τὸ τοῦ Ποσειδῶνος ἐν Μαν- nos.
τινείᾳ διήρπασε. Τί δὲ Λάτλαβος καὶ Νικόστρα-
τος; οὐ τὴν τῶν Παμβοιωτίων πανήγυριν, εἰρήνης
οὔσης, παρεσπόνδησαν, Σκυθῶν ἔργα καὶ Γαλατῶν
ἐπιτελοῦντες; ὧν οὐδὲν πέπρακται τοῖς διαδεξα-
μένοις.

„Καὶ πρὸς οὐδὲν τούτων ἀπολογηθῆναι δυνάμε- XXXV.
νοι, σεμνύνεσθε, διότι τὴν ἐπὶ Δελφοὺς ἔφοδον τῶν
βαρβάρων ὑπέστητε· καὶ φατὲ, δεῖν διὰ ταῦτα
χάριν ἔχειν ὑμῖν τοὺς Ἕλληνας. Ἀλλ' εἰ διὰ μίαν
ταύτην χρείαν Αἰτωλοῖς χάρις ὀφείλεται, τίνος καὶ
πηλίκης δεῖ τιμῆς ἀξιοῦσθαι Μακεδόνας, οἳ τὸν
πλείω τοῦ βίου χρόνον οὐ παύονται διαγωνιζόμενοι

L 3 πρὸς

ne delubris manus admovere sunt ausi. Testis erit Timæus, qui Neptuni fanum in Tænaro, & Dianæ ædem Lusis spoliavit. Testes Pharycus & Polycritus, *quorum ille Iunonis templum Argis, hic Neptuni Mantineæ diripuerunt. Quid* Lattabus & Nicostratus? *nonne hi conventum universæ gentis Bœotorum, pacis tempore, spreta fœderis religione, violarunt, & Scytharum & Galatarum facinora inibi patrarunt? quorum simile nihil umquam Alexandri successores ediderunt.*

35. *Horum vos tot criminum quum ne unum quidem valeatis excusare, gloriamini tamen, quod barbarorum in urbem Delphos impressionem sustinuistis: &, ut eo nomine gratiam vobis habeant Græci, postulatis. Atqui si propter illam operam, Græcis præstitam, gratia* Aetolis *debetur: quo &* quanto Macedones *sunt honore digni, qui pro Græcorum securitate*

Ol. 142. 2. Oratio ad Lacedæmon. pro Macedonibus,

„πρὸς τοὺς βαρβάρους ὑπὲρ τῆς τῶν Ἑλλήνων ἀσφαλείας; ὅτι γὰρ ἀεί ποτ' ἂν ἐν μεγάλοις ἦν κινδύνοις τὰ κατὰ τοὺς Ἕλληνας, εἰ μὴ Μακεδόνας εἴχομεν πρόφραγμα καὶ τὰς τῶν παρὰ τούτοις βασιλέων φιλοτιμίας, τίς οὐ γινώσκει; Μέγιστον δὲ τούτου σημεῖον· ἅμα γὰρ τῷ Γαλάτας καταφρονῆσαι Μακεδόνων, νικήσαντας Πτολεμαῖον, τὸν Κεραυνὸν ἐπικαλούμενον, εὐθέως καταγνόντες τῶν ἄλλων ἦκον οἱ περὶ Βρέννον εἰς μέσην τὴν Ἑλλάδα μετὰ τῆς δυνάμεως. ὃ πολλάκις ἂν συνέβαινε γίγνεσθαι, μὴ προκαθημένων Μακεδόνων. Οὐ μὴν, ἀλλὰ περὶ μὲν τῶν γεγονότων ἔχων πολλὰ λέγειν, ἀρκεῖν ἡγοῦμαι. Τῶν δὲ Φιλίππῳ πεπραγμένων, εἰς ἀσέβειαν ὠνείδισαν τὴν τοῦ ναοῦ καταφθοράν· οὐ προθέντες τὴν αὐτῶν ὕβριν καὶ παρανομίαν, ἣν ἐπετελέσαντο περὶ τοὺς ἐν Δίῳ καὶ Δωδώνῃ ναοὺς καὶ τὰ τεμένη τῶν θεῶν.

XXXV. 3. τὰς τῶν παρὰ. *Articulum* τῶν, *quem ignorant vulgo omnes, adjeci ex Reiskii conjectt.*

ritate cum barbaris dimicando omne pæne ævum continuo transigunt? Nam, res alioquin Græcorum magnis perpetuo periculis fore expositas, nisi Macedonas *& eorum reges, honestæ laudis cupidine inflammatos,* pro munimento barbaris objectos *haberemus, quis non agnoscit? Atque, id ita esse, argumentum hoc evincit maximum. Simul enim* Galli *Macedonas contemnere cœpissent, post partam de Ptolemæo cognomine Cerauno victoriam; statim, pro nihilo habitis ceteris, mediam in Græciam cum exercitu,* Brenno *duce, penetrarunt: quod sæpius etiam accidisset, nisi terræ Græciæ finibus præsiderent Macedones. Verum de rebus olim gestis quum possem plurima commemorare, hæc satis erit dixisse. At iidem, ut* Philippum *ex rebus, quas gessit, impietatis arguant, templi vastationem ei objiciunt. Nempe vero tacent contumeliam & immanitatem, quam ipsi in urbibus* Dio *&* Dodona *circa deûm ædes ac lucos exercuerunt.*

Digitized by Google

7 „θεῶν. ἐχρῆν δὲ λέγειν τοῦτο πρῶτον. ὑμεῖς δ', ἃ μὲν ἐπάθετε, τούτοις ἐξηγήσασθε, μείζω ποιοῦντες τῶν γεγονότων· ἃ δ' ἐποιήσατε πρότερα, πολλα- A.V.544. adversus Aetolos & Romanos.
2 πλάσια γεγονότα, παρεσιωπήσατε· σαφῶς εἰδότες, ὅτι τὰς ἀδικίας καὶ ζημίας ἅπαντες τοῖς ἄρχουσι χερῶν ἀδίκων ἐπιφέρουσι.

„Περὶ δὲ τῶν κατ' Ἀντίγονον ἕως τούτου βούλο- XXXVI.
μαι ποιήσασθαι τὴν μνήμην, ἕως τοῦ μὴ δόξαι καταφρονεῖν τῶν γεγονότων, μηδ' ἐν παρέργῳ τίθεσθαι
2 τὴν τηλικαύτην πρᾶξιν. Ἔγω γ' εὐεργεσίαν μείζω τῆς ὑπ' Ἀντιγόνου γεγενημένης εἰς ὑμᾶς οὐδ' ἱστορεῖσθαι νομίζω. δοκεῖ γὰρ ἔμοιγε μηδ' ὑπερβολὴν
3 ἐπιδέχεσθαι τὸ γεγονός. Γνοίη δ' ἄν τις ἐκ τούτων. ἐπολέμησε πρὸς ὑμᾶς Ἀντίγονος, καὶ μετὰ ταῦτα παρατα ξάμενος ἐνίκησε· διὰ τῶν ὅπλων ἐγένετο

2. τοῖς ἄρχουσι. ἅπαντες οὐ τοῖς ἄρχουσι Herv. cum libris omnibus. Particulam cum Vrsino delevit Casaub. quæ si a Polybio est, intercidisse post eam verba quædam oportet.

cuerunt. Atqui hæc prius erant commemoranda. Nunc vos, quæ passi estis, apud hos commemorastis, omnia supra veri fidem exaggerantes: quæ priores ipsi feciſtis, & ea quidem multis partibus plura, silentio prætermisistis: quippe satis exploratum vobis erat, omnes mortales & injurias & illata damna iis referre, qui iniquis factis lacessiverunt.

36. Quod vero ad Antigonum spectat & quæ ille gesſit, eorum ego mentionem eatenus faciam, quo ne res tum gestas videar contemnere, aut factum adeo memorabile pro re levi & obiter dicenda ducere. Nam ego certe persuasum habeo, ne relatum quidem esse in literas ullum majus beneficium eo, quod tunc temporis in vos ab Antigono est collatum: quin mihi ea res videtur tanta, ut nullius accessione cumuli posse majorem fieri putem. Sciet hæc ita esse, qui attenderit, quæ jam dicam. Gessit adversus vos Antigonus bellum: deinde in acie signis collatis vos devicit. Armorum vi dominus

Ol. 142. 2. Oratio ad Lacedæmon. pro Macedonibus,

„κύριος τῆς χώρας ἅμα καὶ τῆς πόλεως. ὤφειλε ποιεῖν τὰ τοῦ πολέμου· τοσοῦτον ἀπέσχε τοῦ πρᾶξαί τι καθ' ὑμῶν δεινὸν, ὡς, πρὸς τοῖς ἄλλοις ἐκβαλὼν τὸν τύραννον, καὶ τοὺς νόμους καὶ τὸ πάτριον ὑμῖν ἀποκατέστησε πολίτευμα. ἀνθ' ὧν ὑμεῖς ἐν ταῖς κοιναῖς πανηγύρεσι, μάρτυρας ποιησάμενοι τοὺς Ἕλληνας, εὐεργέτην ἑαυτῶν καὶ σωτῆρα τὸν Ἀντίγονον ἀνεκηρύξατε. Τί οὖν ἐχρῆν ποιεῖν ὑμᾶς; ἐρῶ γὰρ τὸ φαινόμενον, ἄνδρες. ὑμεῖς δ' ἀνέξεσθε· ποιήσω γὰρ τοῦτο νῦν, οὐκ ἀπροσλόγως ἐνειδίσαι βουλόμενος ὑμῖν, ἀλλ' ὑπὸ τῆς τῶν πραγμάτων περιστάσεως ἀναγκαίζόμενος ἐπὶ τῷ κοινῷ συμφέροντι. Τί δὴ μέλλω λέγειν; Ὅτι καὶ κατὰ τὸν προγεγονότα πόλεμον οὐκ Αἰτωλοῖς, ἀλλὰ Μακεδόσιν ἔδει συμμαχεῖν ὑμᾶς· καὶ νῦν, παρακαλουμένους, Φιλίππῳ μᾶλλον, ἢ τούτοις, ἑαυτοὺς προσνέμειν. Νὴ Δί', ἀλλὰ παραβήσεσθε τὰς συνθήκας. Καὶ πότερα δεινό-

mus erat agri pariter vestri & urbis. Debuerat jure belli vobiscum agere. Tantum abfuit ut gravius quidquam in vos consuleret, ut etiam ejecto tyranno (nam alia prætermitto) leges & patriam reipublicæ formam vobis restituerit. Pro quibus beneficiis vos in publicis Græcorum conventibus, ut testes judicii vestri Græcos omnes faceretis, Antigonum *præconis voce declaratis* bene de vobis meritum, & conservatorem vestrum. *Quid ergo faciendum vobis fuit? Dicam equidem, quod sentio, viri Lacedæmonii. Vos vero dicentem feretis; dicam enim, non quo intempestiva oratione probra in vos conjiciam; sed ipsa rerum necessitate coactus, ut in commune consulam. Quid igitur dicturus sum? Ajo, vos & superiore bello cum* Macedonibus *potius, quam cum* Aetolis, *societatem jungere debuisse, & nunc, a Philippo invitatos, illi, non Aetolis adhærere vos debere. At,* contra fœdus & conventa feceritis, *dicet aliquis. Utrum vero*

„δεινότερον ἂν ποιήσετε; τὰ κατ' ἰδίαν πρὸς Αἰτω- A.V.544.
λοὺς ὑμῖν συγκείμενα δίκαια παριδόντες; ἢ τὰ πάν- adversus
των τῶν Ἑλλήνων ἐναντίον ἐν στήλῃ γεγονότα καὶ Aetolos
καθιερωμένα; Πῶς δὲ τούτους ἀθετεῖν εὐλαβεῖσθε, & Roma-
παρ' ὧν οὐδεμίαν προεσλήφατε χάριν; Φίλιππον δὲ nos.
καὶ Μακεδόνας οὐκ ἐντρέπεσθε, δι' οὓς ἔχετε καὶ τοῦ
νῦν βουλεύεσθαι τὴν ἐξουσίαν; Ἢ τὸ μὲν τοῖς Φίλοις
τὰ δίκαια ποιεῖν ἀναγκαῖον ἡγεῖσθε; * * Καὶ μὴν
οὐχ οὕτως ὅσιόν ἐστι τὸ τὰς ἐγγράπτους πίστεις
βεβαιοῦν, ὡς ἀνόσιον τὸ τοῖς σώσασι πολεμεῖν· ἃ
νῦν Αἰτωλοὶ πάρεισιν ὑμᾶς ἀξιοῦντες.

„Οὐ μὴν, ἀλλ' εἰρήσθω μέν μοι ταῦτα, κρινέσθω XXXVII.
δὲ παρὰ τοῖς φιλοτιμότερον διακειμένοις, ἐκτὸς εἶναι
τῶν ἐνεστώτων. ἐπὶ δὲ τὸ συνέχον, ὡς οὗτοί φασιν,

L 5 ἐπάνι-

XXXVI. 11. * * *Exciderunt verba* τοῖς δ' εὐεργέταις οὐ; *aut alia nonnulla in eamdem sententiam.*

XXXVII. 1. ὡς οὗτοί φασιν *Casaubono debetur. Mendose* ὡς ὑπόφασιν *Herv. cum mss.*

vero gravius a vobis fuerit admissum peccatum? si factorum privatim cum Aetolis pactorum jura contemseritis? aut, si illa, quæ in oculis universæ Græciæ fuerunt columnæ inscripta, & in æternam memoriam sacrata? Quid est porro, cur his fidem mutare vereamini, quorum nulla prius exstiterunt in vos beneficia: ad Philippum & Macedones *nullum habeatis respectum, quibus id ipsum debetis, quod de hisce rebus deliberandi facultatem etiamnunc habetis? An ita estis animati, ut erga amicos quidem justitiam servare necessarium ducatis; [erga eos, qui salutis vobis auctores exstiterunt, non item?] At non est profecto tam pium, leges pactorum scriptas servare, quam est impium, contra servatores suos bellare; quod quidem nunc a vobis postulantes adsunt Aetoli.*

37. *Verum & mihi licuerit hæc dixisse, & si quis severior adest censor, liceat illi pariter aliena a præsenti deliberatione hæc eadem judicare: ad ipsum* rei caput, *ut quidem isti autumant, jam redeo.*

Digitized by Google

Ol.142.2. Oratio ad Lacedæmon. pro Macedonibus,

„ἐπάνιμεν. τοῦτο δ' ἦν· εἰ μὲν ὅμοια εἴη τὰ πράγ-2
ματα νῦν, καὶ καθ' οὓς καιροὺς ἐποιεῖσθε τὴν πρὸς
τούτους συμμαχίαν· διότι δεῖ μένειν καὶ τὴν ὑμε-
τέραν αἵρεσιν ἐπὶ τῶν ὑποκειμένων· ταῦτα γὰρ ἐν
ἀρχαῖς εἶναι. εἰ δ' ὁλοσχερῶς ἠλλοίωται· διότι δί-3
καιόν ἐστι καὶ νῦν ὑμᾶς ἐξ ἀκεραίου βουλεύεσθαι πε-
ρὶ τῶν παρακελευομένων. Ἐρωτῶ τοιγαροῦν ὑμᾶς,4
ὦ Κλεόνικε καὶ Χλαινέα, τίνας ἔχοντες συμμάχους
τότε παρεκαλεῖτε τούτους εἰς τὴν κοινοπραγίαν;
ἆρ' οὐ πάντας Ἕλληνας; Τίσι δὲ νῦν κοινωνεῖτε τῶν5
ἐλπίδων; ἢ πρὸς ποίαν παρακαλεῖτε τούτους συ-
μμαχίαν; ἆρ' οὐ πρὸς τὴν τῶν βαρβάρων; Ὁμοιά6
γε δοκεῖ τὰ πράγματα ὑμῖν ὑπάρχειν νῦν καὶ πρό-
τερον; ἀλλ' οὐ τἀναντία; Τότε μὲν γὰρ ὑπὲρ ἡγε-7
μονίας καὶ δόξης ἐφιλοτιμεῖσθε πρὸς Ἀχαιοὺς καὶ
Μακεδόνας ὁμοφύλους, καὶ τὸν τούτων ἡγεμόνα Φί-
λιππον·

2. ταῦτα γὰρ ἐν ἀρχαῖς. Placet Reiskii conjectura, τοῦτο γὰρ ἐναργὲς εἶναι, quam in verſ. lat. expreſſi. 6. ὁμοιά γε. Verſ. ὅμοια δὲ. 7. ἡγεμονίας. ἡγεμονείας Ang. Regii, Veſont.

redeo. *Id autem erat:* ſi quidem res Græciæ in eodem nunc ſint ſtatu, quo tunc erant, quando ſocietatem cum Aetolis feciſtis; manifeſtum eſſe, vos etiam in eodem manere debere propoſito. Sin eſt univerſa rerum Græciæ facies immutata; æquum eſſe, ut & vos de iis, quæ petuntur a vobis, deliberationem ceu rebus integris inſtituatis. *Vos ergo dicite mihi, Cleonice & Chlænea: ecquos tunc ſocios habebatis, quando Lacedæmonios ad conſilia vobiscum conſocianda hortabamini? nonne Græcos omnes? Nunc vero quibuscum ſpes veſtras habetis junctas, aut ad quam ſocietatem hoſce invitatis? nonne ad ſocietatem cum* barbaris *ineundam? Quid ergo? idem eſt nunc videlicet rerum ſtatus atque ante? annon potius in contrarium vertit? Tunc enim de principatu & gloria contendebatis cum ejusdem linguæ & generis hominibus, Achæis & Macedonibus, & duce horum Phi-*

Digitized by Google

„λιππον· νῦν δὲ περὶ δουλείας ἐνίσταται πόλεμος τοῖς Ἕλλησι πρὸς ἀλλοφύλους ἀνθρώπους· οὓς ὑμεῖς δοκεῖτε μὲν ἐπισπᾶσθαι κατὰ Φιλίππου, λελήθατε δὲ κατὰ σφῶν αὐτῶν ἐπεσπασμένοι, καὶ κατὰ πάσης Ἑλλάδος. Ὥσπερ γὰρ οἱ κατὰ τὰς πολεμικὰς περιστάσεις βαρυτέρας ἐπαγόμενοι φυλακὰς εἰς τὰς πόλεις τῆς αὐτῶν δυνάμεως, χάριν τῆς ἀσφαλείας, ἅμα τὸν ἀπὸ τῶν ἐχθρῶν ἀπωθοῦνται φόβον, καὶ ποιοῦσιν ὑποχειρίους σφᾶς αὐτοὺς ταῖς τῶν φίλων ἐξουσίαις· τὸν αὐτὸν τρόπον καὶ νῦν Αἰτωλοὶ διαγοοῦνται. Βουλόμενοι γὰρ περιγενέσθαι Φιλίππου, καὶ ταπεινῶσαι Μακεδόνας, λελήθασιν αὐτοῖς ἐπισπασάμενοι τηλικοῦτο νέφος ἀπὸ τῆς ἑσπέρας, ὃ κατὰ μὲν τὸ παρὸν ἴσως πρώτοις ἐπισκοτήσει Μακεδόσι, κατὰ δὲ τὸ συνεχὲς πᾶσιν ἔσται τοῖς Ἕλλησι μεγάλων κακῶν αἴτιον.

A.V.544. adversus Aetolos & Romanos.

„Ἅπαν-

10. λελήθασιν αὐτοῖς. αὐτοὺς ed. Casaub. & seqq. invitis mss.

Philippo: nunc de servitute Græcorum eo bello agitur, quod illis jam imminet adversus hostem alienigenam: *quem quum ad oppugnandum Philippum videamini advocasse, re vera, etsi non intelligitis, in vestram & totius Græciæ perniciem accivistis. Quemadmodum enim ii, qui per bellorum necessitates securitatis suæ caussa præsidia in urbes suas arcessunt suis ipsorum viribus validiora, eadem opera & ab hostium metu se liberant, & amicorum potentiæ sese subjiciunt: eodem modo nunc* Aetoli *sibi consulunt. Dum omni studio id agunt, ut* Philippum *superent, & Macedones humiliores infirmioresque redigant; non animadvertunt, eam ipsosmet adversus sese nubem attrahere ab occidente, quæ in præsentia quidem in primos fortasse Macedonas incumbet, mox vero, ulterius semper progrediens, Græcis cunctis magnorum malorum caussa existet.*

38. *Et*

Digitized by Google

Ol. 112. 2. XXXVIII. Oratio ad Lacedæmon. pro Macedonibus,

„Ἅπαντας μὲν οὖν δεῖ τοὺς Ἕλληνας προϊδέσθαι τὸν ἐπιφερόμενον καιρὸν, μάλιστα δὲ Λακεδαιμονίους. Ἐπεὶ, τίνος χάριν ὑπολαμβάνετε τοὺς ὑμετέρους προγόνους, ἄνδρες Λακεδαιμόνιοι, καθ' οὓς καιροὺς ὁ Ξέρξης ἀπέστειλε πρεσβευτὴν πρὸς ὑμᾶς, ὕδωρ καὶ γῆν αἰτούμενος, ἀπώσαντας εἰς τὸ φρέαρ τὸν παραγεγονότα, καὶ προσεπιβάλλοντας τῆς γῆς, κελεύειν ἀπαγγεῖλαι τῷ Ξέρξῃ, διότι παρὰ Λακεδαιμονίων ἔχει τὰ κατὰ τὴν ἐπαγγελίαν, ὕδωρ καὶ γῆν; τίνος πάλιν ἐθελοντὴν καὶ προδήλως ἐξερμᾶν ἀποθανουμένους τοὺς περὶ Λεωνίδην; Ἆρ' οὐχ ἵνα δόξωσι μὴ μόνον τῆς αὐτῶν, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας προκινδυνεύειν; Ἄξιόν γε, τοιούτων ἀνδρῶν ἀπογόνους ὑπάρχοντας, κἄπειτα νῦν συμμαχίαν ποιησαμένους τοῖς βαρβάροις, στρατεύειν μετ' ἐκείνων καὶ πολεμεῖν Ἠπειρώταις, Ἀχαιοῖς,

XXXVIII. 3. ἐθελοντὴν. ἐθελοντὶ Herveg. cum Med. 4. ὑπὲρ τῆς ex conject. scripsi, pro vulgato περὶ. Casaubonus non solum περὶ servavit, sed & paulo ante περὶ τῆς αὐτῶν posuit, ubi præpositionem ignorant codices. 5. Ἄξιόν γε ex Reiskii conject. adscivi. Vulgo omnes ἐξόν γε.

38. *Et oportet quidem Græcos omnes ingruentem providere tempestatem; omnium vero maxime Lacedæmonios. Cedo enim*, viri Lacedæmonii, *cujus rei gratia putatis majores vestros, quo tempore* Xerxes *legatum ad eos miserat*, aquam & terram *poscentem, in puteum detrusisse hunc qui venerat, &, terra insuper injecta, jussisse*, Xerxi ut referret, consecutum se esse a Lacedæmoniis postulata, aquam & terram? *Cujusnam item rei gratia ultro ad mortem manifestam esse profectos* Leonidam *& qui eum secuti sunt? Nonne, ut omnes intelligerent, ipsos non pro sua duntaxat, verum pro Græciæ totius libertate primos pericula adire? Dignum est scilicet vobis, qui talibus prognati estis majoribus, ut societatem nunc cum barbaris ineatis, & communi cum ipsis expeditione suscepta, bellum*

insc-

Digitized by Google

„Ἀχαιοῖς, Ἀκαρνάσι, Βοιωτοῖς, Θετταλοῖς, σχεδὸν A V. 544. adversus Aetolos & Romanos.
πᾶσι τοῖς Ἕλλησι, πλὴν Αἰτωλῶν. Τούτοις μὲν οὖν ἔθος ἐστὶ, ταῦτα πράττειν, καὶ μηδὲν αἰσχρὸν νομίζειν, εἴ γε μόνον πρόσεστι τὸ πλεονεκτεῖν· οὐ μὴν ὑμῖν. Καὶ τί δή ποτε προσδοκᾶν δεῖ τούτους ἀπεργασομένους, ἐπεὶ τὴν Ῥωμαίων προσεπιλήψασι συμμαχίαν; οἵ γε τῆς Ἰλλυριῶν ἐπιλαβόμενοι ῥοπῆς καὶ βοηθείας, κατὰ μὲν θάλατταν βιάζεσθαι καὶ παρασπονδεῖν ἐπεβάλοντο Πύλον· κατὰ δὲ γῆν ἐπολιόρκησαν μὲν τὴν Κλειτωρίων πόλιν, ἐξηνδραποδίσαντο δὲ τὴν τῶν Κυναιθέων. καὶ πρότερον μὲν Ἀντιγόνῳ, καθάπερ ἐπάνω προεῖπον, ἐποιήσαντο συνθήκας οὗτοι περί τε τοῦ τῶν Ἀχαιῶν καὶ τοῦ τῶν Ἀκαρνάνων ἔθνους· νῦν δὲ πεποίηνται πρὸς Ῥωμαίους κατὰ πάσης τῆς Ἑλλάδος.

„A

6. ἔ γε μόνον. γε caret Herv. & codd. Regii, Vesont. Tubing. Intra lineas habet Aug. Et abesse facile patiar. 7. ἀπεργασομ. ἀπεργασαμένους Hervag. cum mrtis. Ibid. προσεπιλήψασι. προσεπιλήψασι iidem. 8. οἵ γε. οἱ δὲ dant iidem libri. 9. περί τε. κατά τε malucrat Reiskius.

inferatis Epirotis, Achæis, Acarnanibus, Bœotis, Theſſalis, cunctis denique Græcis, præterquam Aetolis. Atqui horum quidem mos eſt, ita facere, neque turpe quidquam ducere, unde modo poſſint ipſi cum alieno detrimento quæſtum aliquem parare: vobis ea conſuetudo non eſt. Enimvero quid deſignaturos iſtos putes, poſtquam Romanorum ſocietate ſunt auſti? qui, poſtquam ex Illyrico ſubſidii acceſſionem nacti erant, mari Pylum per vim tentare contra jus & omne fas ſunt auſi, terra autem Clitoriorum urbem expugnarunt, Cynæthenſium vero etiam haſtæ ſubjecerunt? Et quum antea ad evertendas Achæorum & Acarnanum gentes cum Antigono, ut jam dixi, fœdus ſanxerint: nunc icerunt cum Romanis in Græciæ totius perniciem.

39. *Hæc*

Ol. 142. 2. XXXIX. Oratio ad Lacedæmon. pro Macedonibus,

„Ἄ τίς οὐκ ἂν πυθόμενος ὑπίδοιτο μὲν τὴν Ῥωμαίων ἔφοδον, μισήσαι δὲ τὴν Αἰτωλῶν ἀπόνοιαν, ὅτι τοιαύτας ἐθάῤῥησαν ποιήσασθαι συνθήκας; Ἤδη παῤῃρηνται μὲν Ἀκαρνάνων Οἰνιάδας καὶ Νῆσον· κατέσχον δὲ πρώην τὴν τῶν ταλαιπώρων Ἀντικυρέων πόλιν, ἐξανδραποδισάμενοι μετὰ Ῥωμαίων αὐτήν. καὶ τὰ μὲν τέκνα καὶ τὰς γυναῖκας ἀπάγουσι Ῥωμαῖοι, πεισόμενα δηλονότι ἅπερ εἰκὸς ἐστι πάσχειν τοῖς ὑπὸ τὰς τῶν ἀλλοφύλων πεσοῦσιν ἐξουσίας· τὰ δ' ἐδάφη κληρονομοῦσι τῶν ἠτυχηκότων Αἰτωλοί. Καλόν γε, ταύτης τῆς συμμαχίας μετασχεῖν κατὰ προαίρεσιν, ἄλλως τε καὶ Λακεδαιμονίους ὑπάρχοντας; οἵ γε Θηβαίους, τοὺς κατ' ἀνάγκην ἡσυχίαν ἄγειν βουλευσαμένους μόνους τῶν Ἑλλήνων κατὰ τὴν τῶν Περσῶν ἔφοδον, ἐψηφίσαντο δεκατεύσειν τοῖς θεοῖς, κρατήσαντες τῷ πολέμῳ τῶν

XXXIX. 4. κατὰ προαίρεσιν. Vulgo καὶ κατὰ προαίρ. edd. & mss; unde καὶ ταῦτα κατὰ προαίρ. *Suspicatus est Reiskius.* Mihi per errorem huc irrepsisse *visa est* partic. καί, quæ post ἄλλως τε desideratur in mss & ibi a Casaub. recte adjecta est.

39. *Hæccine poterit aliquis audire, ut non statim adventum* Romanorum *suspectum habeat;* Aetolorum *vero perditam audaciam, qui hujuscemodi facinora fecerunt, non oderit? Et hi quidem jam Acarnanibus* Oeniadas *ademerunt, atque* Nasum: *nuperetiam infelicium* Anticyrensium *oppidum, postquam ipsos a Romanis adjuti sub jugum misissent, sibi detinuerunt: & liberos quidem ac mulieres Romani abducunt, ut ea videlicet patiantur, quæ consentaneum est illos pati qui in potestatem alienigenarum hostium devenerunt: solum atque tecta miserorum Aetoli possident. Honesta sane res, huic societati deliberatò sese adjungere;* Lacedæmonios *præsertim! nempe eos, qui olim, quod soli ex omnibus Græcis* Thebani, *Xerxe Græciam invadente, quiescendum sibi esse necessitate adacti statuissent,* decimam ex illis, *simul atque profligatum esset contra barbaros bellum,* diis se consecraturos, *decreverunt.*

Digitized by Google

6 „τῶν βαρβάρων. Καλὸν μὲν οὖν, ὦ ἄνδρες Λακεδαιμόνιοι, καὶ πρέπον ὑμῖν ἐστι, τὸ, μνησθέντας μὲν τῶν προγόνων, εὐλαβηθέντας δὲ τὴν Ῥωμαίων ἔφοδον, ὑποδομένους δὲ τὴν Αἰτωλῶν κακοπραγμοσύνην, τὸ δὲ μέγιστον, τῶν ἐξ Ἀντιγόνου γεγονότων μνησθέντας, ἔτι καὶ νῦν μισοπονηρῆσαι, καὶ τὴν μὲν Αἰτωλῶν ἀποστραφῆναι φιλίαν, Ἀχαιοῖς δὲ καὶ Μα- 7 κεδόσι κοινωνῆσαι τῶν αὐτῶν ἐλπίδων. εἰ δ' ἄρα πρὸς τοῦτό τινες ἀντιπράττουσι τῶν πλεῖον δυναμένων παρ' ὑμῖν, πρός γε τὴν ἡσυχίαν ὁρμήσατε, καὶ μὴ μετάσχητε τῆς τούτων ἀδικίας." A.V.544. adversus Aetolos & Romanos.

✻ ✻ ✻

Τὸ γὰρ τοιοῦτον ἦθος ἀεὶ βούλεται διαφυλάττειν ἡ τῶν Ἀθηναίων πόλις. XL.

Προθυ-

6. κακοπραγμοσύνην. κακοπραγίαν *Herv. Ang. Regii, Veſont. Tubing.*

runt. Quin illud potius honeſtum vobis, Spartani, *& decorum fuerit, ut memores majorum veſtrorum, adventum* Romanorum *in has oras caventes, malam* Aetolorum *mentem habentes ſuſpectam, quodque eſt omnium maximum, merita in vos Antigoni revocantes in memoriam, nunc quoque, ut olim, improbos homines vobis eſſe odio, probetis, & repudiata Aetolorum amicitia, cum* Achæis *ac* Macedonibus *ſpes & conſilia conſocietis. Sin autem inter vos reperiuntur ex iis, qui plurimum poſſunt, qui huic ſententiæ refragentur; ad quietem certe animos convertite, neque iſtorum iniquitatis participes velitis eſſe.*

✻ ✻ ✻

40. Talem enim morem ſemper ſervare amant Athenienſes. (*Ora Cod. Vrb.*)

Propen-

Digitized by Google

Ol. 142. 2.

✻ ✻ ✻

Auxilium tardum, inutile.

Προθυμίαν γὰρ φίλων, συμφόρως μὲν γιγνομέ-2 νην, μεγάλην παρέχεσθαι χρείαν· ἐφελκομένην δὲ καὶ καθυστεροῦσαν, τελέως ἀνωφελῆ ποιεῖν τὴν ἐπικουρίαν. εἴπερ οὖν βούλονται μὴ τοῖς ῥήμασι μόνον, 3 ἀλλὰ καὶ τοῖς ἔργοις τηρεῖν τὴν πρὸς αὐτοὺς συμμαχίαν· * * *

✻ ✻ ✻

Acarnanum desperata conjuratio.

Οἱ δὲ Ἀκαρνᾶνες, πυνθανόμενοι τὴν τῶν Αἰτω-4 λῶν ἔφοδον ἐπὶ σφᾶς, τὰ μὲν ἀπαλγοῦντες τοῖς ἐλπίσι, τὰ δὲ καὶ θυμομαχοῦντες, ἐπί τινα παράστασιν κατήντησαν. * Εἰ δέ τις λειπόμενος μὴ θά-5 νοι, φύγοι δὲ τὸν κίνδυνον, τοῦτον μήτε πόλει δέχεσθαι, μήτε πῦρ ἐναύειν. περὶ τούτων ἀρὰς ἐποιή-6 σαντο, πᾶσι μὲν, μάλιστα δὲ Ἠπειρώταις, εἰς τὸ μηδένα τῶν φευγόντων δέξασθαι τῇ χώρᾳ.

(II.)

XL. 2. *Vocab.* μεγάλην *perperam abeſt ab edd.* 6. περὶ τούτων. *Fuerat forſan* περί τε τούτων.

✻ ✻ ✻

Propenſam quippe amicorum voluntatem, ſi quidem opportune ſe exſerat, magno ſolere eſſe uſui: ſin autem moram traxerit, & tardius advenerit, inutile prorſus afferre auxilium. Igitur ſi non verbis dumtaxat, ſed & rebus ipſis, initam ſecum ſocietatem ſervare in animo haberent; * * * (*Excerpt. Antiq.*)

✻ ✻ ✻

Acarnanes vero, audita *Aetolorum* adverſus ſe expeditione, partim deſperatione, partim vero odio & ira in hoſtem impulſi, in furioſum quoddam conſilium inciderunt. * Si quis vero victus mortem non oppetiiſſet, ſed periculum fugiſſet, eum ne quis urbe reciperet, nec uſum ignis ei impertiretur. Ac hujus rei cauſſa, adjectis imprecationibus, obteſtati ſunt omnes, præcipue vero Epirotas, ne quis quemquam eorum, qui fugiſſent, intra fines ſuos reciperet. (*Suidas in* Ἀπαλγ. *&* Ἐναύειν.)

(II.)

Digitized by Google

(II.) *Echinum oppugnat Philippus.* A.V.544.

Προσθέμενος δὲ, τῆς πόλεως κατὰ δύο πύργους XLI.
ποιεῖσθαι τὴν προσαγωγήν· κατὰ μὲν τούτους χε- Teſtudi-
λώνας κατεσκεύαζε χωστρίδας καὶ κριούς, κατὰ δὲ nes aggeſtitiæ.
τὸ μεσοπύργιον στοὰν ἐποίει μεταξὺ τῶν κριῶν, Porticus.
παραπλήλον τῷ τείχει. τῆς δὲ προθέσεως συντε-
λουμένης, παραπλήσιος ἦ τῶν ἔργων ἐγίγνετο πρόσ-
οψις τῇ τοῦ τείχους διαθέσει. τὰ μὲν γὰρ ἐπὶ ταῖς Varius
χελώναις κατασκευάσματα, πύργων ἐλάμβανε καὶ apparatus oppugnationis.
φαντασίαν καὶ διάθεσιν ἐκ τῆς τῶν γέρρων συνθέ-
σεως· τὸ δὲ μεταξὺ τούτων, τείχους, τῶν ἀνωτέρω
γέρρων τῆς στοᾶς εἰς ἐπάλξεις τῇ πλοκῇ διῃρημέ-
νων. Διὰ μὲν οὖν τοῦ κάτω μέρους τῶν πύργων,
οἵ τε προσχωννῦντες ταὶς ἀνωμαλίας τῶν τόπων
ἐπὶ

XLI. 3. *πύργων ſcripſi monente Reiskio, cum πύργον darent libri, quod Caſaub. cum Vrſino in πύργου mutavit.* Ibid. *μεταξὺ τούτων, τείχους. Et de hoc Reiskius monuit. Plerique codices τούτου τεῖχος. τούτου τείχους Vrſin. cum Med. Hinc τούτων τοῦ τείχους Caſaub. ex conject.*

(II.) *Excerpt. Antiq. ex Lib.* IX. *Cap.* 34.

41. *Philippo* erat conſilium, ad duas obſeſſæ urbis turres machinas admovere. Itaque ex adverſo illarum turrium *teſtudines foſſis compleudis* arietesque ſtruxit: quantum autem muri inter utramque turrim interjectum eſt, juxta illud inter utrumque arietem *porticum* excitavit, muro parallelam. Quod inceptum poſtquam perfecit, figuram mœnium adſpectus operum referebat. Nam quæ teſtudinibus erant ſuperſtructa, ex ipſa cratium compoſitione turris ſpeciem ac figuram obtinebant: muro autem ſimilis erat porticus illa arietibus interjecta; cujus ſummæ crates, ipſa viminum textura, in modum pinnarum erant diviſæ. In ima igitur parte turrium opus faciebant hi, qui loca inæqualia aggeſta terra com-

Digitized by Google

Ol. 142. 2. ἐπὶ τῷ τῶν ἐσχαρίων ἐφόδῳ τὴν γῆν ἐπέβαλλον· Varius apparatus oppugnationis. ὅ τε κριὸς ἐζωθεῖτο. τὸ δὲ δεύτερον, ὑδρίας καὶ τὰς πρὸς τοὺς ἐμπυρισμοὺς ἔσχε παρασκευάς, καὶ τὰ καταπελτικὰ σὺν τούτοις. ἐπὶ δὲ τοῦ τρίτου, πλῆθος ἀνδρῶν ἐφεστήκει τῶν ἀπομαχομένων πρὸς τοὺς κακοποιοῦντας ἐπιβαλλομένους τὸν κριόν. οὗτοι δ' ἦσαν ἰσοῦψεῖς τοῖς τῆς πόλεως πύργοις. Ἐκ δὲ τῆς μεταξὺ τῶν πύργων στοᾶς ὀρύγματα διπλᾶ προσήγετο πρὸς τὸ μεσοπύργιον. καὶ τρεῖς ἦσαν βελοστάσεις λιθοβόλοις· ὧν ὁ μὲν εἷς ταλαντιαῖος, οἱ δὲ δύο τριακονταμναίους ἐξέβαλλον λίθους. Ἀπὸ δὲ τῆς παρεμβολῆς ὡς πρὸς τὰς χελώνας τὰς χωστρίδας πεποίηντο σύριγγες κατάστεγοι, χάριν τοῦ μήτε τοὺς προσιόντας ἐκ τῆς στρατοπεδείας, μήτε τοὺς ἀπιόντας ἀπὸ τῶν ἔργων βλάπτεσθαι μηδὲν ὑπὸ τῶν ἐκ τῆς πόλεως βελῶν. Ἐν ὀλίγαις δὲ τε-
λέως ἡμέραις συνέβη, καὶ τὴν τῶν ἔργων ἐπιτελε-
σθῆναι

5. ἐμπυρισμοὺς. ἐμπρησμοὺς Casaub.

planabant, quo promoveri baſes poſſent: & ibidem arietes impellebantur. In ſecunda contabulatione hydriæ erant, quæque alia adverſus incendia ſolent comparari: erant ibi & catapultæ. In tertia milites non paucos locarat, ad reſiſtendum iis, qui arietes aliquo maleficio infeſtare aggrederentur: atque hi ſublimitate turres oppidi æquabant. E porticu vero illa, quæ inter geminas turres erat, duos ad murum oppoſitum cuniculos agebat: & erant ibidem tres ſtationes locandis balliſtis; quarum una erat talentaria, reliquæ lapides emittebant xxx librarum. E caſtris vero ad teſtudines aggeſtitias canales ducebant deſuper contecti, ne vel eos, qui e vallo accederent, aut eos, qui ab operibus diſcederent, tela ex urbe miſſa læderent. Sunt autem opera hæc omnia paucis oppido diebus confecta; quod rebus

θῆναι συντέλειαν, διὰ τὸ τὴν χώραν ἀφθόνους ἔχειν A.V.544.
11 τὰς εἰς τοῦτο τὸ μέρος χορηγίας. Οἱ γὰρ Ἐχι- Situs Echini.
ναιεῖς κεῖνται μὲν ἐν τῷ Μηλιεῖ κόλπῳ, τετραμμένοι
πρὸς μεσημβρίαν, κατ' ἀντίπεραν τῆς τῶν Θρονιέων
χώρας· καρποῦνται δὲ γῆν πάμφορον. δι' ἣν αἰτίαν
οὐδὲν ἐνέλιπε τὸν Φίλιππον τῶν πρὸς τὰς ἐπιβο-
12 λάς. Οὐ μὴν, ἀλλὰ, καθάπερ εἶπον, ἐπιτελεσθέν-
των τῶν ἔργων, προσῆγον ἅμα τὰς τῶν ὀρυγμάτων
καὶ μηχανημάτων κατασκευάς.

❧ ❧ ❧

Πόπλιος, ὁ τῶν Ῥωμαίων στρατηγὸς, καὶ Δορί- XLII.
μαχος, ὁ τῶν Αἰτωλῶν· τοῦ Φιλίππου πολιορκοῦν- Echinen-
τος τὴν Ἐχιναιέων πόλιν, καὶ τὰ πρὸς τὸ τεῖχος ses Phi-
καλῶς ἀσφαλισαμένου, καὶ τὰ πρὸς τὴν ἐκτὸς ἐπι- lippo se
φάνειαν τοῦ στρατοπέδου τάφρῳ καὶ τείχει ὀχυρω- tradunt.
2 σαμένου· παραγενόμενοι αὐτοὶ, ὁ μὲν Πόπλιος στό-

M 2 λῳ,

11. Ἐχιναιεῖς correxi. *Vulgo omnes b. l.* Ἐχιναεῖς.
XLII. 1. Ἐχιναίων. Ἐχιναίων *b. l. editum eſt apud Herenem.*
2. παραγενόμ. αὐτοὶ. *Forſan* αὐτοῦ.

bus omnibus ad ejusmodi fabricas neceſſariis illa regio abundat. Sita namque eſt *urbs Echinenſium* ad ſinum Maliacum, vergens in meridiem, ex adverſo ditionis Thronienſium: regio autem eſt omnium, quæ terra proveniunt, ferax: quam ob cauſſam nihil Philippo ad ſua incepta exſequenda deerat. Igitur confectis, ut paullo ante dixi, operibus, ſimul cuniculos agendo, ſimul machinas muro admovendo, oppugnationem aggreſſus eſt.

(*Ex Herone de toleranda & repellenda Obſidione.*)

❧ ❧ ❧

42. *Publius (Sulpicius Galba,)* Romanorum imperator, & *Dorimachus*, dux Aetolorum; quum *Echinenſium* urbem oppugnaret *Philippus*, & tam ab urbe ſecuritati ſuæ probe proſpexiſſet, quam a parte exteriori foſſa ac muro caſtra ſua muniviſſet; Echinum venerunt, Publius cum claſſe, Dorimachus

Digitized by Google

Ol. 142. 2. Varius apparatus oppugnationis.

ἐπὶ τῇ τῶν ἐσχαρίων ἐφόδῳ τὴν γῆν ἐπέβαλλον· ὅ τε κριὸς ἐξωθεῖτο. τὸ δὲ δεύτερον, ὑδρίας καὶ τὰς πρὸς τοὺς ἐμπυρισμοὺς εἶχε παρασκευὰς, καὶ τὰ καταπελτικὰ σὺν τούτοις. ἐπὶ δὲ τοῦ τρίτου, πλῆθος ἀνδρῶν ἐφεστήκει τῶν ἀπομαχομένων πρὸς τοὺς κακοποιεῖν ἐπιβαλλομένους τὸν κριόν. οὗτοι δ' ἦσαν ἰσοϋψεῖς τοῖς τῆς πόλεως πύργοις. Ἐκ δὲ τῆς μετ- 7 αξὺ τῶν πύργων στοᾶς ὀρύγματα διπλᾶ προσήγετο πρὸς τὸ μεσοπύργιον. καὶ τρεῖς ἦσαν βελο- 8 στάσεις λιθοβόλοις· ὧν ὁ μὲν εἷς ταλαντιαῖος, οἱ δὲ δύο τριακονταμναίους ἐξέβαλλον λίθους. Ἀπὸ δὲ 9 τῆς παρεμβολῆς ὡς πρὸς τὰς χελώνας τὰς χωστρίδας πεποίηντο σύριγγες κατάστεγοι, χάριν τοῦ μήτε τοὺς προσιόντας ἐκ τῆς στρατοπεδείας, μήτε τοὺς ἀπιόντας ἀπὸ τῶν ἔργων βλάπτεσθαι μηδὲν ὑπὸ τῶν ἐκ τῆς πόλεως βελῶν. Ἐν ὀλίγαις δὲ τε- 10 λέως ἡμέραις συνέβη, καὶ τὴν τῶν ἔργων ἐπιτελεθῆναι

5. ἐμπυρισμοὺς. ἐμπρησμοὺς Casaub.

planabant, quo promoveri baſes poſſent: & ibidem arietes impellebantur. In ſecunda contabulatione hydriae erant, quaeque alia adverſus incendia ſolent comparari: erant ibi & catapultae. In tertia milites non paucos locarat, ad reſiſtendum iis, qui arietes aliquo maleficio infeſtare aggrederentur: atque hi ſublimitate turres oppidi aequabant. E porticu vero illa, quae inter geminas turres erat, duos ad murum oppoſitum cuniculos agebat: & erant ibidem tres ſtationes locandis balliſtis; quarum una erat talentaria, reliquae lapides emittebant xxx librarum. E caſtris vero ad teſtudines aggeſtitias canales ducebat deſuper contecti, ne vel eos, qui e vallo accederent, aut eos, qui ab operibus diſcederent, tela ex urbe miſſa laederent. Sunt autem opera haec omnia paucis oppido diebus confecta; quod rebus

θῆναι συντέλειαν, διὰ τὸ τὴν χώραν ἀφθόνους ἔχειν A.V.544.
11 τὰς εἰς τοῦτο τὸ μέρος χορηγίας. Οἱ γὰρ Ἐχι- Situs Echini.
ναιεῖς κεῖνται μὲν ἐν τῷ Μηλιεῖ κόλπῳ, τετραμμένοι
πρὸς μεσημβρίαν, κατ' ἀντίπεραν τῆς τῶν Θρονιέων
χώρας· καρποῦνται δὲ γῆν πάμφορον. δι' ἣν αἰτίαν
οὐδὲν ἐνέλιπε τὸν Φίλιππον τῶν πρὸς τὰς ἐπιβο-
12 λάς. Οὐ μὴν, ἀλλὰ, καθάπερ εἶπον, ἐπιτελεσθέν-
των τῶν ἔργων, προσῆγον ἅμα τὰς τῶν ὀρυγμάτων
καὶ μηχανημάτων κατασκευάς.

✲ ✲ ✲

Πόπλιος, ὁ τῶν Ῥωμαίων στρατηγὸς, καὶ Δορί- XLII.
μαχος, ὁ τῶν Αἰτωλῶν· τοῦ Φιλίππου πολιορκοῦν- Echinen-
τος τὴν Ἐχιναιέων πόλιν, καὶ τὰ πρὸς τὸ τεῖχος ses Phi-
καλῶς ἀσφαλισαμένου, καὶ τὰ πρὸς τὴν ἐκτὸς ἐπι- lippo se
φάνειαν τοῦ στρατοπέδου τάφρῳ καὶ τείχει ὀχυρω- tradunt.
2 σαμένου· παραγενόμενοι αὐτοὶ, ὁ μὲν Πόπλιος στό-

λῳ,

11. Ἐχιναιεῖς *correxi. Vulgo omnes b. l.* Ἐχιναεῖς.
XLII. 1. Ἐχιναίων. Ἐχιναίων *b. l. editum est apud Herenem.*
2. παραγενόμ. αὐτοὶ. *Forsan* αὐτοῦ.

bus omnibus ad ejusmodi fabricas neceſſariis illa regio abundat. Sita namque eſt *urbs Echinenſium* ad ſinum Maliacum, vergens in meridiem, ex adverſo ditionis Thronienſium: regio autem eſt omnium, quæ terra proveniunt, ferax: quam ob cauſſam nihil Philippo ad ſua incepta exſequenda deerat. Igitur confectis, ut paullo ante dixi, operibus, ſimul cuniculos agendo, ſimul machinas muro admovendo, oppugnationem aggreſſus eſt.

(*Ex Herone de toleranda & repellenda Obſidione.*)

✲ ✲ ✲

42. *Publius (Sulpicius Galba,)* Romanorum imperator, & *Dorimachus*, dux Aetolorum; quum *Echinenſium* urbem oppugnaret *Philippus*, & tam ab urbe ſecuritati ſuæ probe proſpexiſſet, quam a parte exteriori foſſa ac muro caſtra ſua muniviſſet; Echinum venerunt, Publius cum claſſe, Dorimachus

Digitized by Google

Ol.142.2. λῳ, ὁ δὲ Δορίμαχος πεζικῇ καὶ ἱππικῇ δυνάμει, καὶ προσβαλόντες τῷ χάρακι, καὶ ἀποκρουσθέντες, * τοῦ Φιλίππου μᾶλλον ἰσχυρῶς ἀγωνισαμένου, ἀπελ-3 πίσαντες οἱ Ἐχιναιεῖς παρέδοσαν ἑαυτοὺς τῷ Φιλίππῳ. οὐ γὰρ οἷοί τε ἦσαν οἱ περὶ τὸν Δορίμαχον4 τῇ τῶν δαπανημάτων ἐνδείᾳ ἀναγκάζειν τὸν Φίλιππον, ἐκ θαλάσσης ταῦτα ποριζόμενον.

IX.

RES ASIAE.

Euphrates fluvius.

XLIII. Euphratis natura contraria aliis fluminibus.

Ὁ γὰρ Εὐφράτης τὴν μὲν ἀρχὴν λαμβάνει τῆς συστάσεως ἐξ Ἀρμενίας, διαῤῥεῖ δὲ διὰ Συρίας καὶ τῶν ἐξῆς τόπων, ὡς ἐπὶ Βαβυλωνίαν. καὶ δοκεῖ μὲν εἰς τὴν Ἐρυθρὰν ἐμβάλλειν θάλατταν· οὐ μὴν ἔστι γε τοῦτο. ταῖς γὰρ διώρυξι ταῖς ἐπὶ τὴν χώραν ἀγο-

3. *Ante* τοῦ Φιλίππου *defectus signum adjeci.* Ibid. *Verbum* ἀπελπίσαντες *abeſt ab edito.*

machus cum peditum atque equitum manu, & caſtra Philippi adgreſſi ſunt, ſed ab eodem repulſi. * Quo facto quum *Philippus* acrius etiam inſtaret hoſtibus; deſperantes *Echinenſes*, Philippo ſeſe dediderunt. Dorimachus enim commeatuum inopia cogere Philippum non poterat, cui omnia mari ſubvehebantur.

IX.

Excerpt. Antiq. ex Lib. IX. *Cap.* 35.

43. Amnis *Euphrates*, in Armenia primam originem nactus, mox inde lapſus per Syriam & continuos illi deinceps terrarum tractus, fertur in Babyloniam. Et videtur ille quidem in mare *Erythræum* ſeſe exonerare; verum aliter res habet: prius enim quam in mare oſtium

Digitized by Google

ἀγομέναις προεκδαπανᾶται, πρὶν ἐκβολὴν εἰς θά-
3λατταν πεποιῆσθαι. Διὸ καὶ συμβαίνει, τὴν ὑπεν-
αντίαν φύσιν ἔχειν τοῦτον τοῖς πλείστοις τῶν πο-
ταμῶν. τοῖς μὲν γὰρ ἄλλοις αὔξεται τὸ ῥεῦμα,
καθ' οὓς ἂν πλείους διαφέρονται τόπους· καὶ μέγι-
στοι μέν εἰσι κατὰ τὸν χειμῶνα, ταπεινότατοι δὲ
4κατὰ τὴν ἀκμὴν τοῦ θέρους. οὗτος δὲ καὶ πλεῖστος
γίγνεται τῷ ῥεύματι κατὰ Κυνὸς ἐπιτολήν, καὶ μέ-
γιστος ἐν τοῖς κατὰ Συρίαν τόποις· ἀεὶ δὲ προϊὼν,
5ἐλάττων. αἴτιον δὲ τούτων, ὅτι συμβαίνει, τὴν μὲν
αὔξησιν οὐκ ἐκ τῆς συῤῥύσεως τῶν χειμερινῶν ὄμ-
βρων, ἀλλ' ἐκ τῆς ἀνατήξεως τῶν χιόνων γίγνεσθαι.
τὴν δὲ μείωσιν διὰ τὰς ἐκτροπὰς τὰς ἐπὶ τὴν χώ-
ρεαν, καὶ τὸν μερισμὸν αὐτοῦ τὸν ἐπὶ τὰς ἀρδεύσεις.
6Ἢ καὶ τότε βραδεῖαν συμβαίνει γίγνεσθαι τὴν κο-
μιδὴν τῶν δυναμέων, ἅτε καταγόμων μὲν ὄντων τῶν

A.V.544. Euphratis natura contraria aliis fluminibus.

M 3 πλοίων,

XLIII. 2. πεποιῆσθαι cum Vrſ. correxit Caſaub. Mendoſe πεπαῦσθαι Hervag. cum codd. omnibus. 5. Verbum γίγνεσθαι abeſt ab ed. Hervag. & mſtis noſtris. Adjecit Caſaub. Poſt iſtud verbum delevi ſigna defectus, quæ ibi poſuerat Caſaub.

oſtium immittat, in foſſas per agros ductas exhauritur. Vnde fit, ut ceteris fluminibus contrariam naturam Euphrates habeat. Aliis namque eo auctior eſt alveus, quo plura loca permeant; iidemque per hiemem ſunt altiſſimi, per æſtatis æſtus humillimi. Hic & latiſſime tunc effunditur, quando Canis oritur, & alveum in Syria habet maximum; unde quo longius progreditur, eo fit ipſe minor. Cauſſa, cur hæc contingant, eſt, quod non ex collectione imbrium hibernorum capit ſuos auctus, ſed ex nivibus liquefactis: minuitur autem, dum ab ejus alveo in agros avertuntur ejus aquæ, & ad irrigationes multifariam derivantur. Quæ ratio eſt, quare tempeſtate illa tarde per eum deportatio exercituum expediatur: nam & navigiis deve-

Digitized by Google

Ol.142.2. πλοίων, ταπεινοτάτου δὲ τοῦ ποταμοῦ, καὶ τελέως βραχύ τι συνεργούσης τῆς τοῦ ῥεύματος βίας πρὸς τὸν πλοῦν.

X.

LEGATIO ROMANORVM AD PTOLEMAEVM.

XLIV. Frumentum a Ptolemæo petunt Romani.

Οἱ Ῥωμαῖοι πρεσβευτὰς ἐξαπέστειλαν πρὸς Πτολεμαῖον, βουλόμενοι σίτῳ χορηγηθῆναι, διὰ τὸ μεγάλην εἶναι παρ' αὐτοῖς σπάνιν· ὡς ἂν τοῦ μὲν κατὰ τὴν Ἰταλίαν ὑπὸ τῶν στρατοπέδων ἅπαντος ἐφθαρμένου μέχρι τῶν τῆς Ῥώμης πυλῶν, ἔξωθεν δὲ μὴ γενομένης ἐπικουρίας, ἅτε κατὰ πάντα τὰ μέρη τῆς οἰκουμένης πολέμων ἐνεστώτων, καὶ στρατοπέδων παρακαθημένων, πλὴν τῶν κατ' Αἴγυπτον τόπων.

6. συνεργούσης. συνεργεῖν Hervag. cum mitis: quod si teneamus, addendum verbum δυναμένης.

devehuntur milites, magnis ponderibus onustis, & aquæ fluminis tum maxime humiles sunt, ut ad navigationem conficiendam parum admodum vis fluentis alvei conferat.

X.

Ecloga II. de Legationibus.

44. Legatos ad *Ptolemæum* miserunt *Romani*, ut *frumento* ab eo juvarentur, cujus magna in urbe tum fuit inopia. Nam Italicum frumentum omne ab exercitibus fuerat corruptum usque ad ipsas Romæ portas: e regionibus vero extra Italiam nihil subsidii afferebatur; quum per omnes orbis terrarum partes bellaretur, essentque ubique locorum exercitus dispositi, una Aegypto excepta.

Digitized by Google

3 τόπων. Εἰς γὰρ τοσοῦτο κατὰ τὴν Ῥώμην προεβε- A.V.544.
βήκει τὰ τῆς ἐνδείας, ὥστε τὸν Σικελικὸν μέδιμνον
4 πεντεκαίδεκα δραχμῶν ὑπάρχειν. ἀλλ' ὅμως, τοιαύ-
της οὔσης τῆς περιστάσεως, οὐκ ἠμέλουν τῶν πο-
λεμικῶν.

XI.

VARIA FRAGMENTA MINORA.

* * *

1 Πολύβιος ἐν τῇ ἐννάτῃ τῶν Ἱστοριῶν καὶ ποταμόν XLV.
τινα ἀναγράφει, Κύαθον καλούμενον, περὶ Ἀρσι- Cyathus fluv.
νόην πόλιν Αἰτωλίας.

* * *

2 Ἀρσινόη, πόλις Λιβύης. τὸ ἐθνικὸν Ἀρσινοήτης· καὶ Ἀρσινοεὺς ἐπὶ τῆς Αἰτωλικῆς, ὡς Πολύβιος ἐννάτῃ.

excepta. Eo autem Romæ pervenerat annonæ inopia, ut *medimnus Siculus* drachmis quindenis veniret. Attamen, etiam in hac tanta necessitate, belli curam patres non omittebant.

XI.

* * * * * *

45. 1. Polybius Libro nono Historiarum fluvium etiam quemdam memorat, *Cyathum* nomine, circa Arsinoën oppidum Aetoliæ. (*Athenæus lib.* X. *cap.* 6. *p.* 424.)

2. *Arsinoë*, oppidum Libyæ. Gentile Arsinoëtes; & *Arsinoënsis*, de Aetolico oppido, ut Polybius IX. (*Stephanus Byz.*)

3. *Atella*,

Digitized by Google

* * *

3 Ἄτελλα, πόλις Ὀπικῶν Ἰταλίας, μεταξὺ Καπύης καὶ Νεαπόλεως. τὸ ἐθνικὸν - - Ἀτελλανὸς, ὡς Πολύβιος ἐννάτῃ· Ἀτελλανοὶ παρέδοσαν ἑαυτούς.

* * *

4 Φόρουννα, πόλις Θρᾴκης· Πολύβιος ἐννάτῳ. Τὸ ἐθνικὸν, Φορουννᾶιος.

XLV. 3. Ἄτελλα. *Post hoc Fragmentum, inter Fragmenta a Casaub. & Vrsino ex Stephano Byz. collecta retulit Gronovius alind hujusmodi:* ΣΤΝΙΑ, Θετταλίας πόλις. Πολύβιος ἐννάτῳ. *quod nec apud Casaub. nec apud Vrsinum, nec apud ipsum Stephanum reperire mihi contigit.*

* * *

3. *Atella*, urbs Opicorum Italiæ, inter Capuam & Neapolin. Gentile - - *Atellanus*. Sic Polybius Libro nono: *Atellani sese tradidere.* (*Steph. Byz.*)

* * *

4. *Phorunna*, oppidum Thraciæ: Polybius nono. Gentile, *Phorunnæus.* (*Idem.*)

ΤΗΣ

Digitized by Google

ΤΗΣ ΔΕΚΑΤΗΣ ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.

TARENTVM RECEPTVM A FABIO.

Ol. 142. 3. A. V. 545.

I. Ora inferioris Italiæ importuosa. Portus Tarenti.

Ὄντων γὰρ ἀπὸ τοῦ πορθμοῦ καὶ τῆς Ῥηγίνων πόλεως σταδίων εἰς Τάραντα πλειόνων ἢ δισχιλίων, εἰς τέλος ἀλίμενον ἔναγ συμβαίνει τὴν πλευρὰν τῆς Ἰταλίας ταύτην, πλὴν τῶν ἐν Τάραντι λιμένων· ἢ τέτραπται μὲν ἐς τὸ Σικελικὸν πέλαγος, νεύει δὲ πρὸς τοὺς κατὰ τὴν Ἑλλάδα τόπους, ἔχει δὲ τῶν τε βαρβάρων ἐθνῶν τὰ πολυανθρωπότατα, καὶ τῶν Ἑλληνίδων πόλεων τὰς ἐπιφανεστάτας.

LIBRI DECIMI HISTORIARVM POLYBII RELIQVIAE.

I.

Excerpt. Antiq. ex Lib. X. Cap. I.

Italiæ illa *ora*, quæ a freto Siculo & oppido Rheginorum Tarentum usque per ſtadia amplius bis mille porrigitur, quæque *mari Siculo obverſa* in Græciam vergit, eſt univerſa penitus importuoſa, ſi *Tarentinos portus* excipias. Sunt autem in eo tractu & gentium barbararum populi numeroſiſſimi, & Græcorum hominum urbes nobiliſſimæ. Bruttii nam-

Digitized by Google

Ol. 142. 3. Portuum Tarentinorum opportunitas.

Βρέττιοι γὰρ καὶ Λευκανοὶ, καί τινα μέρη τῶν Δαυνίων, ἔτι δὲ Καλαβροὶ, καὶ πλείους ἕτεροι, τοῦτο τὸ κλίμα νέμονται τῆς Ἰταλίας. ὁμοίως δὲ καὶ τῶν Ἑλληνίδων πόλεων Ῥήγιον, καὶ Καυλωνία, καὶ Λοκροὶ, καὶ Κρότων, ἔτι δὲ Μεταπόντιοι καὶ Θούριοι ταύτην ἐπέχουσι τὴν παραλίαν. ὥστε καὶ τοὺς ἀπὸς Σικελίας καὶ τοὺς ἀπὸ τῆς Ἑλλάδος φερομένους ἐπί τινα τόπον τῶν προειρημένων, κατ' ἀνάγκην ὁρμεῖν ἐν τοῖς τῶν Ταραντίνων λιμέσι, καὶ τὰς ἀμείψεις καὶ τὰς οἰκονομίας πρὸς πάντας τοὺς κατέχοντας ταύτην τὴν πλευρὰν τῆς Ἰταλίας ἐν ταύτῃ ποιεῖσθαι τῇ πόλει. Τεκμήραιτο δ' ἄν τις τοῦ τόπου τὴν εὐκαιρίαν ἐκ τῆς περὶ Κροτωνιάτας γενομένης εὐδαιμονίας. ἐκεῖνοι γὰρ θερινοὺς ἔχοντες ὅρμους, καὶ βραχεῖάν τινα παντελῶς προσαγωγὴν, μεγάλην εὐδαιμονίαν δοκοῦσι περιποιήσασθαι δι' οὐδὲν ἕτερον, ἢ διὰ τὴν τῶν τόπων εὐφυίαν· ἣν οὐδὲ συγκρίνειν ἄξιόν

Tarenti opulentia.

Cap. I. 3. Δαυνίων *monente Gronovio scripsi. Vulgo omnes* Σαυνίτων. 4. Καυλωνία *cum Vrsino correxit Casaub. quum* Καυλώα *darent libri.*

namque, & Lucani, atque *Dauniorum* partes nonnullæ, nec non Calabri, & alii plures hanc Italiæ plagam incolunt. Pariterque e Græcanicis civitatibus eam maris oram obtinent Rhegium, Caulon, Locri, Croton, Metapontum & Thurii. Ita fit, ut neceſſario, quicumque vel e Sicilia vel e Græcia aliquem ex prædictis locis petunt, *Tarentinorum portibus* ſit eis utendum, & in ea urbe permutationes faciendæ, aut alia commercia agitanda cum univerſis illis populis, qui hoc Italiæ latus tenent. Enimvero Tarentum quam opportuno ſit loco ſitum, licet conjicere ex ea opulentia, quam olim *Crotoniatæ* ſunt adepti: qui, quum ſtationes navium æſtivas ſolum & parvum quemdam adpulſum haberent, ingentes tamen ſunt conſecuti opes; non aliam (uti quidem videtur) ob cauſſam, niſi hanc, quod magna eſſet ejus loci opportunitas: quæ tamen ne comparari quidem meretur

7 τάξιόν ἐστι τοῖς Ταραντίνων λιμέσι καὶ τόποις. Τέ- A.V.545.
τακται δὲ καὶ πρὸς τοὺς κατὰ τὸν Ἀδρίαν λιμένας
8 εὐφυῶς καὶ νῦν μέν, ἔτι δὲ μᾶλλον ἦν πρὸ τοῦ. ἀπὸ
γὰρ ἄκρας Ἰαπυγίας ἕως εἰς Σιποῦντα πᾶς ὁ προσ-
φερόμενος ἐκ τῶν ἀντιπέρας, καὶ καθορμιζόμενος πρὸς
τὴν Ἰταλίαν, εἰς Τάραντα ἐποιεῖτο τὴν ὑπερβολήν,
καὶ ταύτῃ συνεχρῆτο τῇ πόλει πρὸς τὰς ἀλλαγὰς
9 καὶ μεταθέσεις οἱονεὶ ἐμπορίῳ. οὐδέπω γὰρ συνέβαινε
10 τότε, τὴν τῶν Βρεντεσινῶν ἐκτίσθαι πόλιν. Διόπερ Fabius
ὁ Φάβιος, ἐν μεγάλῳ τιθέμενος τὴν ἐπιβολήν, τἄλλα Tarentum oppugnat.
παρεὶς, πρὸς ταῦς εἰς τοῦτο τὸ μέρος ἦν ἐπινοίαις.

II.

SCIPIO MITTITVR IN HISPANIAM.

Μέλλοντες ἱστορεῖν τὰ πραχθέντα Ποπλίῳ κατὰ II. Ingenium Scipionis.
τὴν Ἰβηρίαν, συλλήβδην δὲ πάσας τὰς κατὰ τὸν
βίον

8. *Et* Σιποῦντα *correxerunt Vrſ. & Caſaub. cum male* Σιποῦντας *legeretur.* Ibid. *μεταθέσεις. An διαθέσεις*, venditionem? 10. *ἐπιβολὴν recte dedit Reg. E. Ceteri vulgo ὑπερβολήν.*

meretur cum portibus ac ſitu *Tarenti*. Habet autem hæc urbs & nunc quidem opportunitatem reſpectu eorum etiam portuum, qui ad Hadriaticum mare ſunt: ſed majorem olim habuerat. Nam a Iapygio promontorio usque ad Sipontum quisquis ex oppoſitis oris in Italiam tendebat, ut ibi appelleret, Tarentum petebat, & ea urbe tamquam emporio ad permutandas aut transferendas merces utebatur. Nec dum enim conditum erat *Brunduſium*. Propterea *Fabius*, multum intereſſe ratus in *Tarentum* arma convertere, ceteris rebus poſthabitis, in hanc unam curam incubuit.

II.

Excerpt. Valeſian. & deinde Excerpt. Antiq. cap. 2. ſeqq.

2. Dicturi *de rebus a P. Scipione in Hiſpania geſtis*, atque in univerſum de omnibus iis quæ toto vitæ ſpatio confe-

Digitized by Google

Ol. 142. 3. βίον ἐπιτελεσθείσας αὐτῷ πράξεις· ἀναγκαῖον ἡγούμεθα τὸ προεπιστῆσαι τοὺς ἀκούοντας ἐπὶ τὴν αἵρεσιν καὶ φύσιν τοῦ ἀνδρός. τῷ γὰρ σχεδὸν ἐπιφανέστατον αὐτὸν γεγονέναι τῶν πρὸ τοῦ, ζητοῦσι μὲν πάντες εἰδέναι, τίς ποτ' ἦν, καὶ ἀπὸ ποίας φύσεως ἢ τριβῆς ὁρμηθεὶς τὰς τηλικαύτας καὶ τοσαύτας ἐπετελέσατο πράξεις· ἀγνοεῖν δὲ καὶ ψευδοδοξάζειν ἀναγκάζονται, διὰ τὸ τοὺς ἐξηγουμένους ὑπὲρ αὐτοῦ παραπεπαικέναι τῆς ἀληθείας. Ὅτι δέ ἐστιν ὑγιὲς τὸ νυνὶ λεγόμενον ὑφ' ἡμῶν, δῆλον ἔσται διὰ τῆς ἡμετέρας ἐξηγήσεως τοῖς ἐπισημαίνεσθαι δυναμένοις τὰ κάλλιστα καὶ παραβολώτατα τῶν ἐκείνῳ πεπραγμένων. Οἱ μὲν οὖν ἄλλοι πάντες αὐτὸν ἐπιτυχῆ τινα, καὶ τὸ πλεῖον αἰεὶ παραλόγως καὶ ταὐτομάτῳ κατορθοῦντα τὰς ἐπιβολὰς παρεισάγουσι· νομίζοντες, ὡσανεὶ θειοτέρους εἶναι καὶ θαυμαστο-

Scipio non felix solum, sed & prudens.

6

II. 1. προεπιστῆσαι. προσεπιστῆσαι edit. Ernest. 2. τῷ γὰρ ex Valesii emend. adjecit. τὸ γὰρ erat in msto, quod & ex διὰ τὸ γὰρ decurtatum esse potest.

confecit; neceſſarium eſſe duximus, auditorem præmonere de *inſtituto ingenioque* hujus viri. Nam quum pæne omnium ſuperiori memoria celeberrimus exſtiterit; *quis & qualis fuerit, quave indole aut quo rerum uſu præditus tot tantasque res perfecerit*, ſcire omnes quidem cupiunt. Sed coguntur in ignoratione verſari, aut opinione falli, propterea quod, qui de illo viro ſcripſere, multum a veritate aberrarunt. Vere autem hoc a nobis dici, ex narrationis noſtræ ſerie patebit eis, qui pulcerrima & fortiſſima illius facta obſervare æſtimareque poſſunt. Et ſcriptores quidem alii omnes eum inducunt *virum quemdam fortunatum*, & qui pleraque ſua omnia incepta, præter rationem, caſu quodam fortuito ad finem optatum perduxerit. Putant enim, eos, qui tales ſunt, magis eſſe quaſi divinos & majore admira-

Digitized by Google

μαστοτέρους τοὺς τοιούτους ἄνδρας τῶν κατὰ λό- A.V.545.
γον ἐν ἑκάστοις πραττόντων· ἀγνοοῦντες, ὅτι τὸ μὲν
ἐπαινετὸν, τὸ δὲ μακαριστὸν εἶναι συμβαίνει τῶν
7 προειρημένων. καὶ τὸ μὲν κοινόν ἐστι καὶ τοῖς τυχοῦ-
σι, τὸ δ' ἐπαινετὸν μόνον ἴδιον ὑπάρχει τῶν εὐλογί-
στων καὶ φρένας ἐχόντων ἀνδρῶν, οὓς καὶ θειοτά-
τους εἶναι καὶ προσφιλεστάτους τοῖς θεοῖς νομι-
8 στέον. Ἐμοὶ δὲ δοκεῖ Πόπλιος Λυκούργῳ, τῷ τῶν Simile Scipionis & Lycurgi institutum.
Λακεδαιμονίων νομοθέτῃ, παραπλησίαν ἐσχηκέναι
9 φύσιν καὶ προαίρεσιν. οὔτε γὰρ Λυκοῦργον ἡγητέον
δεισιδαιμονοῦντα, καὶ πάντα προσέχοντα τῇ Πυθίᾳ,
συστήσασθαι τὸ Λακεδαιμονίων πολίτευμα· οὔτε Πό-
πλιον ἐξ ἐνυπνίων ὁρμώμενον καὶ κληδόνων, τηλικαύ-
10 την περιποιῆσαι τῇ πατρίδι δυναστείαν. Ἀλλ' ὁρῶν-
τες ἑκάτεροι τοὺς πολλοὺς τῶν ἀνθρώπων οὔτε πα-
ράδοξα

7. ὑπάρχει *correxit Casaub. cum Vrsino.* ὑπάρχειν *Hervag. cum mstis.*
8. Ἐμοὶ δὲ. *Particulam* δὲ, *quæ abest vulgo, inserui cum Reiskio.*
10. οὔτε τὰ παράδοξα *malim cum Reiskio.*

miratione dignos illis, qui singulas suas actiones ratione certa dirigunt. Nimirum ignorant isti, ejusmodi esse illa, quæ diximus, ut propter eorum alterum *laudentur* homines, propter alterum *felices prædicentur:* quorum hoc quidem cuivis vel vulgatissimo homini potest contingere; laude vero dignum esse, proprium est dumtaxat prudentium & cordatorum virorum, qui etiam maxime divini & diis carissimi debent censeri. Enimvero mihi videtur *Scipio*, & natura, & instituto, similitudinem aliquam cum *Lycurgo* Lacedæmoniorum legumlatore habuisse. Nam neque de Lycurgo par est existimare, ipsum adeo fuisse superstitiosum, ut in constituenda Spartanorum republica Pythiæ per omnia adhæreret: neque *Scipio* existimari debet, quum patriæ suæ tantum imperium pararet, e somniis quibusdam aut ominibus pependisse. Sed quod viderent ambo, plerosque mortalium neque ea temere admittere, quæ abhor-

Digitized by Google

Ol. 142. 3. Simile Scipionis & Lycurgi instituti.

ράδοξα προσδεχομένους ῥαδίως, οὔτε τοῖς δεινοῖς τολμῶντας παραβάλλεσθαι χωρὶς τῆς ἐκ τῶν θεῶν ἐλπίδος. Λυκοῦργος μὲν, ἀεὶ προσλαμβανόμενος 11 τοῖς ἰδίοις ἐπιβολαῖς τὴν ἐκ τῆς Πυθίας φήμην, εὐπαραδεκτοτέρας καὶ πιστοτέρας ἐποίει τὰς ἰδίας ἐπινοίας. Πόπλιος δὲ παραπλησίως, ἐνεργαζόμενος 12 ἀεὶ δόξαν τοῖς πολλοῖς, ὡς μετὰ τῆς θείας ἐπιπνοίας ποιούμενος τὰς ἐπιβολὰς, εὐθαρσεστέρους καὶ προθυμοτέρους κατεσκεύαζε τοὺς ὑποτατ̣τομένους πρὸς τὰ δεινὰ τῶν ἔργων. Ὅτι δ' ἕκαστα με- 13 τὰ λογισμοῦ καὶ προνοίας ἔπρατ̣τε, καὶ διότι πάντα κατὰ λόγον ἐξέβαινε τὰ τέλη τῶν πράξεων αὐτῷ, δῆλον ἔσται διὰ τῶν λέγεσθαι μελλόντων.

III. Ἐκεῖνος γὰρ ὅτι μὲν ἦν εὐεργετικὸς καὶ μεγαλόψυχος, ὁμολογεῖται· ὅτι δ' ἀγχίνους καὶ νήπτης, καὶ

10. παραβάλλεσθαι. περιβάλλεσθαι Hervag. cum Ang. Vrb. Med. Regiis tribus, & Veſont. περιβαλέσθαι cod. Peireſc. 12. ἐνεργαζόμενος dedit Reg. E. & alter Med. Ceteri vulgo ἐργαζ.

III. 1. ὅτι δ'. διότι δ' Suidas. Ibid. νήπτης ξῇ διανοίᾳ καὶ περὶ idem.

abhorrent a communibus opinionibus, neque res arduas & periculo junctas audere adgredi, niſi ſpes læti exitus ab aliquo deorum fuerit oſtenſa: & *Lycurgus*, quoties aliquid adgrediebatur, ſententiæ ſuæ auctoritatem oraculi a Pythia editi adjiciendo, efficiebat, ut facilius reciperentur & plus fidei invenirent ſua conſilia; & *Publius* item *Scipio*, multitudinis animis hanc perſuaſionem ſemper adferens, *quaſi cuncta divino adflatu adgrederetur*, confidentiores atque paratiores adverſus periculoſa omnia incepta eos, quibus imperabat, reddebat. Ceterum ſingula ipſum judicio & prudentia egiſſe, omniaque ejus conſilia rationi convenientem exitum ſolita fuiſſe ſortiri, clarum erit ex iis, quæ ſumus dicturi.

3. Et quidem fuiſſe ipſum *liberalem ac magnificum & magnanimum*, nemo homo negat: fuiſſe autem eumdem *ſagacem* & *ſobrium*, quique

Digitized by Google

καὶ τῇ διανοίᾳ περὶ τὸ προτεθὲν ἐντεταμένος, οὐδεὶς A.V.545.
ἂν συγχωρήσειε πλὴν τῶν συμβεβιωκότων καὶ τε-
2θεαμένων ὑπ' αὐγὰς αὐτοῦ τὴν φύσιν. ὧν ἓς ἦν Lælii narratio de
Γάϊος Λαίλιος, ἀπὸ νέου μετεσχηκὼς αὐτῷ παντὸς Scipione.
ἔργου καὶ λόγου μέχρι τελευτῆς· ὁ ταύτην περὶ αὐ-
τοῦ τὴν δόξαν ἡμῖν ἐνεργασάμενος, διὰ τὸ δοκεῖν
εἰκότα λέγειν καὶ σύμφωνα τοῖς ὑπ' ἐκείνου πε-
3πραγμένοις. Ἔφη γὰρ, πρώτην γεγονέναι Ποπλίου Patrem
πρᾶξιν ἐπίσημον, καθ' ὃν καιρὸν ὁ πατὴρ αὐτοῦ servat
τὴν ἱππομαχίαν συνεστήσατο πρὸς Ἀννίβαν περὶ Scipio.
4τὸν Πάδον καλούμενον ποταμόν. τότε γὰρ, ὡς ἔοι-
κεν, ἑπτακαιδέκατον ἔτος ἔχων, καὶ πρῶτον εἰς
ὕπαιθρον ἐξεληλυθὼς, συστήσαντος αὐτῷ τοῦ πα-
τρὸς διαφερόντων ἱππέων σύλαμὸν ἀσφαλείας χά-
ριν, συνθεασάμενος ἐν τῷ κινδύνῳ τὸν πατέρα πε-
ριεσκημμένον ὑπὸ τῶν πολεμίων μετὰ δυοῖν ἢ τριῶν
ἱππέων,

1. συμβεβιωκότων. συμβεβηκότων Herveg. cum codd. noſtris.

quique in iis, quæ propoſuiſſet, mentis nervos contenderet, hoc vero vix aliquis conceſſerit, præter eos, qui cum eo vixerunt, & in clara, ut ajunt, luce ejus indolem ſunt contemplati. Ex eo hominum fuit numero *C. Lælius*, a puero omnium, quæ fecit ille aut dixit, ad ultimum usque diem particeps; qui mihi opinionis hujus de Scipione concipiendæ auctor exſtitit, quum & ſimilia veri mihi videretur loqui, & rebus geſtis ipſius congruentia. Narrabat autem Lælius, *primum a Scipione facinus inſigne* tum eſſe *editum*, quando ejus parens pugnam equeſtrem cum Hannibale ad *Padum*, quem vocant, fluvium pugnavit. Eo namque tempore, annos circiter decem & ſeptem natum, in expeditionem primum tunc profectum, quum ei parens turmam equitum ſpectatæ virtutis adjunxiſſet cuſtodiæ cauſſa; poſtquam in acie patrem ſuum vidiſſet cum duobus aut tribus equitibus

Digitized by Google

Ol. 142. 3. Patrem servat Scipio.

ἱππέων, καὶ τετρωμένον ἐπισφαλῶς, τὰς μὲν ἀρχὰς ἐπεβάλετο παρακαλεῖν τοὺς μεθ' ἑαυτοῦ, βοηθῆσαι τῷ πατρί· τῶν δ' ἐπὶ ποσὸν κατοχῇ ὠδυνόντων; διὰ τὸ πλῆθος τῶν περιεστώτων πολεμίων, αὐτὸς εἰσελάσας παραβόλως δοκεῖ καὶ τολμηρῶς εἰς τοὺς περικεχυμένους. μετὰ δὲ ταῦτα καὶ τῶν ἄλλων 6 ἀναγκαθέντων ἐμβαλεῖν, οἱ μὲν πολέμιοι καταπλαγέντες διέστησαν· ὁ δὲ Πόπλιος ἀνελπίστως σωθεὶς, πρῶτος αὐτὸς τὸν υἱὸν σωτῆρα προσεφώνησε, πάντων ἀκουόντων. Περιγενομένης δ' αὐτῷ τῆς ἐπ' ἀν- 7 δρείᾳ φήμης ὁμολογουμένης διὰ τὴν προειρημένην χρείαν, λοιπὸν ἤδη πάντως αὐτὸν ἐδίδου κατὰ τοὺς ὕστερον καιροὺς εἰς τοὺς κατ' ἰδίαν κινδύνους, ὅταν εἰς αὐτὸν ἀναρτηθεῖεν ὑπὸ τῆς πατρίδος αἱ τῶν ὅλων ἐλπίδες· ὅπερ ἰδιόν ἐστιν οὐ τῇ τύχῃ πιστεύοντος, ἀλλὰ νοῦν ἔχοντος ἡγεμόνος.

Μετὰ

7. *Verbum* ἀναρτηθεῖεν *ex conject. restitui. Vulgo omnes* ἀναγκαεθεῖεν.

tibus ab hoste circumventum, ac gravi etiam vulnere adfectum; ipsum initio quidem comites suos cohortatum esse, ut patri ferrent opem; mox vero, quum isti pavitantes ob multitudinem circumstantium hostium nonnihil cunctarentur, fidenter atque fortiter in hostes circumfusos equum suum egisse. Deinde, quum & reliqui impetum facere essent coacti, territos hostes in diversa abiisse; Publium vero patrem, insperatae salutis potitum, primum omnium, cunctis audientibus, filium *Servatorem suum* salutasse. Ille igitur famam fortitudinis memorato facinore, magno consensu omnium, consecutus, insecutis deinceps temporibus nulli non periculo suum privatim caput objecit, quoties in ipsum spes suas de salute publica patria contulisset: quod sane non ejus est ducis, qui fortunae omnia permittat, verum ejus, qui ratione ac prudentia utatur.

4. Se-

Digitized by Google

Μετὰ δὲ ταῦτα, πρεσβύτερον ἔχων ἀδελφὸν Λεύκιον, καὶ τούτου προσπορευομένου πρὸς τὴν ἀγορανομίαν, ἣν σχεδὸν ἐπιφανεστάτην ἀρχὴν εἶναι συμβαίνει τῶν νέων παρὰ Ῥωμαίοις· ἔθους δ' ὄντος, δύο πατρικίους καθίστασθαι, τότε δὲ καὶ πλεόνων προσπορευομένων· ἐκ πολλοῦ μὲν οὐκ ἐτόλμα μεταπορεύεσθαι τὴν αὐτὴν ἀρχὴν τἀδελφῷ· συνεγλιζούσης δὲ τῆς καταστάσεως, λογιζόμενος ἐκ τῆς τοῦ πλήθους φορᾶς, οὐκ εὐμαρῶς τὸν ἀδελφὸν ἐφιξόμενον τῆς ἀρχῆς, τὴν δὲ πρὸς αὐτὸν εὔνοιαν τοῦ δήμου θεωρῶν μεγάλην ὑπάρχουσαν, καὶ μόνως οὕτως ὑπολαμβάνων καὶκεῖνον καθίζεσθαι τῆς προθέσεως, εἰ συμφρονήσαντες ἅμα ποιήσαιντο τὴν ἐπιβολήν· ἦλθεν ἐπί τινα τοιαύτην ἔννοιαν. Θεωρῶν γὰρ τὴν μητέρα περιπορευομένην τοὺς νεὼς, καὶ θύουσαν τοῖς θεοῖς ὑπὲρ τἀδελφοῦ, καὶ καθόλου μεγάλην προσδοκίαν ἔχουσαν ὑπὲρ τοῦ μέλλοντος, ἧς μόνης ἔμελεν αὐτῷ· (τὸν μὲν γὰρ πατέρα τότε

A.V. 545. IV. Aedilitatem cum fratre petit.

4. Secundum hæc, quum haberet *Publius* fratrem *Lucium*, atque ille peteret ædilitatem, (is est maximus fere honos, qui juveni apud Romanos mandatur;) effetque ea consuetudo, ut duo patricii in ea dignitate constituerentur; initio quidem non est ausus, ejusdem cum fratre magistratus, qui a compluribus etiam aliis tunc petebatur, candidatum se profiteri: verum, adpetente comitiorum die, ex multitudinis studiis intelligens, non facile fratrem honorem illum fore adepturum; se vero cernens pollere apud populum gratia; ratus, non aliter, quam si ambo conjunctim simul petitionem instituissent, fratrem voti sui compotem futurum; rem hujusmodi excogitavit. Videbat matrem circa templa discurrere, diis vota pro fratre facere, & omnino in magna exspectatione esse eventus. Et erat nemo, quem ipse curaret, præter matrem: nam pater eo tempore cum

Ol.142.3. Somnium fingit apud matrem.

τότε πλεῖν συνέβαινεν εἰς Ἰβηρίαν, στρατηγὸν ἀπεσταλμένον ἐπὶ τὰς προειρημένας πράξεις·) οὐ μήν, ἀλλ' ἔφη πρὸς αὐτὴν, ὄνειρον τεθεωρηκέναι δῖς ἤδη τὸν αὐτόν. δοκεῖν γὰρ ἅμα τἀδελφῷ καθεσταμένος ἀγορανόμος, ἀναβαίνειν ἀπὸ τῆς ἀγορᾶς ὡς ἐπὶ τὴν οἰκίαν· ἐκείνην δὲ συναντᾶν αὐτοῖς εἰς τὰς θύρας, καὶ περιπτύξασαν ἀσπάσασθαι. Τῆς δὲ παθούσης τὸ γυναικεῖον πάθος, καί τι προσεπιφθεγξαμένης· εἰ γὰρ ἐμοὶ ταύτην ἰδεῖν γένοιτο τὴν ἡμέραν· βούλει, φησὶ, μῆτερ, πεῖραν λάβωμεν; τῆς δὲ συγκαταθεμένης, ὡς οὐ τολμήσοντος αὐτοῦ, πρὸς δὲ τὸν καιρὸν οἰονεὶ προσπαίζοντος, (καὶ γὰρ ἦν κομιδῇ νέος·) ἠξίου τήβενναν αὐτῷ λαμπρὰν εὐθέως ἑτοιμάσαι. τοῦτο γὰρ ἔθος ἐστὶ τοῖς τὰς ἀρχὰς μετασπορευομένοις.

Καὶ

IV. 5. ἀπεσταλμένον *correxit Casaub.* κατεσταλμένον *Herv. Med. & Aug. a pr manu: sed in hoc punctis subductis notatur litera λ, & super τ est ϑ, ut sit* καθεσταμένον, *& sic est in Reg. F. G. Vesont. & Tubing.* κατεσταμένον *Reg. E.* 8. τολμήσοντος. ὡς οὐ τολμήσαντος *Aug. Reg. E.* ὡς ἀτολμήσαντος *Reg. F. G. Vesont. Tüb.*

claſſe in Hiſpaniam abierat, cum imperio illuc miſſus ad eas res gerendas, quas ante expoſuimus. Igitur tunc matri ſuæ dixit, *bis jam ſe idem ſomnium vidiſſe: Viſum ſibi, ſe una cum fratre ædilem eſſe creatum, &, cum e foro domum redirent, proceſſiſſe ipſam filiis obviam ad fores usque, ibique complexam utrumque eſſe oſculatam.* Quem ſermonem quum illa muliebri cupiditate excepiſſet, atque hæc etiam verba adjeciſſet: *Vtinam quidem illuceſcat dies ille, quo id ego videam! — Vin' tu igitur, mater,* ſubjicit Publius, *ejus rei faciamus periculum?* Adnuente matre, ut quæ eum nequaquam id auſurum putaret, ſed ita ſecum e re nata jocari; (erat enim admodum juvenis;) poſtulat ille, ut *protinus ſibi candida toga paretur.* Solent enim Romani honores petere *candidati.*

5. Et

Digitized by Google

Καὶ τῇ μὲν οὐδ' ἐν νῷ τὸ ῥηθὲν ἦν· ὁ δὲ λαβὼν A.V.545.
πρῶτον λαμπρὰν ἐσθῆτα, κοιμωμένης ἔτι τῆς μη- V.
τρὸς, παρῆν εἰς τὴν ἀγοράν. τοῦ δὲ πλήθους, καὶ Ambo fratres Aediles creantur.
διὰ τὸ παράδοξον, καὶ διὰ τὴν προϋπάρχουσαν εὔ-
νοιαν, ἐκπληκτικῶς αὐτὸν ἀποδεξαμένου, καὶ μετὰ
ταῦτα προελθόντος αὐτοῦ εἰς τὸν ἀποδεδεγμένον
τόπον, καὶ στάντος παρὰ τὸν ἀδελφὸν· οὐ μόνον
τῷ Ποπλίῳ περιθέσαν οἱ πολλοὶ τὴν ἀρχὴν, ἀλλὰ
καὶ ταὐδελφῷ δι' ἐκεῖνον· καὶ παρῆσαν ἐπὶ τὴν οἰ-
κίαν ἀμφότεροι, γεγονότες ἀγορανόμοι. Τῇ δὲ μη-
τρὶ τοῦ πράγματος ἄφνω προσπεσόντος, περιχα-
ρὴς οὖσα, πρὸς τὰς θύρας ἀπήντα, καὶ μετὰ πα-
ραστάσεως ἠσπάζετο τοὺς νεανίσκους. ὥστε τὸν Cum diis colloqui videtur Scipio.
Πόπλιον ἐκ τοῦ συμβαίνοντος δοκεῖν πᾶσι τοῖς προα-
κηκοόσι τῶν ἐνυπνίων, μὴ μόνον κατὰ τὸν ὕπνον,
ἔτι δὲ μᾶλλον ὕπαρ καὶ μεθ' ἡμέραν διαλέγεσθαι τοῖς
θεοῖς. Ὧν οὐδὲν ἦν ἐνύπνιον· ἀλλὰ ὑπάρχων εὐερ-

V. 2. *Pronomen* αὐτοῦ *post* προελθόντος *ex conject. adjeci.*

5. Et mater quidem de ea re nihil cogitabat amplius: at *Scipio*, candida tum primum sumta, priusquam surgeret mater, venit in forum: ubi magna cum admiratione, & propter insi novitatem, & quia jam ante omnibus erat carus, a populo excipitur. Mox vero quum in locum candidatis adsignatum esset progressus, ac fratri adstaret; non ipsi solum populi suffragiis delata est Aedilitas, verum etiam fratri *Lucio* propter ipsum. Ita domum revertuntur *ambo Aediles* renunciati. Qui ut ad matrem repente est adlatus nuncius, lætitia gestiens obviam filiis ad fores progreditur, & repentino exsternata gaudio adolescentes osculatur. Hæc quum ita evenissent; omnibus, qui *Scipionis somnia* prius cognoverant, visus ille est non per somnum modo, sed magis etiam vigilans & interdiu cum diis colloqui. At *somnium* Scipio viderat *nullum*. Sed, qui natura sua esset

Digitized by Google

Ol. 142. 3. Blandus eſt, γετικὸς καὶ μεγαλόδωρος καὶ προσφιλὴς κατὰ τὴν ἀπάντησιν, συνελογίσατο τὴν τοῦ πλήθους πρὸς αὐτὸν εὔνοιαν. λοιπὸν, πρός τε τὸν τοῦ δήμου καὶ τὸν τῆς μητρὸς καιρὸν ἁρμοσάμενος εὐστόχως, οὐ μόνον καθίκετο τῆς προθέσεως, ἀλλὰ καὶ μετά τινος ἐδόκει θείας ἐπιπνοίας αὐτὸ πράττειν. Οἱ γὰρ μὴ δυνάμενοι τοὺς καιροὺς, μηδὲ τὰς αἰτίας καὶ διαθέσεις ἑκάστων ἀκριβῶς συνθεωρεῖν, ἢ διὰ φαυλότητα φύσεως, ἢ δι' ἀπειρίαν καὶ ῥαθυμίαν, εἰς θεοὺς καὶ τύχας ἀναφέρουσι τὰς αἰτίας τῶν δι' ἀγχίνοιαν ἐκ λογισμοῦ καὶ προνοίας ἐπιτελουμένων. Ταῦτα μὲν οὖν εἰρήθω μοι χάριν τῶν ἀκουόντων, ἵνα μὴ συγκαταφερόμενοi ψευδῶς τῇ καθωμιλημένῃ δόξῃ περὶ αὐτοῦ, παραπέμπωσι τὰ σεμνότατα καὶ κάλλιστα τἀνδρὸς, λέγω δὲ τὴν ἐπιδεξιότητα καὶ

sagax & induſtrius.

Φιλο-

9. ψευδῶς τῇ. *Malim* τῇ ψευδῶς καθωμιλ. *ut placuit Reiskio.*

eſſet ad bene faciendum ac de omnibus bene merendum propenſus, & in omnes, in quos incideret, comes atque blandus, populi erga ſe benevolentiam ex ipſa re conjectavit. Itaque ad oblatam ſibi a populo & a matre occaſionem ſeſe ſollerter & acute adcommodans, non ſolum quod propoſuerat effecit; verum etiam, ut *divino quodam adflatus ſpiritu* id egiſſe videretur, eſt conſecutus. Nam qui rerum quarumque occaſiones, cauſſasque & ordinem ac diſpoſitionem exacte perſpicere nequeunt; (ſive id naturæ vitio accidat, ſive quod deſit experientia, aut teneat ſocordia;) ii ad *deos & fortunæ caſus* eorum, quæ ſagaci mente homines ratione & providentia perficiunt, cauſſas referunt. Hæc ego in lectorum gratiam dicta volui, ne pervulgatæ de Scipione opinioni temere adſentientes, quæ fuerunt in hoc viro maxima laude digna & pulcerrima, parum attendant; *ingenii dexteritatem* dico, *& induſtriam.* Verum

10 Φιλοπονίαν. Ἔτι δὲ μᾶλλον ἔσται τοῦτο σύμφανὲς A.V.545.
ἐπ' αὐτῶν τῶν πράξεων.

Οὐ μὴν, ἀλλὰ τότε συνηθροισμένων τῶν δυνά- VI. Milites in Hiſpania cohortatur Scipio.
μεων, παρεκάλει, μὴ καταπεπλῆχθαι τὴν προγε-
2 γενημένην περιπέτειαν· οὐ γὰρ ταῖς ἀρεταῖς ἡττῆ-
σθαι Ῥωμαίους ὑπὸ Καρχηδονίων οὐδέποτε, τῇ δὲ προ-
δοσίᾳ τῇ Κελτιβήρων καὶ τῇ προπετείᾳ, διακλει-
σθέντων τῶν στρατηγῶν ἀπ' ἀλλήλων, διὰ τὸ πι-
3 στεῦσαι τῇ συμμαχίᾳ τῶν εἰρημένων. ὧν ἑκάτερα
νῦν, ἔφη, περὶ τοὺς πολεμίους ὑπάρχειν· χωρὶς γὰρ
ἀπ' ἀλλήλων πολὺ διεσπασμένους στρατοπεδεύειν,
τοῖς τε συμμάχοις ὑβριστικῶς χρωμένους ἅπαντας
ἀπηλλοτριωκέναι, καὶ πολεμίους αὐτοὺς παρεσκευα-
4 κέναι. διὸ καὶ τοὺς μὲν ἤδη διαπέμπεσθαι πρὸς σφᾶς,
τοὺς δὲ λοιποὺς, ὡς ἂν τάχιστα θαῤῥήσωσι, καὶ
διαβάντας ἴδωσι τὸν ποταμὸν, ἀσμένως ἥξειν, οὐχ

VI. 2. *Verba* καὶ τῇ προπετείᾳ, *quæ ſequentibus* vulgo *juncta erant, cum præcedentibus copulavi.*

rum hoc quidem rerum ipſarum, quas geſſit, expoſitio magis etiam arguet.

6. Tunc igitur *Publius* convocatas in unum copias eſt adhortatus, *ne propter acceptam prius cladem terrerentur: non enim virtute Romanos umquam fuiſſe a Pœnis victos; ſed perfidia ac temeritate Celtiberorum, dum imperatores ab ſeſe invicem diſcluſi fuiſſent, eo quod illorum hominum ſocietati fidem haberent. Nunc vero utramque mali cauſſam penes hoſtes exſiſtere: nam diſtractis in diverſiſſimas regiones exercitibus, procul alium ab alio metari caſtra; & ſociorum omnium animos continuis injuriis ipſos a ſe abalienaſſe, atque, ut iidem ſibi hoſtes eſſent, effeciſſe. Idcirco eorum alios jam ſecum per legatos agere; reliquos, ut primum audendi fuerit facultas, & Romanos amnem Iberum tranſiſſe viderint, magna cum alacritate eſſe venturos; non adeo partium*

Ol. 142. 3. Milites hortatur Scipio.

οὕτως εὐνοοῦντας σφίσι, τὸ δὲ πλεῖον, ἀμύνεσθαι σπουδάζοντας τὴν Καρχηδονίων εἰς αὐτοὺς ἀσέλγειαν· τὸ δὲ μέγιστον, στασιάζοντας πρὸς ἀλλήλους τοὺς τῶν ὑπεναντίων ἡγεμόνας, ἄθρους μάχεσθαι πρὸς αὐτοὺς οὐ θελήσειν, κατὰ μέρος δὲ κινδυνεύοντας εὐχειρώτους ὑπάρχειν. Διὸ βλέποντας εἰς ταῦτα, παρεκάλει περαιοῦσθαι τὸν ποταμὸν εὐθαρσῶς. περὶ δὲ τῶν ἐξῆς ἀνεδέχετο, μελήσειν αὐτῷ καὶ τοῖς ἄλλοις ἡγεμόσι. Ταῦτα δ' εἰπὼν, τρισχιλίους μὲν ἔχοντα πεζοὺς καὶ πεντακοσίους ἱππεῖς Μάρκον ἀπέλιπε τὸν συνάρχοντα περὶ τὴν διάβασιν, ἐφεδρεύσοντα τοῖς ἐντὸς τοῦ ποταμοῦ συμμάχοις. αὐτὸς δὲ τὴν ἄλλην ἐπεραίου δύναμιν, ἄδηλον πᾶσι ποιῶν τὴν αὐτοῦ πρόθεσιν. Ἦν γὰρ αὐτῷ κεκριμένον, πράττειν, ὧν μὲν εἶπε πρὸς τοὺς πολλοὺς, μηδέν· προὔκειτο δὲ πολιορκεῖν ἐξ ἐφόδου τὴν ἐν

M. Silanus, collega Scipionis.

5. *Hertag. cum codd. omnibus dat* ἄθρους δὲ μάχεσθαι. *Volueruntque forsan* διαμάχεσθαι. *Conjunctionem delevit Casaub.*

partium Romanarum ſtudio ductos, verum ea potius cupiditate ſtimulatos, ut petulantiam, qua in ipſos Pœni ſunt uſi, ulciſcantur. Poſtremo illud eſſe maximum, quod duces hoſtium, animis inter ſe diſſidentes, ad dimicandum confertis viribus non eſſent inter ſe conſenſuri: carptim autem & per partes bellum gerentes, facile poſſe eos vinci. Hortari igitur omnes, ut hæc cogitantes audenter fluvium trajicerent: ſibi & reliquis ducibus, quæ deinceps eſſent agenda, fore curæ. Hæc locutus, *Marcum (Silanum,)* adjutorem ad res agendas ſibi datum, cum tribus peditum millibus & quingentis equitibus circa amnis trajectum reliquit, ut Romanorum ſociis cis Iberum eſſet præſidio: ipſe ceteras copias fluvium traduxit, magnopere cavens, ne, quo tenderet, mortalium quisquam ſciret. Statuerat enim apud ſe, nihil eorum agere, quæ pro concione dixerat; quum e contrario

Cartha-

Digitized by Google

9 ἐν Ἰβηρίᾳ Καρχηδόνα προσαγορευομένην. Ὃ δὴ καὶ πρῶτον ἄν τις λάβοι καὶ μέγιστον σημεῖον τῆς ὑφ' 10 ἡμῶν ἄρτι ῥηθείσης διαλήψεως. ἔτος γὰρ ἕβδομον ἔχων πρὸς τοῖς εἴκοσι, πρῶτον μὲν ἐπὶ πράξεις αὐτὸν ἔδωκε τελέως παρὰ τοῖς πολλοῖς ἀπηλπισμένας διὰ τὸ μέγεθος τῶν προγεγονότων ἐλαττωμάτων. 11 δεύτερον, δοὺς αὐτὸν, τὰ μὲν κοινὰ καὶ προφαινόμενα πᾶσι παρέλιπε· τὰ δὲ μήτε παρὰ τοῖς πολεμίοις, * * ταῦτ' ἐπενόει καὶ προετίθετο πράττειν. 12 ὧν οὐδὲν ἦν χωρὶς ἐκλογισμῶν τῶν ἀκριβεστάτων.

A.V. 545. Carthaginem Novam oppugnare cogitat Scipio.

Ἔτι μὲν γὰρ ἀπὸ τῆς ἀρχῆς ἱστορῶν ἐν τῇ Ῥώμῃ καὶ πυνθανόμενος ἐπιμελῶς τήν τε προδοσίαν τῶν Κελτιβήρων, καὶ τὸν διαζευγμὸν τῶν ἰδίων στρατοπέδων, καὶ συλλογιζόμενος, ὅτι παρὰ τοῦτο συμβαίνει τοῖς περὶ τὸν πατέρα γενέσθαι τὴν περιπέ-

VII. Prudens Scipionis consilium.

10. *διὰ τὸ μέγεθος. Articulum τὸ, qui abeſt vulgo ab omnibus, adjeci cum Viſino & Reisk.* 11. * * *Supple cum Reiskio μήτε παρὰ τοῖς φίλοις ὑποπτα, aut aliquid ſimile.*

Carthaginem Novam in Hiſpania invaſione repentina oppugnare in animo haberet. Atque hoc ſane primo eodemque maximo argumento poſſit aliquis noſtram de hoc viro ſententiam comprobare, quam paullo ante expoſuimus. *Annum* enim *ſeptimum ſupra viceſimum* agebat *Scipio*, quando primum ejusmodi res in ſe ſuſcepit, quas propter acceptorum detrimentorum magnitudinem omnes prorſus deſperaverant. Deinde, poſtquam his animum adplicuit, vulgaria omnia conſilia, & quorum venire in mentem cuivis poterat, omittens, illa excogitavit, atque iis propoſuit uti, quæ [neque alii duci temere eſſent cognita,] neque hoſtibus ſuſpecta. Quarum rerum nulla eſt, in qua non rationes ſecutus ſit exquiſitiſſimas.

7. Iam initio enim, dum erat adhuc in urbe, ſingula perquirens, & adcurata percontatione intelligens, Celtiberos proditionem feciſſe, & Romanas legiones fuiſſe in diverſa diductas; quum facile inde colligeret, patri patruoque ſuo eam fuiſſe exitii

Ol. 142. 3. Prudens Scipionis consilium.

τειαν· οὐ κατεπέπληκτο τοὺς Καρχηδονίους, οὐδ' 2 ἥττητο τῇ ψυχῇ, καθάπερ οἱ πολλοί. Μετὰ δὲ 3 ταῦτα τοὺς ἐντὸς Ἴβηρος ποταμοῦ συμμάχους ἀκούων μένειν ἐν τῇ πρὸς αὐτοὺς φιλίᾳ, τοὺς δὲ τῶν Καρχηδονίων ἡγεμόνας στασιάζειν μὲν πρὸς σφᾶς, ὑβρίζειν δὲ τοὺς ὑποτεταγμένους· εὐθαρσῶς διέκειτο πρὸς τὴν ἔξοδον, οὐ τῇ τύχῃ πιστεύων, ἀλλὰ τοῖς συλλογισμοῖς. Παραγενόμενός γε μὴν εἰς 4 τὴν Ἰβηρίαν, πάντας ἀνακινῶν, καὶ παρ' ἑκάστου πυνθανόμενος τὰ περὶ τοὺς ἐναντίους, ηὗρισκε τὰς μὲν δυνάμεις τῶν Καρχηδονίων εἰς τρία μέρη διηρημένας· ὧν Μάγωνα μὲν ἐπυνθάνετο διατρίβειν ἐντὸς 5 Ἡρακλείων στηλῶν ἐν τοῖς Κονίοις προσαγορευομένοις, Ἀσδρούβαν δὲ τὸν Γέσκωνος περὶ Τάγου ποταμοῦ στόμα κατὰ τὴν Λυσιτανὴν, τὸν δ' ἕτερον Ἀσδρούβαν πολιορκεῖν τινὰ πόλιν ἐν τοῖς Καρπητανοῖς,

Tres duces Pœnorum.

VII. 4. ἀνακινῶν. *Forf.* ἀνακρίνων, *ut ſuſpicatus erat Caſaub.* 5. περὶ Τάγου *ex Caſauboni & Reisk. conject. correxi. Vulgo omnes* περὶ τὸ τοῦ ποταμοῦ. Ibid. Λυσιτανὴν. Λουσιτάνην *Reg. E. Veſont.*

tii cauſſam; victoria Carthaginienſium nequaquam eſt perculſus, nec fractus animo eſt, quod plerisque acciderat. Deinde vero factus certior, Hiſpanos cis Iberum, Romanorum ſocios, in fide & amicitia manere, duces vero Pœnos & diſcrepare inter ſe, & ſubditis populis contumelioſe facere injuriam; ad ſuſcipiendam expeditionem animo fidenti erat, non ſane fortunæ fidem habens, ſed rationi. In Hiſpaniam autem ut venit, dum omnes explorat, & de rebus hoſtium cunctos ſciſcitatur, copias Carthaginienſium trifariam eſſe diviſas comperit: *Magonem*, e tribus ducibus unum, ultra Herculis columnas in *Coniis* [vel *Cuneis*,] quos vocant, agere accepit: *Aſdrubalem*, *Geſconis* filium, in Luſitania, circa Tagi amnis oſtium: *Aſdrubalem alterum*, aliquod in Carpetania oppidum

Digitized by Google

τανοῖς, οὐδένα δὲ τῶν προειρημένων ἐλάττω δέχ' A.V.545.
6 ἡμερῶν ὁδὸν ἀπέχειν τῆς Καινῆς πόλεως. Νομίζων
οὖν, ἐὰν μὲν εἰς μάχην συνιέναι κρίνῃ τοῖς πολεμίοις,
τὸ μὲν πρὸς πάντας ἅμα κινδυνεύειν τελέως, καὶ
διὰ τὸ προητῆσθαι τοὺς περὶ αὐτοῦ, καὶ διὰ τὸ
7 πολλαπλασίους εἶναι τοὺς ὑπεναντίους· ἐὰν δὲ πρὸς
ἕνα συμβαλεῖν σπεύδων, κἄπειτα, τούτου φυγομα-
χήσαντος, ἐπιγενομένων δὲ τῶν ἄλλων δυνάμεων,
συγκλεισθῇ που, κατάφοβος ἦν, μὴ ταῖς αὐταῖς
Γναίῳ τῷ θείῳ καὶ Ποπλίῳ τῷ πατρὶ περιπέσῃ
8 συμφοραῖς. διὸ τοῦτο μὲν τὸ μέρος ἀπεδοκίμασε.

VIII. Commoditates Carthaginis Novæ.

Πυνθανόμενος δὲ, τὴν προειρημένην Καρχηδόνα μεγίστας μὲν χρείας παρέχεσθαι τοῖς ὑπεναντίοις, μέγιστα δὲ βλάπτειν καὶ κατὰ τὸν ἐνεστῶτα

N 5 πόλε-

6. *Post κινδυνεύειν intercidisse verba ἐπισφαλὲς εἶναι ant his similia suspicatus est Reiskius.* Ibid. *τελέως desideratur in Reg. F. G. & Vesont.* Ibid. *καὶ post τελέως abest a Reg. E.* Ibid. *προητῆσθαι correxit Casaub. προηγῆσθαι Vrb. προηγεῖσθαι Herv. cum ceteris codd.*

pidum premere obsidione: nullum horum minore dierum decem intervallo a *Carthagine Nova* abesse. Ceterum quod ad pugnam cum hoste conferendam adtinet, ita Scipio cogitabat: sive omnes simul adoriretur, rem prorsus periculosam esse, cum propter cladem ab iis acceptam, qui ipsum præcesserant, tum propter multitudinem etiam hostium, quorum exercitus suum multis partibus superabat: sive unum seperatim adgredi properaret, atque ille fuga sibi consuluisset; verebatur, ne, supervenientibus reliquorum copiis, ipse aliquo concluderetur, eademque sibi fortuna eveniret, quam *Cnæus & Publius*, pater patruusque, erant experti. Itaque hoc quidem consilium rejecit.

8. Quum autem intellexisset, *Carthaginem*, de qua diximus, magna hostibus adferre commoda, maxima vero sibi ad præsens bellum detrimenta; omnia sigillatim

Digitized by Google

Ol. 142. 3. Commoditates Carthaginis Novæ.

πόλεμον αὐτὸν, ἐξητάκει τὰ κατὰ μέρος ὑπὲρ αὐτῆς ἐν τῇ παραχειμασίᾳ τῶν εἰδότων. Ἀκούων δὲ 2 πρῶτον μὲν, ὅτι λιμένας ἔχει στόλῳ καὶ ναυτικαῖς δυνάμεσι μόνη σχεδὸν τῶν κατὰ τὴν Ἰβηρίαν, ἅμα δὲ καὶ, διότι πρὸς τὸν ἀπὸ τῆς Λιβύης πλοῦν καὶ πελάγιον διάρμα λίαν εὐφυῶς κεῖται τοῖς Καρχηδονίοις· μετὰ δὲ ταῦτα, διότι καὶ τὸ τῶν χρημάτων 3 πλῆθος καὶ τὰς ἀποσκευὰς τῶν στρατοπέδων ἁπάσας ἐν ταύτῃ τῇ πόλει συνέβαινε τοῖς Καρχηδονίοις ὑπάρχειν, ἔτι δὲ τοὺς ὁμήρους τοὺς ἐξ ὅλης τῆς Ἰβηρίας· τὸ δὲ μέγιστον, ὅτι μάχιμοι μὲν ἄνδρες 4 εἴησαν εἰς χιλίους οἱ τὴν ἄκραν τηροῦντες, διὰ τὸ μηδένα μηδέποτ' ἂν ὑπολαμβάνειν, ὅτι, κρατούντων Καρχηδονίων σχεδὸν ἁπάσης Ἰβηρίας, ἐπινοήσει τις τὸ παράπαν πολιορκῆσαι ταύτην τὴν πόλιν· τὸ δ' ς ἄλλο πλῆθος ὅτι πολὺ μὲν εἴη διαφερόντως ἐν αὐτῇ, πᾶν

VIII. 1. *πόλεμον αὐτὸν. Sic ex Vrſini conject. edidit Caſaub.* αὐτοῦ *Herv. cum mſtis. Forſan debuerunt* τὰ αὐτοῦ. Ibid. εἰδότων *correxi.* εἰλώτων *edd. cum Aug. & Reg. E.* εἰλύτων *Reg. F. G. Veſont.* ἐλώτων *Vrb. Med.*

tim ſuper ea urbe in hibernis exquæſiverat ab eis, qui earum rerum gnari erant. Et compererat primo, unam fere Hiſpaniæ hanc urbem eſſe, quæ & portum claſſi ac copiis nauticis aptum haberet, & ſimul Carthaginienſibus ad trajectum ex Africa per medium mare faciendum quam maxime opportune eſſet ſita; ad hæc, omnem pecuniæ copiam & impedimenta exercituum Punicorum cuncta, obſides item cunctos ex univerſa Hiſpania, ibidem adſervari: &, quod eſt maximum, milites ad mille ſolum eſſe in ea, qui arcem cuſtodirent; quod nemo putaret fieri umquam poſſe, ut, Pœnis totam fere Hiſpaniam obtinentibus, de urbe hac oppugnanda vel ſaltem cogitaret aliquis: ceteram vero multitudinem ingentem quidem eo loci eſſe, ſed eam fere hominum dum-

taxat

Digitized by Google

πᾶν δὲ δημιουργικὸν, καὶ βάναυσον, καὶ θαλαττουργὸν; καὶ πλεῖστον ἀπέχον πολεμικῆς ἐμπειρίας, ὁ κατὰ τῆς πόλεως ὑπελάμβανεν εἶναι, παραδόξου γενομένης ἐπιφανείας. καὶ μὴν οὐδὲ τὴν θέσιν τῆς Καρχηδόνος, οὐδὲ τὴν κατασκευὴν, οὐδὲ τὴν τῆς περιεχούσης αὐτὴν λίμνης διάθεσιν ἠγνόει. διὰ δὲ τινων ἁλιέων τῶν ἐνειργασμένων τοῖς τόποις ἐξητάκει, διότι καθόλου μέν ἐστι τεναγώδης ἡ λίμνη, καὶ βαθὺ κατὰ τὸ πλεῖστον, ὡς δ' ἐπὶ τὸ πολὺ καὶ γίγνεταί τις τοσαύτη ἀποχώρησις καθ' ἡμέραν ἐπὶ δείλην ὀψίαν. Ἐξ ὧν συλλογισάμενος, ὅτι, καθικόμενος μὲν τῆς ἐπιβολῆς, οὐ μόνον βλάψει τοὺς ὑπεναντίους, ἀλλὰ καὶ τοῖς σφετέροις πράγμασι μεγάλην ἐπίδοσιν παρασκευάσει· διαπεσὼν δὲ τῆς προθέσεως, ὅτι δύναται σώζειν τοὺς ὑποταττομένους, διὰ τὸ θαλαττο-

A.V.545. Commoditates Carthaginis Novæ.

Prudens Scipionis consilium

7. ἐπὶ δείλην ὀψίαν. *Vtique ὑπὸ malim cum Reiskio. Post ista verba autem nescio an exciderit nonnihil.*

taxat opificum, & sellulariorum, aut qui nauticam exercerent, & ab omni rei bellicæ peritia quam maxime essent alieni; ut non dubitaret Scipio, si repentino adventu Carthaginienses adoriretur, eam ipsam incolarum turbam nocituram magis urbi, quam præsidio futuram. Sed neque situm *Carthaginis*, neque munitiones, neque naturam stagni oppidum ambientis, ignorabat. Per piscatores namque nonnullos, qui illis in locis artem factitaverant, compertum habebat, palustre in universum esse id stagnum, & plurima sui parte vadosum; maxime vero sub vesperam quotidie ita recedere aquam, ut plane vadosum stagnum fit. Quibus rebus cognitis ita apud se statuebat: si perficeret destinata, non solum hostibus se incommodaturum, sed etiam res suas magnum inde emolumentum esse capturas; sin consequi propositum nequiret, quia tamen in potestate mare haberet, suorum saluti facile se consulturum; modo

Ol.142.3. λατ]οκρατεῖν, ἐὰν ἅπαξ ἀσφαλίσηται τὴν στρατοπεδείαν· (τοῦτο δ' ἦν εὐχερὲς, διὰ τὸ μακρὰν ἀπεσπάσθαι τὰς τῶν ὑπεναντίων δυνάμεις·) οὕτως, ἀφέμενος τῶν ἄλλων, περὶ ταύτην ἐγένετο τὴν παρασκευὴν ἐν τῇ παραχειμασίᾳ.

IX. Perperam fortunæ tribuitur.

Καὶ ταύτην ἔχων τὴν ἐπιβολὴν καὶ τὴν ἡλικίαν, ἣν ἀρτίως εἶπα, πάντας ἀπεκρύψατο χωρὶς Γαΐου Λαιλίου, μέχρι πάλιν αὐτὸς ἔκρινε φανερὸν ποιεῖν. Τούτοις δὲ τοῖς ἐκλογισμοῖς ὁμολογοῦντες οἱ συγγραφεῖς, ὅταν ἐπὶ τὸ τέλος ἔλθωσι τῆς πράξεως, οὐκ οἶδ' ὅπως οὐκ εἰς τὸν ἄνδρα καὶ τὴν τούτου πρόνοιαν, εἰς δὲ τοὺς θεοὺς καὶ τὴν τύχην ἀναφέρουσι τὸ γεγονὸς κατόρθωμα. καὶ ταῦτα χωρὶς τῶν εἰκότων καὶ τῆς τῶν συμβεβιωκότων μαρτυρίας, καὶ διὰ τῆς ἐπιστολῆς, τῆς πρὸς τὸν Φίλιππον, αὐτοῦ τοῦ Scipionis epistola ad Philippum. Ποπλίου σαφῶς ἐκτεθεικότος, ὅτι τούτοις τοῖς ἐκλογισ-

IX. 1. πάλιν. *μέχρι πᾶσιν Casaub. ex conject.* 3. συμβεβιωκότων. *Rursus συμβεβηκότων dant scripti nostri libri omnes.*

do semel, ne castris posset noceri, providisset. Id vero facile erat, hostium copiis tam longo inde spatio submotis. Propterea, omissis rebus aliis, dum in hibernis agebat, ad necessaria huic incepto præparanda studium omne suum contulit.

9. Atque hæc *Scipio* quum moliretur, homo annorum XXVII, ut ante diximus, omnes præter *C. Lælium* celavit, donec rursus censuit ipse faciendum, ut rem aperiret. Tametsi vero convenit inter scriptores historiarum, hæc fuisse *Publii consilia*, certa ratione suscepta; iidem tamen ubi ad eorum exitum narrandum venerunt, nescio qui fiat, ut *diis & fortunæ*, non huic viro & ipsius prudentiæ, rei feliciter confectæ causam adscribant: quum præsertim sententiæ istorum & conjecturæ omnes repugnent, & eorum testimonia, qui una cum eo vixerunt, & quum ipse etiam *Scipio* in ea, quam *ad Philippum* dedit, *epistola* clare

Digitized by Google

λογισμοῖς χρησάμενος, οἷς ἡμεῖς ἀνώτερον ἐξελογισάμεθα, καθόλου τε τοῖς ἐν Ἰβηρίᾳ πράγμασιν ἐπιβάλοιτο, καὶ κατὰ μέρος τῇ τῆς Καρχηδόνος πολιορκίᾳ. Πλὴν τότε γε τῷ μὲν ἐπὶ τοῦ στόλου Γαΐῳ Λαιλίῳ δι' ἀποῤῥήτων ἐντειλάμενος, παρήγγειλε πλέειν ἐπὶ τὴν προειρημένην πόλιν. μόνος γὰρ οὗτος αὐτῷ συνήδει τὴν ἐπιβολήν, καθάπερ ἀνώτερον εἶπον. A.V.545.

Αὐτὸς δὲ, τὰς πεζικὰς δυνάμεις ἀναλαβὼν, ἐποιεῖτο τὴν πορείαν μετὰ σπουδῆς. εἶχε δὲ τὸ μὲν τῶν πεζῶν πλῆθος εἰς δισμυρίους καὶ πεντακισχιλίους, ἱππεῖς δὲ εἰς δισχιλίους καὶ πεντακοσίους. Carthaginem Novam tendit Scipio.

Ἀφικόμενος δὲ ἑβδομαῖος, κατεστρατοπέδευσε κατὰ τὸ πρὸς ἄρκτους μέρος τῆς πόλεως, καὶ περιεβάλλετο κατὰ μὲν τὴν ἐκτὸς ἐπιφάνειαν τῆς στρατοπεδείας τάφρον καὶ χάρακα διπλοῦν ἐκ θαλάττης εἰς θάλατταν, κατὰ δὲ τὴν πρὸς τὴν πόλιν ἁπλῶς οὐδέν· αὐτὴ γὰρ ἡ τοῦ τόπου φύσις ἱκανὴν ἀσφάλειαν αὐτῷ

re expoſuerit, *eas ipſas ſe rationes conſiliorum*, quas ſupra retulimus, *eſſe ſecutum, & in univerſum quando expeditionem hanc in Hiſpaniam ſuſcepit, & particulatim cum de oppugnatione Carthaginis cogitavit.* Vt redeam ad rem, Publius *C. Lælio*, claſſis præfecto, qui, ſicut modo dicebamus, conſilium Scipionis ſolus norat, arcana mandata dederat, jufſeratque eum navigationis curſum verſus prædictam urbem dirigere. Ipſe cum pedeſtribus copiis (erant autem viginti quinque millia peditum, duo millia & quingenti equites;) eodem magnis itineribus contendit. Septimo die ab Ibero *Carthaginem* venit, & ab regione urbis, qua in ſeptemtrionem verſa eſt, caſtra poſuit. His ab tergo foſſam & vallum duplex objecit a mari ad mare: a fronte vero & ea parte, quæ urbem reſpiciebat, nulla prorſus munitio objecta; ipſa quippe loci natura ſatis tuta caſtra a

vi

Ol.142.3. τῷ παρεσκευάζε. Μέλλοντες δὲ καὶ τὴν πολιορκίαν καὶ τὴν ἅλωσιν τῆς πόλεως δηλοῦν, ἀναγκαῖον ἡγούμεθ' εἶναι τὸ καὶ τοὺς παρακειμένους τόπους καὶ τὴν θέσιν αὐτῆς ἐπὶ ποσὸν ὑποδεῖξαι τοῖς ἀκούουσι.

X. Situs Carthaginis Novae. Κεῖται μὲν οὖν τῆς Ἰβηρίας κατὰ μέσην τὴν παραλίαν ἐν κόλπῳ, νεύοντι πρὸς ἄνεμον Λίβα, οὗ τὸ μὲν βάθος ἐστὶν ὡς εἴκοσι σταδίων, τὸ δὲ πλάτος ἐν ταῖς ἀρχαῖς ὡς δέκα· λαμβάνει δὲ διάθεσιν λιμένος ὁ πᾶς κόλπος διὰ τοιαύτην αἰτίαν. νῆσος ἐπὶ τοῦ στόματος αὐτοῦ κεῖται, βραχὺν ἐξ ἑκατέρου τοῦ μέρους εἴσπλουν εἰς αὐτὸν ἀπολείπουσα. ταύτης ἀπαδεχομένης τὸ πελάγιον κῦμα, συμβαίνει, τὸν κόλπον ὅλον εὐδίαν ἴσχειν, πλὴν ἐφ' ὅσον οἱ Λίβες, καθ' ἑκάτερον τὸν εἴσπλουν παρεισπίπτοντες, κλύδωνας ἀποτελοῦσι. τῶν γε μὴν ἄλλων πνευμάτων ἀκλυδώνιστος ὢν τυγχάνει διὰ τὴν περιέχουσαν

X. 1. λαμβάνει δὲ. *Conjunctionem adjecit Casaub. cum abesset a mstis. Unde forsan scribendum* δέκα· καὶ λαμβ. διάθεσιν.

vi hostili præstabat. Quoniam autem dicturi sumus, quomodo & oppugnata & capta ea urbs fuerit, faciendum ducimus, ut iis, qui hæc legent, & adjacentium locorum naturam, & urbis ipsius situm quadamtenus demonstremus.

10. Sita est igitur *Carthago Nova* in sinu maris, qui media fere Hispaniæ ora Africo vento est oppositus, & bis mille quingentos passus introrsus porrectus in longum, dimidium fere ejus spatii in ostio in latitudinem patet. *Sinus* vero totus speciem *portus* ob hujusce modi causam præbet. Hujus in ostio sinus insula est objecta, quæ intrantibus ipsum navibus angustum utraque ex parte aditum relinquit. Quum autem fluctus ex alto venientes hæc insula excipiat, evenit, ut toto sinu magna sit tranquillitas; nisi quatenus Africi ab utroque latere intus penetrant, & fluctus cient: ad alios ventos quod adtinet, motu & agitatione fluctuum caret, propter ambientem undique conti-

Digitized by Google

σαν αὐτὸν ἤπειρον. Ἐν δὲ τῷ μυχῷ τοῦ κόλπου A.V.545. Situs Carthaginis Novæ.
πρόκειται χερρόνησίζον ὄρος, ἐφ' οὗ κεῖσθαι συμβαί-
νει τὴν πόλιν, περιεχομένην θαλάττῃ μὲν ἀπ' ἀνα-
τολῶν καὶ μεσημβρίας, ἀπὸ δὲ τῶν δύσεων λίμνῃ,
προσεπιλαμβανούσῃ καὶ τοῦ πρὸς ἄρκτον μέρους·
ὥστε τὸν λοιπὸν τόπον μέχρι τῆς ἐπὶ θάτερα θα-
λάττης, ὃς καὶ συνάπτει τὴν πόλιν πρὸς τὴν ἤπει-
ρον, μὴ πλέον ὑπάρχειν ἢ δυοῖν σταδίων. Ἡ δὲ πό-
λις αὐτὴ μεσόκοιλός ἐστι· κατὰ δὲ τὴν ἀπὸ μεσημ-
βρίας πλευρὰν ἐπίπεδον ἔχει τὴν ἀπὸ θαλάττης
πρόσοδον· τὰ δὲ λοιπὰ περιέχεται λόφοις, δυσὶν μὲν
ὀρεινοῖς καὶ τραχέσιν, ἄλλοις δὲ τρισὶ, πολὺ μὲν χθα-
μαλιωτέροις, σπιλώδεσι δὲ καὶ δυσβάτοις· ὧν ὁ μὲν
μέγιστος ἀπὸ τῆς ἀνατολῆς αὐτῇ παράκειται,
προτείνων εἰς θάλατταν, ἐφ' οὗ καθίδρυται νεὼς
Ἀσκληπιοῦ. τούτῳ δ' ὁ ἀπὸ τῆς δύσεως ἀντίκειται,
παραπλησίαν θέσιν ἔχων, ἐφ' οὗ καὶ βασίλεια
κατε-

7. πόλις αὐτὴ. *Vulgo omnes* αὕτη. Ibid. σπιλώδεσι. σπηλώδεσι *Casaub.*

continentem. Ab intimo finu mons ad inſtar peninſulæ excurrit, in quo condita urbs eſt: ab ortu ſolis a meridie cincta eſt mari, ab occaſu *ſtagnum* claudit, paullulum etiam ad ſeptemtrionem fuſum; ut reliquum ſpatium, usque ad mare quod eſt ab altera parte, non amplius ducentos & quinquaginta paſſus pateat, quo jugo urbs continenti jungitur. Vrbs ipſa in medio humilis eſt & cava: ab eo latere, quod in meridiem eſt verſum, planum aditum venientibus a mari habet: cetera tumulis cinguntur, duobus montanis & aſperis, tribus aliis multo quidem depreſſioribus, verum ſaxoſis & adſcenſu difficilibus. Horum maximus ab oriente illi adjacet, in mare excurrens; in quo ædes eſt *Aeſculapio* conſecrata. Huic qui ab occidente eſt oppoſitus, ſitum obtinet ſimilem: in eo extructa fuit regia, opus magnifi-

Ol. 142. 3. Situs Carthaginis Novæ.

κατεσκεύασται πολυτελῶς, ἃ φασιν Ἀσδρούβαν ποιῆσαι, μοναρχικῆς ὀρεγόμενον ἐξουσίας. αἱ δὲ λοι- 10
παὶ αἱ τῶν ἐλατ[ό]νων βουνῶν ὑπεροχαὶ τὸ πρὸς
ἄρκτον αὐτῆς μέρος περιέχουσι. καλεῖται δὲ τῶν 11
τριῶν ὁ μὲν πρὸς ἀνατολὰς νεύων, Ἡφαίστου· τού-

Aletes metallorum argenti inventor.

τῳ δ' ὁ συνεχὴς, Ἀλήτου· δοκεῖ δ' οὗτος, εὑρετὴς γενόμενος τῶν ἀργυρείων μετάλλων, ἰσοθέων τετευχέναι τιμῶν. ὁ δὲ τρίτος προσαγορεύεται Κρόνου. Συμβαίνει δὲ τὴν λίμνην τῇ παρακειμένῃ θαλάττῃ 12
σύῤῥουν γεγονέναι χειροποιήτως, χάριν τῶν θαλαττουργῶν. κατὰ δὲ τὴν τοῦ διείργοντος αὐτὰς 13
χείλους διακοπὴν γέφυρα κατεσκεύασται, πρὸς τὸ καὶ τὰ ὑποζύγια καὶ τὰς ἁμάξας ταύτῃ ποιεῖσθαι τὴν παρακομιδὴν τῶν ἐκ τῆς χώρας ἀναγκαίων.

Τοιαύ-

10. αἱ τῶν ἐλ. βουν. ὑπεροχαί. *Sic ex conjecł. correxi. Perperam vulgo omnes ταῖς τῶν ἐλ. βουν. ὑπεροχαῖς, quæ verba intacta relinquens Reiskius, οἱ δὲ λοιποὶ volvit pro αἱ δὲ λοιπαί.* 11. ὁ συνεχὴς. *Alii vulgo* ὁ σύνεγγυς. 12. τῇ παρακειμένῃ *correxi cum Reisk. Vulgo omnes* τὴν παρακειμένην.

gnificum, cujus auctor dicitur fuisse *Asdrubal*, ad monarchicum imperium viam adfectans. Supereſt latus urbis ſeptemtrionale, quod trium minorum collium objectu clauditur. Horum ille, qui ad ortum ſolis vergit, *Vulcani* dicitur tumulus; proximus ab *Aletе* nomen habet, quem fama eſt propter inventa argenti metalla diis immortalibus pares honores eſſe conſecutum: tertium, *Saturni* tumulum vocant. *Stagnum* urbi adjacens, ut mari conjungeretur & confluereret, in eorum gratiam, qui maria exercent, opus manu factum præſtat. Quo loco media inter ſtagnum & mare lingula eſt interciſa, pons ſtratus eſt, ad ea, quæ fuerint neceſſaria, ex agris ſive jumentorum opera ſive plauſtris convehenda.

11. Ejus-

Digitized by Google

Τοιαύτης δ' ὑπαρχούσης τῆς διαθέσεως τῶν τό- A.V.545.
πων, ἀσφαλίζεσθαι συνέβαινε τοῖς Ῥωμαίοις τὴν XI.
στρατοπεδείαν κατὰ τὴν ἐντὸς ἐπιφάνειαν ἀκατα- Castra Scipionis ad Novam Carth.
σκεύως ὑπό τε τῆς λίμνης καὶ τῆς ἐπὶ θάτερα θα-
2λάττης. τὸ δὲ μεταξὺ τούτων διάστημα, τὸ συνάπτον τὴν πόλιν πρὸς τὴν ἤπειρον, ἀχαράκωτον εἶασε, κατὰ μέσην ὑπάρχον τὴν αὐτοῦ στρατοπε-
3δείαν· εἴτε καὶ καταπλήξεως χάριν, εἴτε καὶ πρὸς τὴν ἐπιβολὴν ἀρμοζόμενος, ὅπως ἀνεμποδίστους ἔχῃ καὶ τὰς ἐξαγωγὰς καὶ τὰς ἀναχωρήσεις εἰς τὴν
4παρεμβολήν. Ὁ δὲ περίβολος τῆς πόλεως οὐ Ambitus urbis.
πλεῖον εἴκοσι σταδίων ὑπῆρχε τὸ πρότερον. καί τοι γ' οὐκ ἀγνοῶ, διότι πολλοῖς εἴρηται τετταράκοντα· τὸ δ' ἐστὶ ψεῦδος. οὐ γὰρ ἐξ ἀκοῆς ἡμεῖς, ἀλλ' αὐτόπται γεγονότες, μετ' ἐπιστάσεως ἀποφαινόμεθα.
5νῦν δὲ καὶ μᾶλλον ἔτι συνήρηται. Πλὴν ὅγε Πόπλιος, συνάψαντος καὶ τοῦ στόλου πρὸς τὸν δέοντα

11. Ejusmodi locorum natura quum esset, *castris Romanorum*, qua introrsum urbem versus spectant, hinc stagnum, hinc prominens ab altera parte mare, pro munimento, sine ulla arte, erat. Ab interjecto inter hæc spatio, quod urbem continenti jungit, eratque mediis ipsis castris oppositum, nullum objecit vallum; sive ut rei novitate hostem terreret, sive facilitati consilii exsequendi consulens, ut & educere suos e castris, & eodem reducere sine impedimento posset. Erat autem ambitus urbis olim non major duobus millibus passuum & quingentis. Etsi non fugit me, proditum a multis, esse eum circuitum passuum quinque millium: sed hoc falsum est: neque enim ex auditu de eo equidem pronuncio, verum postquam loca ipse lustravi & attente consideravi. Nunc vero etiam contractiore muro urbs illa clauditur. *Scipio*, postquam classis etiam ad constitutum tempus ad-

Digitized by Google

Ol. 142. 3. Scipio cohortatur milites.

τοῦ καιρὸν, ἐπεβάλλετο συναθροίσας τὰ πλήθη παρακαλεῖν, οὐχ ἑτέροις τισὶ χρώμενος ἀπολογισμοῖς, ἀλλ' οἷς ἐτύγχανε πεπεικὼς αὐτὸν, ὑπὲρ ὧν ἡμεῖς τὸν κατὰ μέρος ἄρτι πεποιήμεθα λόγον. ἀποδείξας δὲ δυνατὴν οὖσαν τὴν ἐπιβολὴν, καὶ συγκεφαλαιωσάμενος τὴν ἐκ τοῦ κατορθώματος ἐλάττωσιν τῶν ὑπεναντίων, αὔξησιν δὲ τῶν σφετέρων πραγμάτων, λοιπὸν χρυσοῦς στεφάνους ἐπηγγείλατο τοῖς πρώτοις ἐπὶ τὸ τεῖχος ἀναβᾶσι, καὶ τὰς εἰθισμένας δωρεὰς τοῖς ἐπιφανῶς ἀνδραγαθήσασι· τὸ δὲ τελευταῖον, ἐξ ἀρχῆς, ἔφη, τὴν ἐπιβολὴν αὐτῷ ταύτην ὑποδεδειχέναι τὸν Ποσειδῶνα, παραστάντα κατὰ τὸν ὕπνον, καὶ φάναι, συνεργήσειν ἐπιφανῶς κατ' αὐτὸν τὸν τῆς πράξεως καιρὸν οὕτως, ὥστε παντὶ τῷ στρατοπέδῳ τὴν ἐξ αὐτοῦ χρείαν ἐναργῆ γενέσθαι.

XI. 5. ἀλλ' οἷς *correxit Casaub.* ἀλλ' ὡς *Herv. cum mss.* 6. *Tria verba* τῶν ὑπεναντίων *&* αὔξησιν *absunt ab Herv. & mss. nostris. Inserenda monuit Vrsinus, puto ex suo codice.* 7. κατ' αὐτὸν. καὶ αὐτὸν *Ang. Reg. i tres, Vesont. Tubing. quod teneri potest, si addatur* κατὰ τὸν τῆς *vel* κατ' αὐτὸν τὸν τῆς.

venerat, concione convocata *milites hortari* cœpit: quam ad rem non aliis rationibus est usus, quam illis, quibus ipse inductus ita faciendum esse sibi persuaserat, de quibus figillatim ante a nobis est dictum. Postquam, *posse perfici quod aggrediebatur*, demonstrasset, & summatim etiam, *quantum ex eo damnum res hostium, quantum suæ incrementum essent accepturæ*, disseruisset, ad hæc militibus coronas aureas pronunciasset, qui primi murum conscendissent, nec non consueta alia præmia, si quis insignius pugnam cepessisset; illud ad extremum adjecit: *Neptunum jam inde a principio per somnum sibi adstitisse, atque hujus incepti suscipiendi consilium suggessisse; pollicitum etiam, adeo manifesto auxilium sibi in ipso pugnæ articulo laturum, ut adjuvantis numinis præsentiam universus exercitus sit agniturus.*

Quæ

Digitized by Google

1 θαι. Τῶν δὲ κατὰ τὴν παράκλησιν λόγων ἅμα μὲν ἀπολογισμοῖς ἀκριβέσι μεμιγμένων, ἅμα δ' ἐπαγγελίαις χρυσῶν στεφάνων, ἐπὶ δὲ πᾶσι τούτοις θεοῦ πρόνοια, τελέως μεγάλην ὁρμὴν καὶ προθυμίαν παρίσταθαι συνέβαινε τοῖς νεανίσκοις. A.V.545.

Τῇ δ' ἐπαύριον κατὰ μὲν τοὺς ἐκ τῆς θαλάττης τόπους περιστήσας ναῦς, παντοδαποῖς βέλεσιν ἐξηρτυμένας, καὶ δοὺς τὴν ἐπιτροπὴν Γαΐῳ, κατὰ δὲ γῆν τοὺς εὐρωστοτάτους τῶν ἀνδρῶν εἰς δισχιλίους ὁμόσε τοῖς κλιμακοφόροις ἐπιστήσας, ἐνήρ- 2 χετο τῆς πολιορκίας κατὰ τρίτην ὥραν. Ὁ δὲ Μάγων, ὁ τεταγμένος ἐπὶ τῆς πόλεως, τὸ μὲν τῶν χιλίων σύνταγμα διελὼν, τοὺς μὲν ἡμίσεις ἐπὶ τῆς ἄκρας ἀπέλιπε, τοὺς δ' ἄλλους ἐπὶ τοῦ πρὸς ἀνα- 3 τολὰς λόφου παρενέβαλε· τῶν δὲ λοιπῶν τοὺς εὐρωστοτάτους περὶ δισχιλίους κατεσκευακὼς τοῖς ὑπάρχουσι κατὰ τὴν πόλιν ὅπλοις, ἐπέστησε κατὰ XII. Terra & mari oppugnatur Carthago.

Quæ quum adhortatio & rationes consilii expositas accurate contineret, & pollicitationem aurearum coronarum, & super hæc omnia Dei providentiam; juvenum animos ingens plane alacritas & impetus ad rem perficiendam invasit.

12. Postero die *Scipio*, jussa classe, (quæ omni telorum genere erat instructa, & *C. Lælio* fuerat commissa) urbem a mari cingere; lectis præterea duobus millibus fortissimorum militum, quibus præceperat, ut communi opera cum iis, qui scalas gerebant, muros a terra invaderent; *oppugnationem Carthaginis* hora tertia auspicatur. *Mago*, urbis præfectus, cohorte illa millenaria divisa, quingentos milites in arce relinquit, reliquos tumulo urbis in orientem verso impositos in ordinem struit: tum oppidanorum valentissimos, ad duo millia hominum, iis armis, quæ in urbe erant, adornatos,

Digitized by Google

Ol. 142. 3. Oppugnatur Carthago Nova.

τὴν πύλην τὴν φέρουσαν ἐπὶ τὸν ἰσθμὸν καὶ τὴν τῶν πολεμίων στρατοπεδείαν· τοῖς δὲ λοιποῖς παρήγγειλε, βοηθεῖν κατὰ δύναμιν πρὸς πάντα τὰ μέρη τοῦ τείχους. Ἅμα δὲ τῷ τὸν Πόπλιον τοῖς σάλπιγξι διασημῆναι τὸν καιρὸν τῆς προσβολῆς, ἐξαφίησι τοὺς καθωπλισμένους ὁ Μάγων διὰ τῆς πύλης· πεπεισμένος, ὅτι καταπλήξεται τοὺς ὑπεναντίους, καὶ τὸ παράπαν ἀφελεῖται τὴν ἐπιβολὴν αὐτῶν. προσπεσόντων δὲ τούτων ἐρρωμένως τοῖς ἐκ τοῦ στρατοπέδου κατὰ τὸν ἰσθμὸν παρατεταγμένοις, ἐγίγνετο μάχη λαμπρὰ καὶ παρακελευσμὸς ἐξ ἀμφοῖν ἐναγώνιος, τῶν μὲν ἐκ τοῦ στρατοπέδου, τῶν δ' ἐκ τῆς πόλεως τοῖς ἰδίοις ἑκατέρων ἐπιβοώντων. Τῆς δὲ διὰ τῶν βοηθούντων ἐπικουρίας οὐχ ὁμοίας ὑπαρχούσης, διὰ τὸ τοῖς μὲν Καρχηδονίοις διὰ μιᾶς πύλης καὶ σχεδὸν ἀπὸ δυοῖν σταδίοιν γίγνεσθαι τὴν παρουσίαν, τοῖς δὲ Ῥωμαίοις ἐκ χειρὸς καὶ κατὰ πολὺν

XII. 4. *Ante* τὸν καιρὸν *libri omnes inserunt partic.* καὶ, *quam delevit Casaub.*

tos, ad eam portam collocat, quæ ad isthmum & Romana castra ducebat: ceteros, pro sua quemque virili, ferre opem, & ad omnes mœnium partes occurrere jubet. Simul atque classica jussu *Scipionis* ad prælium committendum incinuere, *Mago* armatos, qui ad portam stabant, emittit; persuasus, hosti se terrorem eo facto injecturum, &, ut in irritum caderet ejus inceptum, facturum. Isti enimvero in Romanos, qui in isthmo ordinati stabant, magna vi irruere: pugna atrox cieri: acres utrimque adhortationes fieri; dum & qui erant in castris, & qui erant in urbe, suis clamore ingenti animos addunt. Sed enim subsidiorum, quæ idemtidem submittebantur, par ratio non erat; quum Carthaginiensibus, ex una tantum porta exeuntibus, passus CCL essent conficiendi, prius quam ad locum pugnæ pervenirent; Romani contra e proximo, et viis multis, auxilia-

Digitized by Google

πολὺν τόπον, ἄνισος ἦν ἡ μάχη παρὰ ταύτην τὴν A.V.545.
αἰτίαν. ὁ γὰρ Πόπλιος ἑκὼν ἐπέστησε τοὺς αὑτοῦ Oppugnatur
παρ' αὐτὴν τὴν στρατοπεδείαν, χάριν τοῦ προκα- Carthago
λέσασθαι τοὺς πολεμίους ποῤῥωτάτω· σαφῶς γι- Nova.
νώσκων, ἐὰν διαφθείρῃ τούτους, ὄντας οἱονεὶ στόμα
τοῦ κατὰ τὴν πόλιν πλήθους, ὅτι διατραπήσεται
τὰ ὅλα, καὶ τὴν πύλην οὐκέτι τῶν ἔνδον οὐδεὶς ἐξιέ-
ναι θαῤῥήσει. οὐ μὴν, ἀλλ' ἕως μέν τινος ἐφάμιλλον
συνέβαινε γίγνεσθαι τὴν μάχην, ὡς ἐξ ἀμφοῖν κατ'
ἐκλογὴν τῶν ἀρίστων ἀνδρῶν προκεκριμένων· τέλος
δ' ἐξωθούμενοι τῷ βάρει διὰ τοὺς ἐκ τῆς παρεμβο-
λῆς προσγεγενημένους, ἐτράπησαν οἱ παρὰ τῶν Καρ-
χηδονίων. καὶ πολλοὶ μὲν αὐτῶν ἐν τῷ τῆς μάχης
καιρῷ διεφθάρησαν, καὶ κατὰ τὴν ἀποχώρησιν· οἱ
δὲ πλείους ἐν τῷ παραπίπτειν εἰς τὴν πύλην ὑπ'
αὐτῶν ἠλοήθησαν. οὗ συμβαίνοντος, ὁ κατὰ τὴν
πόλιν ὄχλος οὕτως ἐπτοήθη πᾶς, ὥστε καὶ τοὺς

9. ἠλοήθησαν correxit Casaub. Mendosè libri omnes ἠλογήθησαν.

xiliatum ſuis venirent: quare nec par utrimque dimicatio erat. De induſtria namque *Scipio* ſuos non procul a caſtris ſtare voluerat, ut inimicos e ſpatio quam longiſſimo ad pugnam alliceret: ſatis nimirum intelligens, ſi iſtos perderet, qui urbanæ multitudinis velut mucro erant, ſummam omnium rerum perturbationem *Carthagine* futuram, neque auſurum amplius quemquam oppidanorum, pedem porta efferre. Aliquamdiu tamen pugna neutro inclinata ſtetit, utpote quum ex utraque parte ſelectorum virorum flos dimicaret: ad extremum vero impulſa *Carthaginienſium* acies eorum velut pondere victa ceſſit, qui e Romanis caſtris ſubinde auxilio veniebant. Et multi quidem eorum in ipſo diſcrimine perierunt, aut in fuga; plures tamen, dum in portam irruunt, protriti alii ab aliis conculcatique ſunt. Quo caſu oppidanorum turba adeo eſt conſternata, ut etiam,

Digitized by Google

Ol. 142. 3. Oppugnatur Nova Carthago.

ἀπὸ τῶν τειχῶν φεύγειν. παρ' ὀλίγον μὲν οὖν ἦλ- 11
θον οἱ Ῥωμαῖοι τοῦ συνεισπεσεῖν τότε μετὰ τῶν
φευγόντων· οὐ μὴν, ἀλλὰ τάς γε κλίμακας τῷ τεί-
χει μετ' ἀσφαλείας προσήρεισαν.

XIII. Ὁ δὲ Πόπλιος ἐδίδου μὲν αὐτὸν εἰς τὸν κίνδυνον· 1
ἐποίει δὲ τοῦτο κατὰ δύναμιν ἀσφαλῶς. εἶχε γὰρ 2
μεθ' ἑαυτοῦ τρεῖς ἄνδρας θυρεοφοροῦντας, οἱ παρα-
τιθέντες τοὺς θυρεοὺς, καὶ τὴν ἀπὸ τοῦ τείχους
ἐπιφάνειαν σκεπάζοντες, ἀσφάλειαν αὐτῷ παρε-
σκεύαζον. διὸ παρὰ τὰ πλάγια καὶ τοὺς ὑπερδε- 3
ξίους τόπους ἐπιπαριὼν, μεγάλα συνεβάλλετο πρὸς
τὴν χρείαν. ἅμα μὲν γὰρ ἑώρα τὸ γιγνόμενον, ἅμα 4
δ' αὐτὸς ὑπὸ πάντων ὁρώμενος, ἐνεργάζετο προθυ-
μίαν τοῖς ἀγωνιζομένοις. ἐξ οὗ συνέβαινε, μηδὲν ἐλλει- 5
πὲς γίγνεσθαι τῶν πρὸς τὸν κίνδυνον· ἀλλ' ὁπότε τι
αὐτῷ πρὸς τὸ προκείμενον ὁ καιρὸς ὑποδείξειε, πᾶν
ἐκ

11. τάς γε correxi cum Reiskio. *Vulgo male omnes* τάς τε.
XIII. 1. αὐτὸν. *Vulgo* αὐτόν.

etiam, qui muros conſcenderant, iis relictis fugerent. Neque ſane multum abfuit, quin Romani tum una cum fugientibus in urbem irrumperent: ſcalas certe muro ſine diſcrimine adplicuerunt.

13. Et ipſe quidem *Scipio* periculis caput ſuum objiciebat; non temere tamen, verum ſecuritati ſuæ quam maxime poterat fieri conſulens. Aderant enim illi armigeri tres, qui ſcutis oppoſitis, & adverſus tela e muris volantia eum protegentes, ſecuritatem præſtabant. Itaque modo pugnantis aciei latera obiens, modo loca ſuperiora conſcendens, magnum ad rem gerendam momentum adferebat. Quum enim ſimul, quæcumque fiebant, videret, ſimul ipſe ab omnibus conſpiceretur; mira alacritate animos pugnantium incendebat. Vnde etiam eveniebat, ut nihil quidquam eorum deſideraretur, quæ rem gerentibus uſui eſſe poſſent; ſed ſtatim, ut præſens occaſio aliquid faciendum eſſe ei ſuggeſſerat,

omnes

Digitized by Google

ἐκ χειρὸς ἀεὶ συνηργεῖτο πρὸς τὸ δέον. Ὁρμησάν- A.V 545.
των δὲ τοῖς κλίμαξι περὶ τὴν ἀνάβασιν τῶν πρώ- Oppugnatur Nova Carthago.
των τεθαρρηκότως, οὐχ οὕτω τὸ πλῆθος τῶν ἀμυνομένων ἐπικίνδυνον ἐποίει τὴν προσβολήν, ὡς τὸ μέγεθος τῶν τειχῶν. διὸ καὶ μᾶλλον ἐπερρώσθησαν οἱ κατὰ τὰ τείχη, θεωροῦντες τὴν δυσχρηστίαν τῶν συμβαινόντων. ἔνιαι μὲν γὰρ συνετρίβοντο τῶν κλιμάκων, πολλῶν ἅμα διὰ τὸ μέγεθος συνεπιβαινόντων· ἐφ' αἷς δ' οἱ πρῶτοι προσβαίνοντες ἐσκοτοῦντο διὰ τὴν εἰς ὕψος ἀνάτασιν, καὶ βραχείας προσδεόμενοι τῆς ἐκ τῶν ἀμυνομένων ἀντιπράξεως, ἐρρίπτουν σφᾶς αὐτοὺς ἀπὸ τῶν κλιμάκων. ὅτε δὲ καὶ δοκοὺς ἤ τι τοιοῦτον ἐγχειρήσαιεν ἐπιῤῥίπτειν οἱ ἐπὶ τῶν ἐπάλξεων, ὁμοῦ πάντες ἀπεσύροντο καὶ κατεφέροντο πρὸς τὴν γῆν. Οὐ μὴν, ἀλλὰ τοιούτων ἀπαντωμένων, οὐδὲν ἱκανὸν ἦν πρὸς τὸ κωλύειν τὴν

6. περὶ τὴν ἀνάβ. *Forsan* πρὸς τὴν ἀνάβ. *Reisk.* 9. οἱ ἐπὶ. ἐπὶ τῶν ἐπάλξ. *Herv. cum libris omnibus.* ἐπὶ *in* ἀπὸ *mutavit Casaub. Nobis cum Reiskio præfigendus artic. οἱ visus est.*

omnes e vestigio imperata rite & ordine faciebant. Quum vero jam confidenter primi scalas conscendere properarent; non tam propugnantium multitudo periculum creabat accedentibus, quam ipsa mœnium altitudo. Quo impedimento ut tardatum impetum Romanorum vident qui muros defendebant, majorem in modum crevit illis animus. Scalarum enim aliæ, quas propter altitudinem plures simul conscendebant, onere ipso frangebantur: de aliis, quum primis adscendentibus altitudo caliginem oculis obfudisset, si minimus resistentium conatus accederet, præcipites ipsi se dejiciebant: quoties vero aut trabes etiam, aut simile quid aliud e pinnis hostes immisissent in irruentes, simul omnes devoluti in terram deferebantur. Quæ incommoda etsi erant maxima; nulla tamen poterat esse tanta

Digitized by Google

Ol.142.3. ἐπιφοραὶν καὶ τὴν ὁρμὴν τῶν Ῥωμαίων· ἀλλ' ἔτι καταφερομένων τῶν πρώτων, ἐπέβαινον οἱ συνεχεῖς ἐπὶ τὴν ἐκλείπουσαν ἀεὶ χώραν. Ἤδη δὲ τῆς ἡμέ- 11
ρας προβαινούσης, καὶ τῶν στρατιωτῶν τετριμμένων ὑπὸ τῆς κακοπαθείας, ἀνεκαλέσατο ταῖς σάλπιγξιν ὁ στρατηγὸς τοὺς προσβάλλοντας.

XIV. Expugnatur Carthago Nova.

Οἱ μὲν οὖν ἔνδον περιχαρεῖς ἦσαν, ὡς ἀποτετριμμένοι τὸν κίνδυνον. ὁ δὲ Πόπλιος, προσδοκῶν ἤδη τ�ον 2
τῆς ἀναπώτεως καιρὸν, κατὰ μὲν τὴν λίμνην ἡτοίμασε πεντακοσίους ἄνδρας μετὰ κλιμάκων· κατὰ 3
δὲ τὴν πύλην καὶ τὸν ἰσθμὸν νεαλεῖς ποιήσας τοὺς στρατιώτας, καὶ παρακαλέσας, προσανέδωκε κλίμακας πλείους τῶν πρότερον, ὥστε συνεχῶς πλῆρες γενέσθαι τὸ τεῖχος τῶν προσβαινόντων. Ἅμα 4
δὲ τῷ σημῆναι τὸ πολεμικὸν, καὶ προθέντας τῷ τείχει τὰς κλίμακας προσβαίνειν κατὰ πάντα τὰ μέρη

11. τετριμμένων. τετρυμμένων Reg. E. a pr. manu. τετρυμένων malim cum Ernestio.

XIV. 1. ἀποτετριμμένοι cum viris doctis correxi. ἀποτετραμμένοι edd. cum mss. omnibus.

tanta difficultas, quæ irrumpentium Romanorum vim & impetum cohiberet; sed vix dum dejecti erant primi, cum semper, ut quæque statio vacua erat, proximi eam occupabant. At procedente jam die, quum vexatione & malis miles Romanus esset confectus, signum receptui dare jussit imperator.

14. Oppidani enimvero lætitia tum gestire, ut qui omne jam periculum a se depulissent. At *Scipio* jam tempus illud, quo æstus decederet, exspectans, qua vergit urbs in stagnum, armatos quingentos cum scalis paratos locat: a parte isthmi vero, qua ad portam itur, milites recentes constituit; quibus, officii commonefactis, scalas plures quam ante dividit, ut corona invadentium repleri undique muri possent. Tum vero, ut signum invadendi est datum, & Romani scalis admotis intrepide omni ex parte mœnia

Digitized by Google

μέρη τεθαῤῥηκότως, μεγάλην συνέβαινε ταραχὴν A.V.545.
καὶ διατροπὴν γίγνεσθαι τῶν ἔνδον. νομίζοντες γὰρ, Expugnatur
ἀπολελῦσθαι τῆς περιστάσεως, αὖθις ἀρχὴν ἑώρων Nova Carthago.
λαμβάνοντα τὸν κίνδυνον ἐξ ἄλλης ὁρμῆς. ἅμα δὲ
καὶ τῶν βελῶν αὐτοὺς ἤδη λειπόντων, καὶ τοῦ πλή-
θους τῶν ἀπολωλότων εἰς ἀθυμίαν ἄγοντος, δυσ-
χερῶς μὲν ἔφερον τὸ γιγνόμενον· οὐ μὴν, ἀλλ' ἠμύ-
νοντο δυνατῶς. Κατὰ δὲ τὴν ἀκμὴν τοῦ διὰ τῶν
κλιμάκων ἀγῶνος, ἤρχετο τὰ κατὰ τὴν ἄμπωτιν.
καὶ τὰ μὲν ἄκρα τῆς λίμνης ἀπέλειπε τὸ ὕδωρ κα-
τὰ βραχύ· διὰ δὲ τοῦ στόματος ὁ ῥοῦς εἰς τὴν συνε-
χῆ θάλατταν ἄθρους ἐφέρετο καὶ πολὺς, ὥστε τοῖς
ἀπρονοήτως θεωμένοις ἄπιστον φαίνεσθαι τὸ γιγνό-
μενον. Ὁ δὲ Πόπλιος, ἔχων ἑτοίμους τοὺς καθηγε-
μόνας, ἐμβαίνειν παρεκελεύετο καὶ θαῤῥεῖν τοὺς
πρὸς τὴν χρείαν ταύτην ἡτοιμασμένους. καὶ γὰρ ἦν

6. λειπόντων. λιπόντων *Casaub. cum aliis.* 8. ἀπέλειπε. *Vulgo* ἀπέλιπε.

nia sunt adorti; ingens repente obsessos trepidatio & animi perturbatio incessit. Nempe existimaverant, omni se periculo esse defunctos, cum ecce recentia pericula, recens hostium impetus ingruit. Simul quum & tela jam deficerent, & numerus occisorum, ut animos desponderent, efficeret, tantum casum illi quidem ægerrime ferebant; ab hoste tamen, quod in ipsis foret, sese defendebant. Fervebat cum maxime certamen ad scalas, quando cœpit æstus decedere: & extrema quidem stagni paullatim aqua deferebat; per ostium vero eadem conferta & cum impetu in continens mare ferebatur: ut, qui loci naturæ ignari cernerent quod fiebat, demirari satis non possent. *Publius*, paratos habens duces locorum peritos, stagnum ingredi & bono esse animo eos jubebat, quibus id negotii dederat.

Plane

Ol. 142. 3. Expugnatur Nova Carthago.

εὖ πεφυκὼς, εἰ καὶ πρὸς ἄλλο τι, πρὸς τὸ θάρσος ἐμβαλεῖν, καὶ συμπαθεῖς ποιῆσαι τοὺς παρακαλουμένους. τότε δὴ πειθαρχησάντων αὐτῶν, καὶ διὰ 11
τοῦ τέλματος ἀμιλλωμένων, ἅπαν τὸ στρατόπεδον ὑπέλαβε, μετά τινος θεοῦ προνοίας γίγνεσθαι τὸ συμβαῖνον. ἐξ οὗ καὶ μνηθέντες τῶν κατὰ τὸν Πο- 12
σειδῶ καὶ τῆς τοῦ Ποπλίου κατὰ τὴν παρέκλησιν ἐπαγγελίας, ἐπὶ τοσοῦτον ταῖς ψυχαῖς παρωρμήθησαν, ὡς συμφράξαντες καὶ βιασάμενοι πρὸς τὴν πύλην, ἔξωθεν ἐπεχείρουν διακόπτειν τοῖς πελέκεσι καὶ ταῖς ἀξίναις τὰς θύρας. οἱ δὲ, διὰ τῶν τελμά- 13
των ἐγχίσαντες τῷ τείχει, καὶ καταλαβόντες ἐρήμους τὰς ἐπάλξεις, οὐ μόνον προσέθεσαν ἀσφαλῶς τὰς κλίμακας, ἀλλὰ καὶ κατέσχον ἀναβάντες ἀμαχητὶ τὸ τεῖχος· ἅτε τῶν ἔνδον περισπωμένων μὲν 14
περὶ τοὺς ἄλλους τόπους, καὶ μάλιστα τοὺς κατὰ τὸν

10. συμπαθεῖς. συμπειθεῖς *suspicatus est* Reisk. συμπαθεῖς τοῖς παρακαλουμένοις *voluit* Gron.

Plane enim, si ad quidquam aliud, ad id certe egregie a natura erat comparatus, ut fiduciam animis hominum ingeneraret, ac suos adfectus in eos transfunderet, quos adhortabatur. Tunc igitur milite, sicut jussus erat, faciente, & per paludem enitente, universus exercitus *divina quadam providentia fieri id, quod videbant*, cœpit existimare. Idcirco, redeuntes simul in memoriam eorum, quæ de *Neptuno*, & de ferenda ab illo ope, Scipio eis inter cohortandum erat pollicitus, tanto sunt animorum impetu concitati, ut facta testudine irruerent in portam, & fores securibus ac dolabris extrinsecus effringere conarentur. Interim qui per stagni vada ad mœnia accesserant, & pinnas propugnatoribus vacuas invenerant, non solum scalas nullo periculo admoverunt; sed etiam superato muro, nemine resistente, eum tenuerunt: quippe aliis in locis obsessi occupabantur, maxime

Digitized by Google

τὸν ἰσθμὸν καὶ τὴν ταύτῃ πύλην, οὐδέποτε δ' ἂν ἐλπισάντων ἐγίσαι τῷ τείχει τοὺς πολεμίους κατὰ τὸν τῆς λίμνης τόπον· τὸ δὲ πλεῖστον, ὑπὸ τῆς ἀτάκτου κραυγῆς καὶ τῆς συμμίκτου πολυοχλίας οὐ δυναμένων οὔτ' ἀκούειν, οὔτε συνοραᾶν τῶν δεόντων οὐδέν. A.V.545. Expugnatur Nova Cartha-go.

Οἱ δὲ Ῥωμαῖοι κρατήσαντες τοῦ τείχους, τὸ μὲν πρῶτον ἐπεπορεύοντο, κατὰ τὴν ἐφοδείαν ἀποσύροντες τοὺς πολεμίους, μεγάλα συμβαλλομένης αὐτοῖς τῆς ὁπλίσεως πρὸς τοῦτο τὸ γένος τῆς χρείας. ἐπεὶ δ' ἀφίκοντο πρὸς τὴν πύλην, οἱ μὲν καταβάντες διέκοπτον τοὺς μοχλούς, οἱ δ' ἔξωθεν εἰσέπιπτον, οἱ δὲ διὰ τῶν κλιμάκων βιαζόμενοι κατὰ τὸν ἰσθμὸν, ἤδη κρατοῦντες τῶν ἀμυνομένων, ἐπέβαινον ἐπὶ τὰς ἐπάλξεις. Καὶ τέλος, τὰ μὲν τείχη τούτῳ τῷ τρόπῳ κατείληπτο· τὸν δὲ λόφον οἱ διὰ τῆς πύλης εἰσπορευό- XV.

XV. 1. *ἐφοδείαν dedit Ang. Vulgo ἐφοδίαν.* Ibid. *ἀποσύροντες ex Reisk. emend. posui, pro vulgato ἐπισύροντες.*

xime autem circa isthmum & eo ferentem portam; quum præsertim ea cuncti persuasione essent imbuti, numquam a parte stagno proxima adpropinquaturum hostem: cui illud etiam, quod erat maximum, accedebat, quod præ incomposito clamore, & turbæ promiscuæ concursu, neque audire neque cernere quidquam eorum, quæ in rem essent, poterant.

15. Romani, ut in sua potestate muros habuerunt, principio per mœnia ipsa discurrunt, hostem inter circumeundum de muro dejicientes: quam ad rem magno ipsis usui erat genus ipsum Romanorum armorum. Vbi ad portam ventum, descenderunt isti quidem, ac vectes refregerunt; & qui foris erant, facta irruptione sunt ingressi; alii vero, qui in isthmo per scalas eniti conténdebant, quum superstantes armatos jam vicissent, in pinnas murorum evaserunt. Ac mœnia quidem hoc pacto Romani tandem tenuere: tumulum ve-

ro

Ol.142.3. πορευόμενοι κατελάμβανον, τὸν πρὸς τὰς ἀνατολὰς, τρεψάμενοι τοὺς φυλάττοντας. Ὁ δὲ Πό-4
πλιος ἐπεὶ τοὺς εἰσεληλυθότας ἀξιόχρεως ὑπελάμ-
Sævus mos Romanor. in expugnatione urbis. βανεν εἶναι, τοὺς μὲν πλείστους ἐφῆκε, κατὰ τὸ παρ' αὐτοῖς ἔθος, ἐπὶ τοὺς ἐν τῇ πόλει, παραγγείλας κτείνειν τὸν παρατυχόντα, καὶ μηδενὸς φείδεσθαι, μηδὲ πρὸς τὰς ὠφελείας ὁρμᾶν, μέχρις ἂν ἀποδοθῇ τὸ σύνθημα. Ποιεῖν δέ μοι δοκοῦσι τοῦτο 5
καταπλήξεως χάριν. διὸ καὶ πολλάκις ἰδεῖν ἔστιν ἐν ταῖς τῶν Ῥωμαίων καταλήψεσι τῶν πόλεων, οὐ μόνους τοὺς ἀνθρώπους πεφονευμένους, ἀλλὰ καὶ τοὺς κύνας δεδιχοτομημένους, καὶ τῶν ἄλλων ζώων μέλη παρακεκομμένα. τότε δὲ καὶ τελέως πολὺ τὸ 6
τοιοῦτον ἦν, διὰ τὸ πλῆθος τῶν κατειλημμένων. Αὐτὸς δὲ περὶ χιλίους ἔχων, ὥρμησε πρὸς τὴν ἄκραν. 7
ἐγγίσαντος δ' αὐτοῦ, τὸ μὲν πρῶτον ἐπεβάλλετο

Μάγων

4. τὸν παρατυχόντα. ἅπαντα τὸν παρατ. *Suidas.* 5. τοὺς κύνας. τοὺς χῆνας *Aug. Vtb. Reg. E.*

ro illum in orientem verſum, præſidio fugato, occuparunt qui per portam irruperant. *Scipio*, ubi jam numero ſuorum, qui oppidum erant ingreſſi, cœpit fidere, partem eorum maximam (uti *mos* eſt *Romanorum*) in oppidanos immiſit: dato præcepto, ut, *in quoscumque incidiſſent, omnes occiderent, nemini parcerent, neve ad prædandum prius ſe convertèrent, quam eſſet datum ſignum.* Equidem Romanos hoc facere exiſtimo, ut nomen Romanum terrori ſit omnibus. Propterea ſæpenumero cernere eſt, ubi capitur ab ipſis urbs aliqua, non homines dumtaxat occiſos, ſed etiam canes bifariam diſſectos, & reliquorum animantium membra abſciſſa. Cujus generis cædes multa tunc edebatur, propter ingentem deprehenſorum in urbe numerum. Ipſe *Scipio*, mille circiter armatorum manum ſecum habens, ad arcem ducit: quem ut vidit accedentem *Mago*, cona-

Digitized by Google

Μάγων ἀμύνεσθαι· μετὰ δὲ ταῦτα συννοήσας, βε- A.V.545.
βαίως ἤδη κατειλημμένην τὴν πόλιν, διεπέμψατο
περὶ τῆς ἀσφαλείας τῆς αὐτοῦ, καὶ παρέδωκε τὴν
8 ἄκραν. Οὗ γενομένου, καὶ τοῦ συνθήματος ἀποδο- Direptio urbis.
θέντος, τοῦ μὲν φονεύειν ἀπέστησαν, ὥρμησαν δὲ
9 πρὸς τὰς ἁρπαγάς. Ἐπιγενομένης δὲ τῆς νυκτὸς,
οἱ μὲν ἐπὶ τῆς παρεμβολῆς ἔμενον, οἷς ἦν οὕτω διατεταγμένον· μετὰ δὲ τῶν χιλίων ὁ στρατηγὸς ἐπὶ
τῆς ἄκρας ἠλίθη, τοὺς δὲ λοιποὺς διὰ τῶν χιλιάρ-
χων ἐκ τῶν οἰκιῶν ἐκκαλεσάμενος, ἐπέταξε, συνα-
θροίσαντας εἰς τὴν ἀγορὰν τὰ διηρπασμένα κατὰ
10 σημαίας, ἐπὶ τούτων κοιτάζεσθαι. τοὺς δὲ γροσφο-
μάχους ἐκ τῆς παρεμβολῆς καλέσας, ἐπὶ τὸν λό-
11 φον ἐπέστησε τὸν ἀπὸ τῶν ἀνατολῶν. Καὶ τῆς
μὲν κατὰ τὴν Ἰβηρίαν Καρχηδόνος τοῦτον τὸν τρό-
πον ἐγένοντο κύριοι Ῥωμαῖοι.

Eis

9. *Verba* κατὰ σημαίας *nescio an ad ſequens* κοιτάζεσθαι *ſint trahenda:* manipulatim ſtationem agerent.

conatus primo vim vi repellere, mox vero cogitans, plane jam in hoſtium poteſtatem urbem eſſe, miſſis qui de ſua ſalute paciſcerentur, arcem dedidit. Quo facto, datur a Scipione ſignum, & milites, cædibus finem facientes, ad diripiendam urbem ſe convertunt. Ingruente deinde nocte, pars exercitus, cui ita fuerat præceptum, in caſtris manſit: imperator cum ſuis mille in arce noctem egit; reliquis, per tribunos e domibus evocatis, præcepit, ut omnem prædam manipulatim in forum cóngererent, & ad ea, quæ eſſent comportata, nocturnam ſtationem agerent. Velites autem, excitos e vallo, in orientali tumulo ſtare juſſit. Et *Carthagine* quidem, quæ *in Hiſpania* eſt, hoc modo ſunt potiti Romani.

16. Poſtri-

Ol. 142. 3. XVI. Præda æqualiter dividitur.

Εἰς δὲ τὴν ἐπαύριον ἀθροισθείσης εἰς τὴν ἀγορὰν τῆς τε τῶν στρατευομένων παρὰ τοῖς Καρχηδονίοις ἀποσκευῆς, καὶ τῆς τῶν πολιτικῶν καὶ τῶν ἐργαστικῶν κατασκευῆς, ταῦτα μὲν ἐμέριζον οἱ χιλίαρχοι τοῖς ἰδίοις στρατοπέδοις κατὰ τὸ παρ' αὐτοῖς ἔθος. Ἔστι δὲ παρὰ Ῥωμαίοις τοιαύτη τις ἡ περὶ τὰς τῶν πόλεων καταλήψεις οἰκονομία. ποτὲ μὲν γὰρ ἑκάστης ἡμέρας πρὸς τὴν πρᾶξιν ἀπομερίζονται τῶν ἀνδρῶν κατὰ τὸ μέγεθος τῆς πόλεως, ποτὲ δὲ κατὰ σημαίας μερίζουσιν αὐτούς. οὐδέποτε δὲ πλείους ἀποτάττονται πρὸς τοῦτο τῶν ἡμίσεων· οἱ δὲ λοιποὶ μένοντες κατὰ τὰς τάξεις ἐφεδρεύουσι, ποτὲ μὲν ἐκτὸς τῆς πόλεως, ποτὲ δὲ πάλιν ἐντὸς, ἀεὶ πρὸς τὸ δεικνύειν. Τῆς δὲ δυνάμεως διῃρημένης αὐτοῖς κατὰ μὲν τὸ πλεῖον εἰς δύο στρατόπεδα Ῥωμαϊκὰ, καὶ δύο τῶν συμμάχων, ποτὲ δὲ καὶ σπανίως

XVI. 2. τῶν ἀνδρῶν *ex conject. noſtra. Vulgo omnes* τὰ τῶν ἀνδρῶν. 3. τὰς τάξεις. τὰς πράξεις *Ang. Vrb. Regii tres, Veſont. Tubing.* Ibid. πρὸς τὸ δεικνύειν. δεικνύμενον *ſuſpicatus eſt Caſaub.* δεικνύον *Reisk.* 4. ποτὲ δὲ *ex conject. correxi. Vulgo* τότε δὲ.

16. Poſtridie ejus diei, quum eſſent congeſtæ in forum & eorum, qui Carthaginienſibus militaverant, ſarcinæ, & omnis civium atque opificum ſupellex; ea omnia tribuni militum ſuis legionibus pro *more militiæ Romanæ* diviſerunt. Romani, quoties urbs aliqua ab ipſis capta eſt, id negotium ſic adminiſtrant. Solent diebus ſingulis ad eam rem vel ex univerſis legionibus viros idoneos, pro loci magnitudine, ſeligere, vel manipulatim milites partiri: Numquam autem plures dimidia parte eam ad rem adſignant: ceteri in ſuis ordinibus manentes, in ſubſidiis ſtant, aliâs extra, aliâs intra muros, prout indicati periculi ratio poſtulaverit. Iam quum univerſæ copiæ ut plurimum ſint eis diviſæ in legiones duas Romanas, & paria ſociorum auxilia, interdum quatuor

Digitized by Google

νίως ἀθροιζομένων ὁμοῦ τῶν τεττάρων, πάντες οἱ πρὸς τὴν ἁρπαγὴν ἀπομεριθέντες ἀναφέρουσι τὰς 5 ὠφελείας, ἕκαστοι τοῖς ἑαυτῶν στρατοπέδοις. κἄπειτα πραθέντων τούτων, οἱ χιλίαρχοι διανέμουσι πᾶσιν ἴσον, οὐ μόνον τοῖς μείναστν ἐν ταῖς ἐφεδρείαις, ἀλλὰ καὶ τοῖς τὰς σκηνὰς φυλάττουσι, τοῖς τε ἀρρώστοῦσι, καὶ τοῖς ἐπί τινα λειτουργίαν ἀπεσταλ- 6 μένοις. Περὶ δὲ τοῦ μηδένα νοσφίζεσθαι μηδὲν τῶν ἐκ τῆς διαρπαγῆς, ἀλλὰ τηρεῖν τὴν πίστιν, κατὰ τὸν ὅρκον ὀμνύουσι πάντες, ὅταν ἀθροισθῶσι πρῶτον εἰς τὴν παρεμβολὴν, ἐξιέναι μέλλοντες εἰς τὴν πολε- 7 μίαν. ὑπὲρ τούτου δὲ τοῦ μέρους εἴρηται πρότερον ἡμῖν διὰ πλειόνων ἐν τοῖς περὶ τῆς Πολιτείας. 8 Λοιπὸν, ὅταν οἱ μὲν ἡμίσεις τραπωνται πρὸς τὰς ἁρπαγὰς, οἱ δὲ ἡμίσεις διαφυλάττοντες τὰς τάξεις ἐφε-

A.V.545. Præda æqualiter dividitur.

5. πραθέντων correxit Casanb. πραχθέντων Herv. cum codd. omnibus. 6. Verba κατὰ τὸν ὅρκον ad seqq. retuli, quæ vulgo cum præcedentibus jungebantur. 7. πρότερον debetur Casaubono. πρῶτον Herv. cum libris omnibus, quod ex πρὸ τοῦ corruptum esse posse monuit Dorvill. Ibid. τῆς Πολιτ. Articulum adscivi ex Reg. E.

quatuor legiones (etsi id fit rarius) simul habeant; omnes, qui ad diripiendam urbem fuerunt selecti, prædam universam ad suas quique legiones referunt. Qua vendita, tribuni deinde æquis portionibus inter omnes pecuniam dividunt: & habetur ratio non eorum tantum, qui in subsidiis manserunt, sed & illorum qui tentoria custodierunt, item ægrotorum, & si qui ad muneris alicujus curationem fuerint alio missi. Quod autem nihil quidquam de præda sint averfuri, sed fidem servaturi, id vero cuncti jurant, quando sacramento adstringuntur, primum in expeditionem profecturi conveniunt in castra. Sed de hac re dicta sunt nobis plura, cum *de Reipubl. Romanæ institutis* ageremus. Ceterum, quum hoc modo pars dimidia intendat prædæ, dimidia servatis ordinibus præsto sit in subsidium diripientibus; num-

Digitized by Google

Ol. 142. 3. Præda æqualiter dividitur.

ἐφεδρεύωσι τούτοις, οὐδέποτε κινδυνεύει Ῥωμαίοις τὰ ὅλα διὰ πλεονεξίαν. τῆς γὰρ ἐλπίδος τῆς κατὰ τὴν ὠφέλειαν οὐκ ἀπιστουμένης ἀλλήλοις, ἀλλ' ἐπίσης ἑστηκυίας τοῖς μένουσι κατὰ τὰς ἐφεδρείας καὶ τοῖς διαρπάζουσιν, οὐδεὶς ἀπολείπει τὰς τάξεις· ὃ μάλιστα τοὺς ἄλλους εἰώθε βλάπτειν.

XVII. Præda æqualiter dividenda.

Ἐπειδὴ γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων κακοπαθοῦσι καὶ κινδυνεύουσι τοῦ κέρδους ἕνεκεν· φανερὸν, ὡς, ὅταν ὁ καιρὸς οὗτος ὑποπέσῃ, δυσχερῶς εἰκὸς ἀπέχεσθαι τοὺς ἐν ταῖς ἐφεδρείαις ἢ στρατοπεδείαις ἀπολειπομένους, διὰ τὸ παρὰ τοῖς πλείστοις πᾶν τὸ ληφθὲν εἶναι τοῦ κυριεύσαντος. καὶ γὰρ, ἂν ὅλως μόναρχος ἢ στρατηγὸς ἐπιμελὴς ἀναφέρειν

8. κινδυνεύει correxit Casaub. κίνδυνος Aug. Reg. F. G. Vesont. Tubing. συμβαίνει κίνδυνος Herv. cum Med. κινδυνεύειν absque συμβαίνει Vrb. Reg. E. Placeret utique συμβαίνει κινδυνεύειν. 9. ἐπίσης. Sic correxi. Mendose Herv. & libri omnes ἀλλ' ἐπὶ τῆς ἑστηκ. Vnde parum feliciter Casaub. effecit ἀλλ' ἑστηκυίας ἐπὶ τοῖς μένουσι. Ibid. κατὰ τὰς ἐφεδρ. recte dedit Reg. E. Ceteri vulgo κατὰ τῆς ἐφεδρ.

XVII. 1. παρὰ τοῖς. διὰ τὸ τοὺς παρὰ τοῖς Herv. cum libris omnibus. τοὺς delevit Casaub. cum Vrsino. 2. ἐπιμελὴς. Sic Reg. E. ἐπιμελεῖς Herv. cum ceteris. καὶ ἐπιμελῶς Casaub.

numquam accidit, ut propter lucri cupiditatem in summæ rei discrimen perveniant Romani. Quoniam enim de consequenda præda non diffidunt sibi invicem, sed certum est, æquam ejus portionem habituros & eos qui in subsidiis manserint, & eos qui prædati fuerint; nemo ordines deserit, quæ res sæpe aliis noxam parit.

17. Nimirum ita est: plerique mortalium & ærumnas perferunt, & periculis sese objiciunt, spe lucri cujusdam. Ex quo, ut facile quivis intelligit, quoties occasio parandi lucri datur, ægre omnino ab illo se abstinere par est eos, qui in subsidiis aut castris relinquuntur; propterea quod moribus populorum fere omnium receptum est, ut ei cedat præda, qui cepit. Etenim si vel maxime rex aut imperator diligens prædam omnem in com-

Digitized by Google

Φέρειν εἰς τὸ κοινὸν ἐπιτάξῃ τὰς ὠφελείας, ὅμως A.V.545.
3τὰ δυνατὰ κρύπτεσθαι πάντες ἴδια νομίζουσι. διὸ Præda æqualiter dividenda.
τῶν πολλῶν, ὁρμώντων ἐπὶ τοῦτο τὸ μέρος, οὐ δυνά-
4μενοι κρατεῖν, κινδυνεύουσι τοῖς ὅλοις. καὶ πολλοὶ
δή τινες, κατορθώσαντες τὰς ἐπιβολὰς, καὶ ποτὲ
μὲν ἐπιπεσόντες ταῖς τῶν πολεμίων παρεμβολαῖς,
ποτὲ δὲ καταλαβόμενοι πόλεις, οὐ μόνον ἐξέπεσον,
ἀλλὰ καὶ τοῖς ὅλοις ἐσφάλησαν, παρ' οὐδὲν ἢ τὴν
5προειρημένην αἰτίαν. Διὸ δεῖ περὶ μηδὲν οὕτω σπου-
δάζειν καὶ προνοεῖσθαι τοὺς ἡγουμένους, ὡς περὶ τοῦ-
το τὸ μέρος, ἵνα, καθ' ὅσον ἐστὶ δυνατὸν, ὑπάρχῃ
παρὰ τοῖς πολλοῖς ἐλπὶς, ὡς ἐξ ἴσου πᾶσι τῆς ὠφε-
λείας οὔσης, ἐάν τις ὑποπίπτῃ τοιοῦτος καιρός.
6Πλὴν οἱ μὲν χιλίαρχοι τότε περὶ τὴν τῶν λαφύρων
ἦσαν οἰκονομίαν· ὁ δὲ στρατηγὸς τῶν Ῥωμαίων, ἐπεὶ Captivos curat Scipio.
συνήχθη τὸ τῶν αἰχμαλώτων πλῆθος, ὃ συνέβη γε-
νέσθαι μικρῷ λεῖπον τῶν μυρίων, συνέταξε, χωρι-
σθῆναι

commune adferri jusserit; omnes tamen, quæ possunt occuli, ea sibi ducunt esse propria. Vnde fit, ut, quum reprimi multitudinis impetus ad lucrum consectandum nequeat, etiam de sua salute universi exercitus periclitentur. Sæpe igitur multis accidit, ut, ex animi sententia confectis quæ destinaverant, quum vel in hostium castra irrupissent, vel urbem aliquam jam cepissent, non solum inde extruderentur, sed etiam rei summam perderent, non aliam nisi eam, quam modo dixi, ob causam. Hoc unum igitur, si quid aliud, summo studio & cura provideant duces exercituum, ut, quoad ejus fieri potest, spes certa omnium animis sit insita, si qua prædandi exstiterit occasio, æquis partibus inter omnes prædam iri divisum. Vt ad Romanum imperatorem redeam, dum tribuni militum prædæ distribuendæ provinciam administrant, ipse e *captivorum* turba, in unum congregata, (& erant non multo pauciores capti de-

Digitized by Google

Ol. 142. 3. Captivos curat Scipio.

θῆναι πρῶτον μὲν τοὺς πολιτικοὺς ἄνδρας τε καὶ γυναῖκας, καὶ τὰ τούτων τέκνα, δεύτερον δὲ τοὺς χειροτέχνας. γενομένου δὲ τούτου, τοὺς μὲν πολιτι- 7
κοὺς παρακαλέσας εὐνοεῖν Ῥωμαίοις, καὶ μνημονεύειν τῆς εὐεργεσίας, ἀπέλυσε πάντας ἐπὶ τὰς ἰδίας οἰ-
κήσεις. οὗτοι μὲν οὖν ἅμα δακρύοντες καὶ χαίροντες 8
ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας, προσκυνήσαντες τὸν στρατηγὸν διελύθησαν. Τοῖς δὲ χειροτέχναις 9
κατὰ τὸ παρὸν εἶπε, διότι δημόσιοι τῆς Ῥώμης εἰσί· παρασχομένοις δὲ τὴν εὔνοιαν καὶ προθυμίαν ἑκά-
στοις, κατὰ τὰς αὐτῶν τέχνας, ἐπηγγείλατο τὴν ἐλευθερίαν, κατὰ νοῦν χωρήσαντος τοῦ πρὸς τοὺς Καρχηδονίους πολέμου. καὶ τούτους μὲν ἀπογράφε- 10
σθαι προσέταξε πρὸς τὸν ταμίαν, συστήσας Ῥω-
μαϊκὸν ἐπιμελητὴν κατὰ τριάκοντα· τὸ γὰρ πᾶν πλῆθος ἐγένετο τούτων περὶ δισχιλίους. ἐκ δὲ τῶν 11
λοιπῶν αἰχμαλώτων ἐκλέξας τοὺς εὐρωστοτάτους, καὶ

10. Ῥωμαϊκὸν. Ῥωμαϊκῶν *Herv. Aug. Regii tres, Veſont. Tubing.*

cem millibus) cives primo utriusque ſexus ſegregari jubet cum liberis ipſorum, deinde opifices. Quo facto, *cives* adhortatus, ut *populo Romano amici eſſe vellent, & beneficii meminiſſe*, domum quemque ſuam omnes dimiſit. Qui, tam inopinatæ ſalutis potiti, præ gaudio lacrymantes, imperatorem venerati ab eo diſceſſerunt. *Opificibus* edixit: *in præſentia publicos eos eſſe populi Romani: quodſi vero in miniſteriis earum artium, quas ſinguli eorum tenerent, benevole & enixe operam navaſſent, poſt confectum feliciter bellum cum Carthaginienſibus libertatem ipſis promiſit.* Atque his imperavit, ut nomina apud quæſtorem profiterentur, &, quum eorum numerus eſſet ad duo millia, diviſis per tricenos, curatorem Romanum cuique manui adtribuit. E cetera multitudine captivorum ſelectos robuſtiſſimos quosque,

Digitized by Google

καὶ τοῖς εἴδεσι καὶ ταῖς ἡλικίαις ἀκμαιοτάτους, A.V.545.
12 προσέμιξε τοῖς αὐτοῦ πληρώμασι· καὶ ποιήσας Naves capt.
ἡμιολίους τοὺς πάντας ναύτας ἢ πρόσθεν, συνεπλήρωσε καὶ τὰς αἰχμαλώτους νῆας· ὥστε τοὺς ἄνδρας ἑκάστῳ σκάφει βραχύ τι λείπειν τοῦ διπλασίους εἶναι τοὺς ὑπάρχοντας τῶν προγενομένων.
13 αἱ μὲν γὰρ αἰχμάλωτοι νῆες ἅμ' ὀκτωκαίδεκα τὸν ἀριθμὸν, αἱ δ' ἐξ ἀρχῆς πέντε καὶ τριάκοντα.
14 παραπλησίως δὲ καὶ τούτοις ἐπηγείρατο τὴν ἐλευθερίαν, παρασχομένοις τὴν αὐτῶν εὔνοιαν καὶ προθυμίαν, ἐπειδὰν κρατήσωσι τῷ πολέμῳ τῶν Καρ-
15 χηδονίων. Τοῦτον δὲ χειρίσας τὸν τρόπον τὰ κατὰ τοὺς αἰχμαλώτους, μεγάλην μὲν εὔνοιαν καὶ πίστιν ἐνεργάσατο τοῖς πολιτικοῖς καὶ πρὸς αὐτὸν καὶ πρὸς τὰ κοινὰ πράγματα, μεγάλην δὲ προθυμίαν τοῖς χειροτέχναις διὰ τὴν ἐλπίδα τῆς ἐλευθερίας.

P 2 ἡμιό-

11. καὶ τοῖς. καὶ τοῖς τε εἴδεσι *malim*. 12. προγενομένων. προσγενομένων *scribendum contendit Reiskius*.

que, & ſpecie corporis atque ætate florentiſſimos, ſociis navalibus immiſcuit. Et nautarum numero, quos in univerſum prius habuerat, dimidia parte auctо, quum naves quoque captivas inſtruxiſſet, repertum eſt in ſingulis navibus alterum fere tantum virorum, atque prius fuerat. Captivas ſiquidem naves armavit decem & octo: habuerat autem prius quinque & triginta. Pariter autem etiam his ſpem libertatis fecit, ubi Romani Pœnos, debellaſſent, ſi eorum opera fideli & promta respublica eſſet uſa. Et *Scipio* quidem erga *captivos* ita ſe gerens, cum animos civium illexit, ut & privatim ipſi & publice populo Romano bene cuperent, ac fidem ſervatam vellent; tum ipſos opifices, ſpe libertatis oſtenſa, promtos ad omnia atque alacres reddidit. Et quoniam

Digitized by Google

Ol. 142. 3. ἡμιόλιον δὲ ποιήσας τὸ ναυτικὸν ἐκ τοῦ καιροῦ διὰ 16
τὴν αὐτοῦ πρόνοιαν· * *

XVIII. Μετὰ δὲ ταῦτα Μάγωνα καὶ τοὺς ἅμα τούτῳ
Mago & Senatores capti. Καρχηδονίους ἐχώριζε. δύο μὲν γὰρ ἦσαν κατειλημ-
μένοι τῶν ἐκ τῆς Γερουσίας, πέντε δὲ καὶ δέκα τῶν
ἐκ τῆς Συγκλήτου. καὶ τούτους μὲν συνέστησε Γαΐῳ 2
Λαιλίῳ, συντάξας, τὴν ἀρμόζουσαν ἐπιμέλειαν ποιεῖ-
Obsides. σθαι τῶν ἀνδρῶν. Ἐπὶ δὲ τούτοις τοὺς ὁμήρους 3
προσεκαλέσατο, πλείους ὄντας τῶν τριακοσίων.
καὶ τοὺς μὲν παῖδας καθ' ἕνα προσαγόμενος καὶ
καταψήσας, θαρρεῖν ἐκέλευε, διότι μετ' ὀλίγας
ἡμέρας ἐπόψονται τοὺς αὐτῶν γονεῖς. τοὺς δὲ λοι- 4
πούς ὁμοῦ παρεκάλεσε πάντας θαρρεῖν, καὶ γρά-
φειν αὐτοὺς εἰς τὰς ἰδίας πόλεις πρὸς τοὺς αὐτῶν
ἀναγκαίους· πρῶτον μέν, ὅτι σώζονται καὶ καλῶς
αὐτοῖς ἐστι· δεύτερον δὲ, διότι θέλουσι Ῥωμαῖοι
πάντας

16. Defectus signum *in fine adjiciendum putavi: & suspicor, intercidisse panca verba. a verbo μέγα vel μεγάλην incipientia, in hanc fere sententiam*, magnum viribus suis momentum adjecit.
XVIII. 4. *Post γράφειν αὐτοὺς excidisse videtur verbum ἐκέλευε.*

niam eadem occasione navium numerum per suam prudentiam dimidia parte auxit; * *

18. Secundum hæc *Magonem* e captivorum turba segregavit, & Carthaginienses reliquos qui cum ipso erant: duo namque e *Seniorum collegio* Carthaginiensium inter captivos fuere, ex reliquo *senatu* quindecim. Hos *C. Lælio* tradidit, &, ut curam ipsorum quantam par erat haberet, præcepit. *Obsides* postea ad se vocavit, qui plures erant trecentis. Ex his pueros, singulos ad se accedere jussos, blanditiis demulcens, *bono animo ut essent*, jubebat: *fore namque intra paucos dies, ut parentes suos viderent.* Ceteris in commune præcepit, *bonum haberent animum, & ad suos quisque in patriam literas darent, quibus facerent eos certiores, primum, salvos esse se & commode haberi; deinde, constituisse Romanos,*

Digitized by Google

πάντας αὐτοὺς εἰς τὴν οἰκείαν ἀποκαταστῆσαι μετ' ἀσφαλείας, ἑλομένων τῶν ἀναγκαίων σφίσι τὴν πρὸς Ῥωμαίους συμμαχίαν. Ταῦτα δ' εἰπὼν, καὶ παρεσκευακὼς πρότερον ἐκ τῶν λαφύρων τὰ λυσιτελέστερα πρὸς τὴν ἐπίνοιαν, τότε κατὰ γένη καὶ καθ' ἡλικίαν ἑκάστοις ἐδωρεῖτο τὰ πρέποντα· ταῖς μὲν παισὶ κόνους καὶ ψελλία, τοῖς δὲ νεανίσκοις χλαμύδας καὶ μαχαίρας. Ἐκ δὲ τῶν αἰχμαλωτίδων, τῆς Μανδονίου γυναικὸς, ὃς ἦν ἀδελφὸς Ἀνδοβάλου, καὶ τοῦ τῶν Ἰλεργητῶν βασιλέως, προσπεσούσης αὐτῷ, καὶ δεομένης μετὰ δακρύων, ἐπιστροφὴν ποιήσασθαι τῆς αὐτῶν εὐσχημοσύνης ἀμείνω Καρχηδονίων· συμπαθὴς γενόμενος ἤρετο, τί λείπει τῶν ἐπιτηδείων αὐταῖς· καὶ γὰρ ἦν ἡ γυνὴ πρεσβυτέρα, καί τινα προστασίαν ἀξιωματικὴν ἐπιφαίνουσα. τῆς δὲ καταστιω-

A.V. 545. Obsides.

Vxor Mandonii, & aliæ captivæ.

P 3

6. ἰαμφὰς. ἰάμφας Herv. Med. ἰάμβας Casaub. cum Vrb. Aug. Regii & Vesont. 7. Ἰλεργητῶν. Λεχητῶν Herv. cum Med. Aug. Reg. F. G. Vesont. Tub. Λεγγητῶν Reg. E. 8. ἤρετο correxi. Vulgo omnes ἤγετο. Ibid. αὐταῖς. Vulgo αὐτοῖς. Correxi cum Reisk.

manos, domos ſuas quemque ipſorum remittere, ſi modo vellent ipſorum neceſſarii ſocietatem populi Romani amplecti. Hæc locutus, quum jam ante e ſpoliis ſelecta quædam præparaſſet, quæ ad præſens inſtitutum præ ceteris adcommodata videbantur, convenientia unicuique pro ſexu aut ætate munuſcula diviſit: puellis, inaures & armillas; adoleſcentibus, cultros & gladios. Inter hæc quum e captivarum turba mulier, quæ *Mandonii* uxor erat, fratris *Indibilis*, *Ilergetum* reguli, flens ad pedes imperatoris procubuiſſet, obteſtans, ut *decoris matronalis majorem curam haberet, quam habuiſſent Carthaginienſes: Scipio*, miſeratione tactus, *ecquid ipſis eorum, quæ eſſent neceſſaria, deeſſet*, interrogat. Erat enim mulier ætate provectior, & ſpeciem dignitatis cujusdam & majeſtatis præ ſe ferebat. Tacente illa, impe-

Digitized by Google

Ol. 142. 3. Captivæ.

ταsιωπώσης, ἐκάλει τοὺς πρὸς τὴν ἐπιμέλειαν τῶν γυναικῶν ἀποτεταγμένους. ὧν παραγενομένων, καὶ διασαφούντων, ὅτι πάντα τὰ δέοντα δαψιλῶς αὐταῖς Καρχηδόνιοι παρεσκεύαζον, πάλιν ὁμοίως ἁψαμένης αὐτοῦ τῶν γονάτων τῆς γυναικὸς, καὶ τὸν αὐτὸν εἰπούσης λόγον, μᾶλλον ἔτι διαπορήσας ὁ Πόπλιος, καί τινα λαβὼν ἔννοιαν, ὡς ὀλιγωρούντων, καὶ ψευδῶς πρὸς τὸ παρὸν ἀποφαινομένων τῶν πρὸς τὴν ἐπιμέλειαν ἀποτεταγμένων, θαρρεῖν ἐκέλευε τὰς γυναῖκας· αὐτὸς γὰρ ἑτέρους ἐπιστήσειν τοὺς φρον- 11
τιοῦντας, ἵνα μηδὲν αὐτὰς ἐλλείπῃ τῶν ἐπιτηδείων. Ἡ δ' ἐπισχοῦσα μικρὸν, οὐκ ὀρθῶς, ἔφη, ὦ στρα- 12
τηγὲ, τοὺς ἡμετέρους ἐκδέχῃ λόγους, εἰ νομίζεις, ἡμᾶς ὑπὲρ τῆς γαστρὸς δεῖσθαί σου νῦν. καὶ τότε 13
λαβὼν ὁ Πόπλιος ἐν νῷ τὸ βούλημα τῆς γυναικὸς, καὶ θεωρῶν ὑπὸ τὴν ὄψιν τὴν ἀκμὴν τῶν Ἀνδοβάλου θυγατέρων, καὶ πλειόνων ἄλλων δυναστῶν, ἠναγκάσθη

12. ὦ στρατηγὲ. *Particulam* ὦ *ex Suida adjeci.*

imperator eos vocat, quibus fœminarum cuſtodia fuerat a Pœnis demandata. Adſunt cuſtodes, &, *Pœnos, quidquid poſtularet uſus, liberaliter iis ſuppeditaſſe*, confirmant. Mulier ad genua *Scipionis* iterum manus porrigere, & preces repetere easdem. Ille impenſius etiam mirari, quid rei eſſet: quumque ita ſecum ſtatueret, negligenter officio fungi, & fingere falſa pro tempore eos, qui illi curationi fuerant præfecti; *bonum habere animum fœminas* jubet: *aliis enim ſe negotium daturum, ne quid ipſis ad victum aut cultum deeſſet.* Ad quæ illa, poſt breve ſilentium, *verba noſtra*, ait, *non recte capis, Imperator, ſi gulæ cauſſa tibi nunc ſupplicare nos putas.* Tum enimvero, quid ſibi mulier vellet, ſuboleſcere cœpit *Scipioni:* qui, *Indibilis* filias & plurimorum aliorum regulorum, ſimul ætate ac forma florentes,

Digitized by Google

καὶθη δακρύσαι, τῆς γυναικὸς ἐν ὀλίγῳ τὴν τῆς πε- A.V.545.
ριστάσεως ἔμφασιν ὑποδεικνυούσης. διὸ δὴ καὶ τότε Captivæ.
φανερὸς γενόμενος, ὅτι σύνηκε τὸ ῥηθὲν, καὶ λαβό-
μενος τῆς δεξιᾶς, θαῤῥεῖν αὐτήν τε ταύτην ἐκέλευε,
καὶ τὰς ἄλλας ὁμοίως· ποιήσεσθαι γὰρ πρόνοιαν ὡς
ἰδίων ἀδελφῶν καὶ τέκνων, συστήσεσθαι δὲ καὶ πρὸς
τὴν τούτων ἐπιμέλειαν ἀκολούθως τοῖς προειρημέ-
νοις πιστοὺς ἄνδρας.

Μετὰ ταῦτα παρεδίδου τοῖς ταμίαις τὰ χρή- XIX.
ματα, ὅσα δημόσια κατελήφθη τῶν Καρχηδονίων. Pecunia
ἦν δὲ ταῦτα πλείω τῶν ἑξακοσίων ταλάντων· ὥστε, captæ.
προστεθέντων τούτων οἷς παρῆν αὐτὸς ἐκ Ῥώμης
ἔχων τετρακοσίοις, τὴν ὅλην παράθεσιν αὐτῷ γε-
νέσθαι τῆς χορηγίας πλείω τῶν χιλίων. Κατὰ δὲ Conti-
τὸν καιρὸν τοῦτον νεανίσκοι τινὲς τῶν Ῥωμαίων, nentia
ἐπιτυχόντες παρθένῳ, κατὰ τὴν ἀκμὴν καὶ κα- Scipionis.
τὰ τὸ κάλλος διαφερούσῃ τῶν ἄλλων γυναικῶν,

XIX. 2. *αὐτῷ correxi. Vulgo omnes αὐτῶν.*

tes, oculis ſuis ſubjectas intuens, lacrymas tenere non potuit, ubi mulier ſuæ ſortis calamitatem verbo innuiſſet. Tunc igitur mentem ipſius perſpectam ſibi ſignificans, ſupplicis dextram prehendit, & cum ipſam tum alias omnes bene ſperare jubet: *ſe illarum, non ſecus ac propriarum ſororum aut natarum, curam habiturum, &, quemadmodum jam eſſet pollicitus, fidos homines ad id delecturum, quibus cuſtodiam ipſarum delegaret.*

19. Secundum hæc quidquid publicæ *pecuniæ* fuerat captum, id *Scipio* quæſtoribus adnumeravit. Atque ea talentorum ſexcentorum ſummam ſuperabat: quæ ſumma ut quadringentis illis talentis fuit adjecta, quæ ipſe Roma adtulerat, univerſus repoſitæ pecuniæ ad uſum belli numerus talentorum amplius mille eſt effectus. Per idem vero tempus juvenes quidam Romani, *virginem* nacti, & ætatis flore, & formæ bonitate ceteris mulieribus longe

Digitized by Google

Ol. 142. 3. Continentia Scipionis.

καὶ συνειδότες, Φιλογύνην ὄντα τὸν Πόπλιον, ἦκον αὐτὴν ἄγοντες, καὶ παραστήσαντες ἔφασκον, αὐτῷ δωρεῖσθαι τὴν κόρην. ὁ δὲ καταπλαγεὶς, καὶ θαυμάσας τὸ κάλλος· ἰδιώτης μὲν ὢν, οὐδεμίαν ἥδιον ἂν, ἔφη, δέξαιθαι ταύτης τῆς δωρεᾶς· στρατηγὸς δ' ὑπάρχων, οὐδ' ὁποίαν ἂν ἧττον· ὡς μὲν ἐμοὶ δοκεῖ, τοῦτ' αἰνιττόμενος διὰ τῆς ἀποφάσεως, διότι κατὰ μὲν τὰς ἀναπαύσεις ἐνίοτε καὶ ῥᾳθυμίας ἐν τῷ ζῆν ἡδείας τοῖς νέοις ἀπολαύσεις τὰ τοιαῦτα παρέχεται καὶ διατριβάς· ἐν δὲ τοῖς τοῦ πράττειν καιροῖς μέγιστα γίγνεται καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν ἐμπόδια τοῖς χρωμένοις. Τοῖς μὲν οὖν νεανίσκοις, ἔφη, χάριν ἔχειν· τὸν δὲ τῆς παρθένου πατέρα καλέσας, καὶ δοὺς αὐτὴν ἐκ χειρὸς, ἐκέλευε συνοικίζειν ᾧ ποτ' ἂν προαιρῆται τῶν πολιτῶν. δι' ὧν καὶ τὰ τῆς ἐγκρατείας καὶ τὰ τῆς μετριότητος

3. *συνειδότες. Alii vulgo* συνιδόντες. Ibid. *Φιλογύνην. Φιλογύναιον Suidas. Alii* Φιλόγυνον. 4. *ὁποίαν ἄν. Ignorant* ἄν *alii.* 6. *Verba* ἐκ χειρὸς *sequentibus juncta voluit Reisk.*

ge præstantem; quum non ignorarent, *Scipionem* natura mulierosum esse; puellam ad ipsum adducunt, atque in conspectu illius sistentes, *hanc se illi donare muneri*, dicunt. *Scipio* miraculo pulcritudinis attonitus, *Ego vero*, inquit, *nec si privatus viverem, poteram accipere munus ullum aliud magis gratum, neque nunc imperator ullum aliud minus gratum:* hoc nimirum dicto, ut mihi videtur, innuens, ejusmodi res per otium quidem interdum, & quoties frui ludo ætatis juvat, suaves juvenibus oblectationes præbere & curarum levamenta; easdem vero, si quis per agendi tempora iis utatur, & corpori & animo maxima adferre impedimenta. Igitur *magnas* ille *quidem juvenibus se habere gratias* dixit: ceterum *virginis patre* accito, e vestigio suam ei filiam tradidit, jubens, ut, *cui vellet cumque civium, nuptum eam daret.* Hoc ille suæ continentiæ & moderationis

τητος ἐμφαίνων, μεγάλην ἀποδοχὴν ἐνεργάζετο A.V.545.
τοῖς ὑποτατ|ομένοις. Ταῦτα δὲ διοικησάμενος, καὶ Lælium Romam mittit Scipio.
τὰ λοιπὰ τῶν αἰχμαλώτων παραδοὺς τοῖς χιλιάρχοις, ἐξέπεμψε Γάϊον τὸν Λαίλιον ἐπὶ πεντήρους εἰς τὴν Ῥώμην, τούς τε Καρχηδονίους συστήσας, καὶ τῶν ἄλλων αἰχμαλώτων τοὺς ἐπιφανεστάτους, δηλώσοντα τοῖς ἐν τῇ πατρίδι τὰ γεγονότα. Τὸ γὰρ πλεῖον αὐτῶν ἤδη τὰ κατὰ τὴν Ἰβηρίαν ἀπηλπικότων, σαφῶς ἤδει, διότι τούτων προσαγγελθέντων αὖθις ἀναθαῤῥήσαντες, πολλαπλασίως συνεπιλήψονται τῶν πραγμάτων.

Αὐτὸς δὲ χρόνον μέν τινα ἐν τῇ Καρχηδόνι τάς XX. Exercitia militaria.
τε ναυτικὰς δυνάμεις ἐγύμναζε συνεχῶς, καὶ τοῖς χιλιάρχοις ὑπέδειξε τοιοῦτόν τινα τρόπον τῆς τῶν πεζικῶν στρατοπέδων γυμνασίας. τὴν μὲν πρώτην ἡμέραν ἐκέλευσε τροχάζειν ἐπὶ τριάκοντα σταδίους ἐν τοῖς ὅπλοις· τὴν δὲ δευτέραν πάντας ἐκτρίβειν

P 5 καὶ

9. ἤδει. *Alii* ἤδη.

tionis edito ſpecimine, magna ſtudia adſequebatur eorum, quibus imperabat. His ita conſtitutis, & turba cetera captivorum tribunis tradita, *C. Lælii* fidei & Carthaginienſes, & nobiliſſimum quemque ex aliis captivis committens, data quinquereme, nuncium eum victoriæ Romam mittit. Nam quum Romani res Hiſpaniæ maximam partem pro jam conclamatis haberent; certo ſciebat Publius, ipſos hoc accepto nuncio excitatum iri, ut animos denuo ſumerent, & mox in belli curam acriori contentione eſſe incubituros.

20. Ipſe *Carthagine Nova* aliquamdiu moratus, copias nauticas aſſidue exercebat, ſimulque tribunis militum exercendi pedeſtres copias talem quamdam rationem præivit. Primo die, legiones in armis quatuor circiter millium ſpatia juſſit decurrere: ſecundo die, arma

Digitized by Google

Ol. 142. 3. Exercitia militaria.

καὶ θεραπεύειν καὶ κατασκοπεῖν ἐν τῷ φανερῷ τὰς πανοπλίας· τῇ δ' ἑξῆς ἀναπαύεσθαι καὶ ῥᾳθυμεῖν· τῇ δὲ μετὰ ταύτην τοὺς μὲν μαχαιρομαχεῖν ξυλί- 3
νοις ἐσκυτωμένοις μετ' ἐπισφαιρῶν μαχαίραις, τοὺς δὲ τοῖς ἐσφαιρωμένοις γρόσφοις ἀκοντίζειν· τῇ δὲ πέμπτῃ πάλιν ἐπὶ τοὺς αὐτοὺς δρόμους κατὰ τὴν

Fervent fabrorum officinæ. ἀρχὴν ἐπαναγειν. Ἵνα μὴ δέ τι τῶν πρὸς τὰς με- 4
λέτας ὅπλων, μήτε τῶν πρὸς τὴν ἀλήθειαν μηδὲν ἐλλείπῃ, τὴν πλείστην ἐποιεῖτο σπουδὴν πρὸς τοὺς χειροτέχνας. κατὰ μέρος μὲν οὖν ἄνδρας ἐπιμελεῖς 5
ἐφεστάκει πρὸς ταύτην τὴν χρείαν, καθάπερ ἐπάνω προεῖπον· αὐτὸς δὲ καθ' ἡμέραν ἐπεπορεύετο, καὶ δι' αὐτοῦ τὰς χορηγίας ἑκάστοις παρεσκεύαζε. Λοιπὸν τῶν μὲν πεζικῶν στρατοπέδων 6
κατὰ τοὺς πρὸ τῆς πόλεως τόπους χρωμένων ταῖς μελέταις καὶ ταῖς γυμνασίαις, τῶν δὲ ναυτικῶν δυνάμεων κατὰ θάλατταν ταῖς ἀναπείραις καὶ ταῖς εἰρε-

XX. 3. ἐπισφαιρῶν. ἐπισφαίρων Casaub. invitis institis. Ibid. κατὰ τὴν ἀρχήν. καὶ τὴν ἀρχὴν Aug. Regii quatuor, Vesont. Tubing. Unde forsan scribendum δρόμους, οὓς (vel ὡς) καὶ τὴν ἀρχήν. 5. ἐπεπορεύετο correxi cum Reisk. Vulgo omnes ἐπορεύετο.

ma tergere & curare omnes & inspicere ante tentoria: tertio, quiescere & cessare: quarto, alios rudibus pugnare, quæ pilis coriaceis erant præfixæ, alios præpilatis missilibus jaculari: quinto, iterum ad easdem decursiones, ut ante, erat militibus redeundum. Vt autem nullum genus armorum, sive quæ ad campestres exercitationes, sive quæ ad justas pugnas adhibentur, deficeret, summæ ipsi curæ erant fabri. Horum igitur singulis corporibus, quod antea dicebamus, curatores ubi præfeciffet: ipse quotidie ad illos itare, & adparatum, quo quibusque opus erat, ipse procurare. Itaque ergo quum legiones extra urbem pro mœnibus rem bellicam meditarentur, & sese exercerent, copiæ nauticæ agilitatem navium & industriam suam mari experiren

tur,

Digitized by Google

ἐρεσίαις, τῶν δὲ κατὰ τὴν πόλιν ἀκονώντων τε καὶ A.V.545.
χαλκευόντων καὶ τεκταινομένων, καὶ συλλήβδην
ἁπάντων σπουδαζόντων περὶ τὰς τῶν ὅπλων κατα-
7 σκευάς· οὐκ ἔστιν ὅστις οὐκ ἂν εἴπε, κατὰ τὸν Ξε- Xenophontis dictum.
νοφῶντα, τότε θεασάμενος, ἐκείνην τὴν πόλιν ἐρ-
8 γαστήριον εἶναι πολέμου. Ἐπεὶ δ' αὐτῷ πάντα κα-
λῶς ἐδόκει καὶ δεόντως ἐξησκῆθαι τὰ πρὸς τὰς
χρείας, μετὰ ταῦτα, ταῖς τε φυλακαῖς καὶ ταῖς
τῶν τειχῶν κατασκευαῖς ἀσφαλισάμενος τὰ κατὰ
τὴν πόλιν, ἀνέζευξε καὶ τῇ πεζικῇ καὶ τῇ ναυτικῇ Tarraconem redit Scipio.
δυνάμει, καὶ προῆγε, ποιούμενος τὴν πορείαν ὡς ἐπὶ
Ταράκωνος, ἔχων μετ' αὐτοῦ καὶ τοὺς ὁμήρους.

* * *

Ἦσαν δὲ κινήσεις, ἃς ὑπελάμβανε πρὸς πάντα XXI. Equitum exercitatio.
καιρὸν ἁρμόζειν, αἷς ἔδει συνεθίθαι τοὺς ἱππεῖς,
2 αὑτούς. Αἱ καθ' ἵππον μὲν κλίσεις ἐφ' ἡνίαν, καὶ
πάλιν

XXI. 1. δὲ κινήσεις. δ' αἱ κινήσεις malim cum Reisk.

tur, in urbe item alibi ſamiatorum, qui ferramenta acuebant, alibi fabrorum ærariorum aut lignariorum ſtrepitus audiretur, omnium denique ſtudia in fabricandis armis abſumerentur: nemo poterat, illa cernens, *dictum Xenophontis* non uſurpare, *officinam belli eam urbem eſſe.* Hæc poſtquam viſus eſt ſibi imperator idonee curaſſe, & jam ſatis exercitatione eſſe profectum ad belli munia obeunda; deinde, refectis muris, diſpoſitisque præſidiis ad cuſtodiam urbis, cum claſſe & legionibus profectus, *Tarraconem* iter inſtituit, obſides quoque ſecum habens.

* * *

21. *Motus* autem, in quibus, ceu omni tempore utilibus, *equites exercitatos* eſſe *Scipio* volebat, ſunt iſti. Quod ad ſingulos adtinet: equi declinatio ad ſiniſtram,

&tur-

Digitized by Google

Ol.142.3. Equitum exercitatio.

πάλιν ἐπὶ δόρυ· πρὸς δὲ τούτοις μεταβολή. Κατ' 3 οὐλαμὸν δ' ἐπιστροφὴ, καὶ ἀναστροφὴ, καὶ περισπασμὸς, ἔτι δὲ ἐκπερισπασμός. πρὸς δὲ τούτοις, 4 ἐξαγωγαὶ κατὰ λόχους καὶ διλοχίας ἀφ' ἑκατέρων τῶν κεράτων μετὰ τάχους, ποτὲ δ' ἀπὸ τῶν μέσων· καὶ συναγωγαὶ πάλιν μετ' ἐποχῆς εἰς οὐλαμούς τε καὶ εἰς ἱππαρχίας. Ἐπὶ δὲ τούτοις ἐκτά- 5 ξεις ἐφ' ἑκατέρων τῶν κεράτων, ἢ διὰ παρεμβολῆς, ἢ διὰ παραγωγῆς τῆς παρὰ τοὺς οὐραγούς. τὰς μὲν 6 γὰρ κατὰ περίκλασιν οὐ προσδεῖσθαι μελέτης ἔφη· σχεδὸν γὰρ ὡσανεὶ πορείας ἔχειν διάθεσιν. Ἐκ δὲ 7 τούτου τὰς ἐπαγωγὰς τὰς ἐπὶ τοὺς ἐναντίους, καὶ τὰς ἀποχωρήσεις ἔδει συνεθίζειν ἐν πάσαις ταῖς κινή-

2. *Libri omnes dant* πρὸς δὲ τούτοις ἀναστροφὴ καὶ μεταβολή. *ignorantque* verſu ſeq. *verba* ἀναστροφὴ καὶ, *quæ, priori loco mota, in alterum transtulit Caſaub.* 4. οὐλαμοὺς τε καὶ εἰς ἱππαρχ. *ex conject. ſcripſi. Pro* τε καὶ *libri omnes habent* Ϝειλὰς *vel* Ϝεείλας, *pro quo corrupto vocab. in ora Ang.* ℣ *hinc in ora Herv. eſt* καϒ ἴλας. *Vnde Caſaubonus effecit* οὐλαμοὺς τε καὶ ἴλας εἰς ἱππαρχίας. *Debucrat ſaltem* καὶ ἴλας καὶ ἱππαρχίας. 5. παραγωγῆς *ex emend. Caſaub.* παραλογῆς *Herv. cum mstis, quod ex* παραλλαγῆς *corruptum videri poteſt:* ℣ *hoc ſuperſcriptum in altero Med.* 6. τὰς μὲν. τῆς μὲν *Caſaub. invitis mstis.*

& rurſus ad dextram; ad hæc converſio retrorſum. Ad turmas quod ſpectat: converſio totius turmæ uno flexu, reverſio in priorem poſitionem, tum circumactio turmæ duplici flexu, denique circumactio triplici flexu. Porro eductiones citato gradu ſingularum aut binarum decuriarum ex utroque cornu, vel interdum e media acie; tum, inhibito curſu, conjunctio rurſus in turmas & in alas vel præfecturas. Præterea inſtructiones aciei, ſive per ordinum interpolationem, ſive poſteriores a tergo præcedentium circumducendo. Nam inſtructionem aciei per inflexionem agminis non indigere cenſebat exercitatione; fere enim eamdem habere rationem, ac ſi in itinere ducitur agmen. Poſthæc vero & accedere ad hoſtem quovis genere motus, & ab eo recipere docendi erant milites; eatenus quidem,

Digitized by Google

κινήσεσιν ἐπὶ τοσοῦτον, ὥστε δεινῷ τῷ τάχει προσ- A.V.545. Equitum exercitatio.
άγειν, ἐφ' ὅσον συζυγοῦντας καὶ συστοιχοῦντας διαμένειν, ἅμα δὲ καὶ τὰ διαστήματα κατὰ τοὺς οὐλα-
8 μοὺς τηρεῖν· ὡς ἱππέων λευκοτάτων τὴν τάξιν τὴν
ἐν οὐλαμοῖς, αἱρουμένων κινδυνεύειν, οὐδὲν ἐπισφαλέ-
9 στερον ὑπάρχον, οὐδ' ἀχρειότερον. Ταῦτα δ' ὑποδείξας τοῖς τε πολίταις, καὶ τοῖς ἀποτελείοις, αὖθις ἐπεπορεύετο τὰς πόλεις· ἐξετάζων, πρῶτον μὲν, εἰ συμπεριφέρονται οἱ πολλοὶ τοῖς παραγγελλομένοις, δεύτερον δ', εἰ κρατοῦσιν οἱ κατὰ πόλεις ἄρχοντες τοῦ σαφῶς καὶ δεόντως διδόναι τὰ παραγ-
10 γέλματα· κρίνων, πρὸς τὴν ἀλήθειαν οὐδὲν ἀναγκαιότερον εἶναι τῆς τῶν κατὰ μέρος ἡγεμόνων ἐμπειρίας.

Προκατασκευασάμενος δὲ τὰ προειρημένα τοῦτον τὸν τρόπον, συνῆγε τοὺς ἱππεῖς ἐκ τῶν πόλεων εἰς ἕνα τόπον, καὶ δι' αὐτοῦ τὰς κινήσεις ἐπετέλει, καὶ XXII. Dux exercitus ubique adesse debet.

7. δεινῷ. *Alii libri* δεῖν *praeferunt, alii* δεῖ. 8. τὴν ἐν οὐλαμοῖς *cum Vrsino correxit Casaub.* τῶν ἐν οὐλ. *Herv. cum mstis.*

dem, ut summa celeritate possent accedere, simul ordines servantes, tam ratione eorum qui ad latus, quam qui pone sunt, simul justa inter turmas intervalla tenentes. Nihil enim periculosius aut perniciosius posse fieri censebat, quam si soluto turmarum ordine pugnam capessant equites. Ista exercitia postquam & multitudini & praefectis civitatum exemplis monstravit; rursus deinde lustravit oppida, inquirens primo, ecquid vulgus imperata facere satis didicisset; tum, an & ipsi praefecti civitatum perspicue ac rite imperare nossent: quippe ad vera certamina nihil magis esse necessarium arbitrabatur, quam singulorum ductorum ordinum peritiam.

22. His ita praeparatis, mox *equitibus* ex omnibus oppidis *in unum locum convocatis*, illos, quos dixi, motus ipse per se edebat, & decur-

Digitized by Google

Ol. 142. 3. Dux exercitus ubique adesse debet.

καὶ τὸν ὅλον χειρισμὸν αὐτὸς ἐποιεῖτο τῆς ἐξοπλισίας· οὐ προηγούμενος πάντων, ὅπερ οἱ νῦν ποιοῦσιν 2 ἡγεμόνες, ὑπολαμβάνοντες, ἡγεμονικὴν εἶναι τὴν πρώτην χώραν. Τί γὰρ ἀπειρότερον, ἅμα δ' ἐπι- 3 σφαλέστερον ἄρχοντος, ὃς ὁρᾶται μὲν ὑπὸ πάντων τῶν ὑποτεταγμένων, ὁρᾷ δ' οὐδένα; Οὐ γὰρ στρα- 4 τιωτικῆς ἐξουσίας, ἀλλ' ἡγεμονικῆς ἐμπειρίας, ἅμα δὲ καὶ δυνάμεως δεῖγμα δεῖ φέρειν τὸν ἱππαρχον ἐν ταῖς ἐξοπλισίαις, ποτὲ μὲν ἐν πρώτοις, ποτὲ δ' ἐν ἐσχάτοις, ποτὲ δὲ κατὰ μέσους γιγνόμενον. ὅπερ ὁ προειρημένος ἀνὴρ ἐποίει, παριππεύων, καὶ 5 πάντας ἐφορῶν αὐτὸς, καὶ προσδιασαφῶν αὐτοῖς ἀποροῦσι, καὶ διορθῶν ἐν ἀρχαῖς πᾶν τὸ διαμαρτανόμενον. ἦν δὲ τὰ τοιαῦτα τελέως βραχέα καὶ 6 σπάνια, διὰ τὴν προγεγενημένην ἐν τοῖς κατὰ μέρος ἐπι-

XXII. 1. *αὐτὸς ἐποιεῖτο correxi cum Reisk. Vulgo omnes αὐτοῖς.* 3. *Τί γὰρ ex conj. correxi. ἔστι γὰρ edd. ex marg. Aug. Sed ἀντὶ vel ἄν τι γὰρ dant codd. noſtri omnes.*

decurſionibus ipſe præerat, omnia per ſe adminiſtrans. Neque vero, in decurrendo, omnes alios antecedebat *Scipio*, ſicut hodie fieri amat a ducibus, qui duci proprie convenientem locum eſſe putant, ut primus ſit omnium. Quid enim imperitius, ſimulque periculoſius, quam *dux, qui conſpicitur quidem ab omnibus, ſed ipſe videt neminem?* Enimvero præfectum equitum in decurſionibus non poteſtatem oſtentare, quam quivis miles exercere poteſt, ſed ſuæ peritiæ atque facultatis ductandi exercitus ſpecimen oportet edere; modo in prima, modo in ultima, interdum in media acie verſantem. Atque hoc *Scipio* faciebat, quum & turmas obequitaret, & ſingulos ipſe inſpiceret; ſi qua in re hæſitarent aliqui, clarius his omnia explicans; &, ubi quid peccabatur, id ab initio ſtatim corrigens. Sed, quæ corrigeret, oppido pauca & rara inveniebat; quoniam in ſingulis erudiendis diligens opera ante fuerat poſita. Quod autem Publius

Digitized by Google

ἐπιμέλειαν. Δημήτριος ὁ Φαληρεὺς ἕως λόγου τὸ τοιοῦτον ὑπέδειξε, φήσας, ὅτι Καθάπερ ἐν οἰκοδομίαις, ἐὰν κατὰ μίαν πλίνθον θῇς, καὶ καθ' ἕνα δόμον ἐπιμελείας τύχῃ τὸ παρατεθὲν· οὕτως ἐν στρατοπέδῳ, τὸ κατ' ἄνδρα καὶ κατὰ λόχον ἀκριβωθὲν, ὅλην ποιεῖ τὴν δύναμιν ἰσχυράν.

A.V.545. Demetrii Phalerei dictum.

III.

RES GRAECIAE.

(I.) *Aetolorum societas cum Romanis, ipsis Aetolis periculosa.*

„Εἶναι γὰρ τὸ νῦν γιγνόμενον, ὁμοιότατον τῇ περὶ τὰς παρατάξεις οἰκονομίᾳ καὶ χειρισμῷ. καὶ γὰρ ἐπ' ἐκείνων προκινδυνεύει μὲν ὡς ἐπίπαν καὶ προα- πόλυται

XXIII. Fragm. orationis adv. Romanos.

7. ϑῇς *correxit Casaub. quum* ϑεὶς *darent libri.* Ibid. δόμον. *Alii* δεσμὸν. *Vtrumque conjunxit Casaubonus* καὶ καθ' ἕνα δεσμὸν καὶ καθ' ἕνα δόμον. Ibid. παρατεθὲν *ex conject. nostra.* παραφέραγὲν *edd. cum plerisque codd. Sed unus* παραγὲν, *alius (superscripta litera* θ*)* παραθὲν, *alius* παρατιθὲν.

XXIII. 1. περὶ *cum Reisk. correxi. Vulgo omnes* παρὰ τὰς παρατ.

Publius rebus ipsis, id *Demetrius Phalereus* verbo tenus docuit, cum diceret: *Sicut in ædificiis, si singuli lateres rite fuerint dispositi, & prout novus ordo adponitur, debita cura fuerit adhibita, ut omnia recte vinciantur: sic in exercitu, ubi & viritim & manipulatim singula bene fuerint procurata, universum corpus firmitatem ac robur habebit.*

III.

(I.) *Excerpt. Antiq. ex Lib.* X. *Cap.* 23.

23. *Etenim, quod nunc fiat, id simillimum esse ei rerum disponendarum & tractandarum rationi, quæ in præliis solet obtinere: nam & ibi levem armaturam ac strenuissi-*

Digitized by Google

Ol. 142. 3. Fragm. orationis adv. Romanos.

πόλυται τὰ κοῦφα καὶ τὰ πρακτικώτατα τῆς δυ-
νάμεως· τὴν δ' ἐπιγραφὴν τῶν ἐκβαινόντων ἡ Φά-
λαγξ καὶ τὰ βαρέα λαμβάνει τῶν ὅπλων. νῦν δὲ 3
παραπλησίως προκινδυνεύουσι μὲν Αἰτωλοὶ καὶ Πε-
λοποννησίων οἱ τούτοις συμμαχοῦντες· ἐφεδρεύουσι
δὲ Ῥωμαῖοι, Φάλαγγος ἔχοντες διάθεσιν. κἂν μὲν 4
οὗτοι πταίσαντες καταφθαρῶσιν, ἀναστρέψαντες
ἐκ τῶν πραγμάτων, ἀβλαβεῖς ἀπολυθήσονται Ῥω-
μαῖοι· νικησάντων δὲ τούτων, ὃ μὴ δόξειε τοῖς θεοῖς, 5
ἅμα τούτοις καὶ τοὺς ἄλλους Ἕλληνας ὑφ' ἑαυτοὺς
ἐκεῖνοι ποιήσονται.

* * *

Πᾶσαν γὰρ δημοκρατικὴν συμμαχίαν καὶ φι- 6
λίας πολλῆς δεῖσθαι, διὰ τὰς ἐν τοῖς πλήθεσι γιγνο-
μένας ἀλογίας.

(II.) *Phi-*

5. *Post* ἅμα *plerique codd. inserunt* καὶ, *quod satis placeret, si esset* ἅμα καὶ τούτους. *Sed forsan &* ἅμα καὶ τούτοις *ferri potuerat.* Ibid. ἐκεῖνοι *ex coniect. correxi, cum* ἐκείνους *vulgo darent omnes.*

missimam copiarum partem primam ut plurimum periculis objici, & interire ante alios; at prælii totius eventum phalangi & gravi armaturæ adscribi. Similiter & nunc quoque, inquiebat, *primi adeunt pericula Aetoli, quique alii Peloponnesii sunt his societate junctii: Romani in modum phalangis stant in subsidiis. Igitur si illi adversa usi fortuna deleti essent, Romanos ex acie se recepturos, & sine ullo damno fore abituros: sin vincerent Aetoli, (quod superi ne sierint,) Romanos & hos, & alios omnes Græcos suæ potestati subjecturos.*

* * *

Omnem enim societatem cum populo, apud quem plebs est arbiter rerum, multa etiam amicitia indigere, propter temeritatem & inconstantiam, quæ multitudini solet inesse. (Ora Cod. Vrb.)

(II.) *Ex-*

Digitized by Google

(II.) *Philopoemen.*

A.V.545.

Εὐρυλέων, ὁ τῶν Ἀχαιῶν στρατηγὸς, ἄτολμος 1ἦν καὶ πολεμικῆς χρείας ἀλλότριος. Τοῦ δὲ καιροῦ τοῦ κατὰ τὴν διήγησιν ἐφεστηκότος ἡμᾶς ἐπὶ τὴν ἀρχὴν τῶν Φιλοποίμενος πράξεων, καθήκειν ἡγούμεθα, καθάπερ καὶ περὶ τῶν ἄλλων τῶν ἀξιολόγων ἀνδρῶν τὰς ἑκάστων ἀγωγὰς καὶ φύσεις ἐπεραίθημεν ὑποδεικνύναι, καὶ περὶ τούτου ποιῆσαι τὸ παρα2πλήσιον. Καὶ γὰρ ἄτοπον, τὰς μὲν τῶν πόλεων κτίσεις τοὺς συγγραφέας, καὶ πότε, καὶ πῶς, καὶ διὰ τίνων ἐπεκτίθησαν, ἔτι δὲ τὰς διαθέσεις καὶ περιστάσεις μετ' ἀποδείξεως ἐξαγγέλλειν· τὰς δὲ τῶν τὰ ὅλα χειρισάντων ἀνδρῶν ἀγωγὰς καὶ ζήλους παρασιωπᾶν, καὶ ταῦτα τῆς χρείας μεγάλην ἐχού3σης τὴν διαφοράν. ὅσῳ γὰρ ἄν τις καὶ ζηλῶσαι καὶ μιμή-

XXIV. Euryleon prætor Achæorum. Philopœmenis ingenium & institutio.

XXIV. 3. ἀγωγὰς καὶ ζήλους. *Vulgo h. l.* ἀγωνίας. *Correxi ex mente Valesii.*

(II.) *Excerpt. Valesian. ex Lib. X.*

24. *Euryleon*, prætor *Achæorum*, ignavus erat, & a rei militaris usu prorsus alienus. Ceterum cum ad *principium rerum a* PHILOPOEMENE *gestarum* ordo narrationis nos perduxerit; operæ pretium facturus videor, quemadmodum aliorum magnorum virorum *ingenium atque institutionem* ostendere conati sumus, si in hoc quoque viro idem præstemus. Absurdum enim sit, scriptores de urbium quidem originibus, quo modo & quando sunt & a quibus conditæ, tum de constitutionibus earum atque casibus, adcurate commemorare; clarissimorum autem virorum, qui rempublicam gesserunt, institutionem ac studia prætermittere, cum tamen in hoc altero longe major sit utilitas. Nam quo facilius est, fortes viros,

Digitized by Google

Ol.142.3. μιμήσασθαι δυνηθείη μᾶλλον τοὺς εὐψύχους ἄνδρας τῶν ἀψύχων κατασκευασμάτων, τοσούτῳ καὶ τὸν περὶ αὐτῶν λόγον διαφέρειν εἰκὸς εἰς ἐπανόρθωσιν τῶν ἀκουόντων. Εἰ μὲν οὖν μὴ κατ' ἰδίαν ἐπεποιήμεθα τὴν περὶ αὐτοῦ σύνταξιν, ἐν ᾗ διεσαφοῦμεν, καὶ τίς ἦν, καὶ τίνων, καὶ τίσιν ἀγωγαῖς ἐχρήσατο νέος ὤν, ἀναγκαῖον ἦν ὑπὲρ ἑκάστου τῶν προειρημένων φέρειν ἀπολογισμόν. ἐπεὶ δὲ πρότερον ἐν τρισὶ βιβλίοις ἐκτὸς ταύτης τῆς συντάξεως τὸν ὑπὲρ αὐτοῦ πεποιήμεθα λόγον, τήν τε παιδικὴν ἀγωγὴν διασαφοῦντες, καὶ τὰς ἐπιφανεστάτας πράξεις· δῆλον, ὡς ἐν τῇ νῦν ἐξηγήσει πρέπον ἂν εἴη, τῆς μὲν νεωτερικῆς ἀγωγῆς καὶ τῶν νεωτερικῶν ζήλων κατὰ μέρος ἀφελεῖν, τοῖς δὲ κατὰ τὴν ἀκμὴν αὐτοῦ κεφαλαιωδῶς ἐκεῖ δεδηλωμένοις ἔργοις προσθεῖναι καὶ κατὰ μέρος, ἵνα τὸ πρέπον ἑκατέρᾳ τῶν συντάξεων τηρῶ-

Polybii de Philopœmene Libri tres.

4. εὐψύχους. Imo ἐμψύχους malim, quod Valesius in vers. lat. expressit: vivos spirantesque homines. Ibid. εἰς ἐπανόρθ. Præpositionem, cum vulgo abesset, adjeci ex conject. 7. καὶ κατὰ μέρος. Aut delendum videtur καὶ, aut ante προσθεῖναι reponendum.

viros,' quam inanima ædificia æmulari atque imitari, tanto institutus de hujusmodi viris sermo præstat ad emendationem & fructum auditorum. Nisi igitur *de Philopœmene proprium volumen* composuissem, in quo, & *quis fuerit*, *& a quibus institutus*, *& quo genere institutionis usus sit*, aperui; necesse mihi esset, de illarum rerum singulis nunc uberius exponere. Sed quoniam *tribus* jam *libris* extra hoc Historiæ corpus de puerili ejus institutione ac celeberrimis factis abunde disserui; consentaneum in præsenti fuerit, de ejus quidem adolescentis educatione ac studiis minuta quæque ac singularia resecare, iis vero, quæ virili ætate gessit, quorum summa dumtaxat capita ibi delibavimus, nunc particularia multa adjicere, ut in utroque opere decorum servetur.

Digitized by Google

τηρῶμεν. ὥσπερ γὰρ ἐκεῖνος ὁ τόπος, ὑπάρχων ἐγ- A.V.545.
κωμιαστικὸς, ἀπήτει τὸν κεφαλαιώδη καὶ μετ' αὐ-
ξήσεως τῶν πράξεων ἀπολογισμὸν· οὕτως ὁ τῆς ἱστο-
ρίας, κοινὸς ὢν ἐπαίνου καὶ ψόγου, ζητεῖ τὸν ἀληθῆ
καὶ τὸν μετ' ἀποδείξεως καὶ τῶν ἑκάστοις παρεπο-
μένων συλλογισμῶν.

Φιλοποίμην τοίνυν πρῶτον μὲν ἔφυ καλῶς· ἦν XXV.
γὰρ ἐξ ἀνδρῶν τῶν ἐπιφανεστάτων κατ' Ἀρκαδίαν, Philopœ-
men in-
τραφεὶς δὲ καὶ παιδευθεὶς ὑπὸ Κλεάνδρου Μαντι- stituitur
νέα, πατρικὸν μὲν αὐτῷ ξένον ὑπάρχοντα, Φυγα- a Clean-
dro.
δεύοντα δὲ κατ' ἐκείνους τοὺς καιρούς, ὄντα δὲ Μαν-
2τινέων ἐπιφανέστατον. Μετὰ δὲ ταῦτα, παραγε- Convictu
utitur
νόμενος εἰς ἡλικίαν, ἐγένετο ζηλωτὴς Ἐκδήμου καὶ Ecdemi
& Demo-
Δημοφάνους, οἱ τὸ μὲν γένος ἦσαν ἐκ Μεγάλης Πό- phanis.
λεως, Φεύγοντες δὲ τοὺς τυράννους, καὶ συμβιώσαν-
τες Ἀρκεσίλᾳ τῷ φιλοσόφῳ κατὰ τὴν φυγὴν, ἠλευ-

8. *συλλογισμῶν. An* συλλογισμόν? complexionem rerum.

XXV. 1. *πρῶτον μὲν. πρῶτα μὲν Suidas.* Ibid. *αὐτῷ ξένον ex Suida recepi. Vulgo* αὐτοῖς. Ibid. *Φυγαδεύοντα. An* Φυγάδα? 2. *Ἀρκεσίλᾳ. Ἀρκεσιλάῳ Suid.*

vetur. Nam quemadmodum rerum per ſumma capita narrationem cum amplificatione aliqua poſtulabat ille laudationis locus; ita hic hiſtoriæ locus, medius inter laudem ac vituperationem, verum ac minime fucatum ſermonem, cum demonſtratione atque omnium conſequentium nexu, requirit.

25. Igitur PHILOPOEMEN, claro genere ortus, (ſiquidem ejus majores totius Arcadiæ erant clariſſimi) altus atque inſtitutus eſt a *Cleandro* Mantinenſi, paterno hoſpite, viro Mantinenſium omnium principe, qui tunc temporis forte exſulabat. Poſtea adoleſcentiam ingreſſus, *Ecdemum* ac *Demophanem* ſectari cœpit. Hi genere Megalopolitani erant, ceterum tyrannorum odio patria profugi, atque *Arceſilai philoſophi* convictu per exilium uſi, libertatem deinde

Digitized by Google

Ol.142.3. θέρωσαν μὲν τὴν αὐτῶν πατρίδα, συστησάμενοι κατ' Ἀριστοδήμου τοῦ τυράννου πρᾶξιν· συνεπελάβοντο3 δὲ καὶ τῆς καταλύσεως τοῦ Σικυωνίων τυράννου Νικοκλέους, κοινωνήσαντες Ἀράτῳ τῆς ἐπιβολῆς· ἔτι δὲ Κυρηναίων αὐτοὺς μεταπεμψαμένων, ἐπιφανῶς προὔστησαν καὶ διεφύλαξαν αὐτοῖς τὴν ἐλευθερίαν.

Philopœmen fortis & moderatus. Οἷς κατὰ τὴν πρώτην ἡλικίαν ἐπὶ πολὺ συμβιώσας,4 διέφερε μὲν εὐθέως τῶν καθ' αὑτὸν, περί τε τὰς ἐν τοῖς κυνηγίοις κακοπαθείας καὶ τόλμας, περί τε τὰς ἐν τοῖς πολεμικοῖς. ἦν δὲ καὶ περὶ τὸν βίον ἐπιμελὴς, καὶ λιτὸς κατὰ τὴν περικοπὴν, παρειληφὼς παρὰ τῶν προειρημένων ἀνδρῶν τοιαύτας τινὰς δόξας, ὡς οὐχ οἷόν τε τῶν κοινῶν προστατεῖν καλῶς τὸν ὀλιγωροῦντα τῶν κατὰ τὸν ἴδιον βίον, οὔτε μὴν ἀποσχέσθαι τῶν τῆς πατρίδος, ὅστις πολυτελέστερον ζῇ τῆς κατὰ τὴν ἰδίαν ὕπαρξιν χορηγίας. Πλὴν καταστασθεὶς ὑπὸ τῶν Ἀχαιῶν ἱππάρχης ἐν6 τοῖς

3. συνεπελάβετο *idem Suidas dedit. Vulgo* συνελάβετο.

deinde patriæ ſuæ reſtituerunt, conſpiratione in Ariſtodemum tyrannum facta: iidemque in evertendo Nicocle, Sicyoniorum tyranno, Aratum opera ſua adjuverunt: præterea a Cyrenæis evocati, præclare eorum rebus præfuerunt, ac libertatem eis ſuam conſervarunt. Horum in convictu diu verſatus in prima adoleſcentia *Philopœmen*, brevi inter æquales ſuos enituit, & audacia & laboribus cum in bello, tum in venando fortiter tolerandis. Erat autem & in ipſo victu adcuratus, & in omni adparatu tenuis, cum hanc ſententiam a ſupra dictis viris accepiſſet, *fieri non poſſe, ut is reipublicæ recte præſit, qui in privata vita eſſet negligens, neque a diripienda publica pecunia ſibi temperaturum, qui ſumtuoſius viveret, quam privati reditus ferrent.* Iis autem, quæ modo dicebam, temporibus *præfectus equitum*

Digitized by Google

τοῖς προειρημένοις καιροῖς, καὶ παραλαβὼν τὰ συν- A.V.545.
τάγματα τῶν ἱππέων παντὶ τρόπῳ κατεφθαρμέ- Præfe-
ctus
equitum.
νων, καὶ τὰς ψυχὰς τῶν ἀνδρῶν ἠτημένας· οὐ μό-
νον αὐτοὺς ἑαυτῶν βελτίους, ἀλλὰ καὶ τῶν ὑπεναν-
τίων κρείττους ἐν ὀλίγῳ χρόνῳ κατεσκεύασε, πάν-
τας εἰς ἀληθινὴν ἄσκησιν καὶ ζῆλον ἐπιτευκτικὸν
ἐμβιβάσας. Τῶν μὲν γὰρ ἄλλων οἱ πλεῖστοι τῶν
καθισταμένων ἐπὶ τὴν προειρημένην ἀρχὴν, οἱ μὲν,
διὰ τὴν ἰδίαν ἀδυναμίαν ἐν τοῖς ἱππικοῖς, οὐδὲ τοῖς
πλησίον τολμῶσιν οὐδὲν ὧν καθήκει προστάττειν·
οἱ δὲ, τῆς στρατηγίας ὀρεγόμενοι, διὰ ταύτης τῆς
ἀρχῆς ἐξεριθεύονται τοὺς νέους, καὶ παρασκευάζου-
σιν εὐνους συναγωνιστὰς εἰς τὸ μέλλον, οὐκ ἐπιτι-
μῶντες τῷ δεομένῳ, δι' οὗ τρόπου σώζεται τὰ κοι-
νὰ, συμπεριστέλλοντες τὰς ἁμαρτίας, καὶ μικρᾷ
χάριτι μεγάλα βλάπτοντες τοὺς πιστεύοντας.

6. κατεφθαρμ. διεφθαρμένων Suid. 8. Vulgo οἱ πλεῖστοι καὶ τῶν καθιστ. Delevi conjunctionem. Ibid. οὐδὲν ὧν &c correxit Valesius. οὐδένων καθήκειν προστατεῖν cod. Peiresc. cum Suida, in quo tamen καθήκειν.

tum ab Achæis creatus, cum equitum turmas omnibus modis corruptas atque animis penitus fractas accepisset, non solum meliores, quam antea fuissent, sed etiam hostibus præstantiores brevi temporis spatio præstitit, omnibus ad veram exercitationem atque efficax æmulandi studium excitatis. Nam plerique alii, in eo magistratu constituti, partim ob imperitiam pugnæ equestris, ne proximis quidem quidquam, quod facto opus est, mandare audent; partim, quod, præturam votis adpetentes, hoc magistratu juvenes sibi devinciunt, atque eorum gratiam ac benevolentiam sibi in posterum ad suffragia comparant, minime objurgando, cum res postulat, (qua ratione respublica conservatur,) sed dissimulando delicta, ac parva ejusmodi gratia maximum illis damnum inferentes, a quibus præfectura ipsis

Digitized by Google

Philopœmen præfectus equitum.

Ol. 142. 3. εἰ δέ ποτε καὶ γένοιντο τῶν ἀρχόντων τινὲς τῇ τε κατὰ σῶμα χρείᾳ δυνατοὶ, πρός τε τὸ τῶν κοινῶν ἀπέχεσθαι πρόθυμοι, πλείω κακὰ τῶν ὀλιγωρούντων διὰ τὴν κακοζηλίαν ἀπεργάζονται τοὺς πεζούς, ἔτι δὲ μᾶλλον τοὺς ἱππεῖς.

(III.) *Philippi effrenata libido.*

XXVI. Nemea. Philippus Argis lascivus.

Φίλιππος, ὁ βασιλεὺς Μακεδόνων, μετὰ τὸ ἐκτελέσαι τὸν τῶν Νεμέων ἀγῶνα, αὖθις εἰς Ἄργος ἐπανῆλθε, καὶ τὸ μὲν διάδημα καὶ τὴν πορφύραν ἀπέθετο, βουλόμενος αὐτὸν ἴσον τοῖς πολλοῖς καὶ πρᾷόν τινα καὶ δημοτικὸν ὑπογράφειν. ὅσῳ δὲ τὴν ἐθῆτα δημοτικωτέραν περιετίθετο, τοσούτῳ τὴν ἐξουσίαν ἐλάμβανε μείζω καὶ μοναρχικωτέραν. οὐ γὰρ ἔτι τὰς χήρας ἐπείρα γυναῖκας, οὐδὲ τὰς ὑπάνδρους ἠρκεῖτο μοιχεύων· ἀλλ' ἐκ προστάγματος, ἣν

10. κακοζηλίαν *Suidas. Vulgo* κακοζηλωσίαν. Ibid. *In fine hujus Fragmenti hæc adjecit Compilator:* Ζήτει ἐν τῷ περὶ Στρατηγημάτων. *Conf. inferius Lib.* XI. *cap.* 8.

ipsis commissa est. Quod si qui interdum magistratus reperiantur, rei militaris peritia ac robore præditi, & ab omni peculatu alieni; ii tamen ob pravam æmulationem gravius corrumpunt pedites, ac multo magis equites, quam qui officio suo desunt.

(III.) *Excerpt. Valesian.*

26. *Philippus*, Macedonum rex, curatis *Nemeorum* ludis, Argos regressus est, ibique diadema ac purpuram posuit, ut ceteris se in speciem æquaret, comemque ac popularem ostenderet. Verum quanto civiliorem habitum induerat, tanto majorem sibi ac magis regiam licentiam sumserat. Neque enim jam mulieres viduas sollicitabat, aut maritas; sed si qua oculis placuerat, pro imperio ad se evocabat. Quæ

Digitized by Google

ἦν αὐτῷ φανείη, προπέμψας ἐκάλει, ταῖς δὲ μὴ A.V.545.
προχείρως συνυπακουούσαις ἐνύβριζε, κώμους ποιού-
4μενος ἐπὶ τὰς οἰκίας. καὶ τῶν μὲν τοὺς υἱεῖς, τῶν
δὲ τοὺς ἄνδρας ἀνακαλούμενος ἐπὶ προφάσεσιν ἀλό-
γοις διέσεισεν, καὶ πολλὴν ἀσέλγειαν ἐναπεδείκνυτο
5καὶ παρανομίαν. Διὸ καὶ χρώμενος τῇ κατὰ τὴν
παρεπιδημίαν ἐξουσίᾳ ἀναίδην, πολλοὺς ἐλύπει τῶν
6Ἀχαιῶν, καὶ μάλιστα τοὺς μετρίους ἄνδρας. πιε-
ζόμενοι δὲ βίᾳ, τῷ πανταχόθεν αὐτοῖς περιεστά-
ναι τὸν πόλεμον, ἠναγκάζοντο καρτερεῖν καὶ φέρειν
τὰ παρὰ φύσιν.

* * *

7 Φιλίππου οὔτ' ἀγαθὰ μείζω τις σχοίη πρὸς Progressu
βασιλείαν οὐδεὶς τῶν πρότερον, οὐδὲ κακὰ τούτου ætatis in
8τοῦ βασιλέως. καί μοι δοκεῖ τὰ μὲν ἀγαθὰ φύσει vitia in-
πεϱὶ αὐτὸν ὑπάϱξαι· τὰ δὲ κακὰ προβαίνοντι κα- cidit Phi-
τὰ τὴν ἡλικίαν ἐπιγενέσθαι, καθάπεϱ ἐνίοις ἐπιγί- lippus.

XXVI. 5. ἀναίδην. ἀνιδὴν puto scribendum.

Quæ non illico paruiſſent, iis contumeliam faciebat, cum bacchantium caterva impetum in domos faciens. Atque harum quidem liberos, harum viros accitos, varia cauſatus, territabat: maximamque impudentiam ac libidinem oſtentabat. Quamobrem cum, quamdiu *Argis* moratus eſt, inſolenter potentia abuſus eſſet, multos ac præcipue modeſtiſſimum quemque Achæorum offendit. Attamen ob bella, quæ undique imminebant, invitis injuriam ferre cogebantur.

* * *

Nemo e ſuperioribus regibus plures virtutes *Philippo*, nemo eodem plura vitia ad regnum attulit. Ac mihi videntur *virtutes* quidem a natura ei infita fuiſſe, *vitia* vero proceſſu ætatis acceſſiſſe; quemadmodum ſeneſcentibus equis nonnumquam

Digitized by Google

Ol.142.3. γνεται γηράσκουσι τῶν ἵππων. Ἡμεῖς δ' οὐκ ἐν τοῖς 9
προοιμίοις, ὥσπερ τῶν λοιπῶν συγγραφέων τινὲς,
προφερόμεθα τὰς τοιαύτας διαλήψεις· ἀλλ' ἐπ' αὐ-
τῶν τῶν πραγμάτων, αἰεὶ τὸν καθήκοντα λόγον ἁρ-
μόζοντες, ἀποφαινόμεθα περί τε τῶν βασιλέων καὶ
τῶν ἐπιφανῶν ἀνδρῶν· νομίζοντες, ταύτην οἰκειοτέ- 10
ραν εἶναι καὶ τοῖς γράφουσι καὶ τοῖς ἀναγινώσκουσι
τὴν ἐπισημασίαν.

IV.

RES ANTIOCHI.

Bellum Antiochi cum Arsace.

* * *

XXVII. MEDIÆ provinciæ præstantia. Ἔστι τοίνυν ἡ Μηδία κατά τε τὸ μέγεθος τῆς χώ-
ρας ἀξιοχρεωτάτη τῶν κατὰ τὴν Ἀσίαν δυναστειῶν,
καὶ κατὰ τὸ πλῆθος, καὶ κατὰ τὰς ἀρετὰς τῶν
ἀνδρῶν, ὁμοίως δὲ καὶ τῶν ἵππων. τοῖς γὰρ ζώοις 2
τούτοις

9. Ἡμεῖς δ' οὐκ ex conject. Καθάπερ ἡμεῖς οὐκ liber ms. Ἅπερ ἡμεῖς οὐκ Valef. Ibid. τινὲς ad συγγραφέων, quod abeſt vulgo, adjeci ex Reiskii conject.

quam evenire ſolet. Quibus de rebus nos non in proœmio, quod ceteri ſcriptores facere conſuoverunt, ſententiam noſtram proponimus; ſed, ubi ad res ipſas ventum eſt, conſentaneum eis ſermonem adcommodantes, de principibus viris ac Regibus judicium noſtrum interponimus. Hujusmodi enim obſervationem arbitramur cum ſcriptori, tum legentibus, commodiorem eſſe.

IV.

Excerpt. Antiq. ex Lib. X. Cap. 24-28.

* * *

27. Inter omnes Aſiæ provincias maxime excellit *Media*, cum propter regionis magnitudinem, tum propter numerum ingentem & præſtantiam, qua virorum, qua *equorum*. Hoc quippe animantium

Digitized by Google

τούτοις σχεδὸν ἅπασαν χορηγεῖ τὴν Ἀσίαν· τῷ καὶ A.V.545. Equorum
τὰ βασιλικὰ συστήματα τῶν ἱππετροφίων Μήδοις ferax re-
3 ἐπιτετράφθαι διὰ τὴν εὐφυΐαν. περιοικεῖται δὲ πό- gio.
λεσιν Ἑλληνίσι κατὰ τὴν ὑφήγησιν τὴν Ἀλεξάνδρου,
φυλακῆς ἕνεκεν τῶν συγκυρούντων αὐτῇ βαρβάρων,
4 πλὴν Ἐκβατάνων. Αὕτη δ' ἔκτισται μὲν ἐν τοῖς Ecbatana.
πρὸς τὰς ἄρκτους μέρεσι τῆς Μηδίας· ἐπίκειται δὲ
τοῖς περὶ τὴν Μαιῶτιν καὶ τὸν Εὔξεινον μέρεσι τῆς
5 Ἀσίας. ἦν δὲ βασίλειον ἐξαρχῆς Μήδων, πλούτῳ δὲ
καὶ τῇ τῆς κατασκευῆς πολυτελείᾳ μέγα τι παρὰ
6 τὰς ἄλλας δοκεῖ διενηνοχέναι πόλεις. Κεῖται μὲν
οὖν ὑπὸ τὴν παρωρείαν τὴν παρὰ τὸν Ὀρόντην, ἀτεί-
χιστος οὖσα· ἄκραν δ' ἐν αὐτῇ χειροποίητον ἔχει,
7 θαυμασίως πρὸς ὀχυρότητα κατεσκευασμένην. ὑπὸ

XXVII. 2. ἅπασαν. *Alii* πάσῃ χορηγεῖ τῇ Ἀσίᾳ. Ibid. ἱπποτροφίων. *Sic Herv. cum plerisque codd.* ἱπποτροφίων *alii codd.* ἱπποτροφείων *Casaub.* Ibid. Μήδοις. Μήδους *Herv. & sic superscr. in Aug. antiqua manu.* Ibid. ἐπιτετράφθαι *correxi cum Reisk. & Ern. Vulgo* ὑποτετράφθαι. *Codices nonnulli* ὑποτεταχθαι. Ibid. *Verba* διὰ τὴν *ad* εὐφυΐαν *desiderantur in edit. Herv. & instis nostris.* 6. Ὀρόντην. *Mendose vulgo* τὸν Ὄγον *vel* Ὄγον.

mantinm genus univerſæ prope Aſiæ *Media* ſuppeditat. Nam & regia equorum armenta omnia Medis, ob ſoli ubertatem ſunt commiſſa. Eademque, ut præſidium ne deeſſet adverſus conterminos barbaros, ex Alexandri inſtituto Græcanicis urbibus undique cingitur, ſi *Ecbatana* dumtaxat excipias. Quæ urbs in ea Mediæ condita eſt parte, quæ Aquiloni vento eſt oppoſita: imminet autem iis regionibus Aſiæ, quæ ſecundum Mæotim & Pontum Euxinum porriguntur. Regia Medorum ibi quondam fuit: ac videtur ſane urbs hæc alias omnes opibus & operum magnificentia ſuperaſſe longo intervallo. Sita eſt in montana regione, quæ radicibus Orontis ſubjacet. Mœnibus caret: ſed arcem habet manu factam, & ad miraculum usque munitam egregie. Arci

Digitized by Google

Ol.142.3. δὲ ταύτην ἐστὶ βασίλεια· περὶ ὧν καὶ τὸ λέγειν κατὰ μέρος, καὶ τὸ παρασιωπᾶν, ἔχει τινὰ ἀπορίαν. τοῖς μὲν γὰρ αἱρουμένοις τὰς ἐκπληκτικὰς τῶν διηγήσεων προφέρεσθαι, καὶ μετ' αὐξήσεως ἔνια καὶ διατάσεως εἰθισμένοις ἐξαγγέλλειν, κάλλιστην ὑπόθεσιν ἡ προειρημένη πόλις παρέχει· τοῖς δ' εὐλαβῶς προσπορευομένοις πρὸς πᾶν παρὰ τὴν κοινὴν ἔννοιαν λεγόμενον, ἀπορίαν παρασκευάζει καὶ δυσχρηστίαν. Πλὴν ἔστι γε τὰ βασίλεια τῷ μὲν μεγέθει σχεδὸν ἑπτὰ σταδίων ἔχοντα τὴν περιγραφήν, τῇ δὲ τῶν κατὰ μέρος κατασκευασμάτων πολυτελείᾳ μεγάλην ἐμφαίνοντα τὴν τῶν ἐξ ἀρχῆς καταβαλλομένων εὐκαιρίαν. οὔσης γὰρ τῆς ξυλίας ἀπάσης κεδρίνης καὶ κυπαριττίνης, οὐδεμίαν αὐτῶν γεγυμνῶσθαι συνέβαινεν, ἀλλὰ καὶ τὰς δοκοὺς, καὶ τὰ φατνώματα, καὶ τοὺς κίονας τοὺς ἐν ταῖς στοαῖς καὶ

Magnificentia regiæ Ecbatan.

7. *Vulgo plerique omnes* βασίλεια Περσῶν. καὶ τὸ λέγειν. 8. διατάσεως *correxi, monente Ernestio; licet vulgatum* διαβάσεως *probaverit Reiskius.* Ibid. παρέχει *ex Vrsini emendatione edidit Casaub.* ἔχει *Herv. consentientibus libris omnibus.*

ci regia subjacet: de qua satius ne sit, cuncta sigillatim exsequi, an penitus silere, jure aliquis dubitet. Nam ut iis, qui portentosas narrationes in medium adferre amant, quique res, quas commemorant, amplificare & exaggerare consueverunt, pulcerrimam dicta urbs materiam præbet: ita illis, qui ad ea omnia caute & cunctanter accedunt, quæ præter communem sensum dicuntur, difficultatem & inopiam consilii eadem affert. Verumenimvero *Regia* hæc ejus amplitudinis est, ut stadia in circuitu habeat septem; operum & ornamentorum tantam in singulis partibus magnificentiam præ se fert, ut, quanta rerum omnium copia abundaverint qui ab initio eam fundarunt, facile sit æstimatu. Nam quum materia universa esset e cedro aut cupresso, nihilominus tamen haud quidquam illius nudum a tegumento cerneres: sed erant trabes, lacunaria, & columnæ, sive in

Digitized by Google

καὶ περιστύλοις, τοὺς μὲν ἀργυρᾶις, τοὺς δὲ χρυ- A.V.545.
σαῖς λεπίσι περιειλῆφθαι, τὰς δὲ κεραμίδας ἀργυ-
11 ρᾶς εἶναι πάσας. Τούτων δὲ τὰ μὲν πλεῖστα συνέ-
βη λεπισθῆναι κατὰ τὴν Ἀλεξάνδρου καὶ Μακεδό-
νων ἔφοδον· τὰ δὲ λοιπὰ κατὰ τὴν Ἀντιγόνου καὶ
12 Σελεύκου τοῦ Νικάνορος δυναστείαν. ὅμως δὲ κατὰ
τὴν Ἀντιόχου παρουσίαν ὅ τε ναὸς αὐτὸς, ὁ τῆς Anæ templum.
Ἄτης προσαγορευόμενος, ἔτι τοὺς κίονας εἶχε τοὺς
πέριξ κεχρυσωμένους, καὶ κεραμίδες ἀργυραῖ καὶ
πλείους ἐν αὐτῷ συνετέθειντο, πλίνθοι δὲ χρυσαῖ
τινες ὀλίγαι μὲν ἦσαν, ἀργυραῖ δὲ καὶ πλείους ὑπέ-
13 μενον. ἐκ δὲ πάντων τῶν προειρημένων τὸ χαραχθὲν
εἰς τὸ βασιλικὸν ἠθροίσθη νόμισμα, μικρῷ λεῖπον
τετρακισχιλίων ταλάντων.

Ἕως μὲν οὖν τούτων τῶν τόπων ἤλπισεν αὐτὸν XXVIII. Adversus Arsacem per desertа pergit Antiochus.
ἥξειν Ἀρσάκης· τὴν δ' ἔρημον, τὴν τούτοις πρόσχω-
ρον,

10. περιστύλοις. περιστύλους Herv. cum plerisque mistis. 12. Ἄτης. Ἀναίας malim cum Bocharto.
XXVIII. 1. τὴν δ' ἔρημον. Sic correxi. Ἀρσάκης δὲ τὴν ἔρημον Herv. cum mistis. Ἀρσάκης cum præcedentibus recte copulavit Casaub. Deinde εἰς δὲ τὴν ex conject. edidit.

in porticibus, sive in peristyliis, laminis partim argenteis, partim aureis circumamictæ: omnes vero tegulæ fuere argenteæ. Laminarum autem istarum pleræque in adventu Alexandri & Macedonum sunt detractæ; ceteræ cum Antigonus & Seleucus Nicanor rerum potiebantur. Adhuc tamen, quo tempore eo venit *Antiochus*, fanum saltem, quod *Aenæ* [sive *Anææ*] indigetant, columnas circa habuit deauratas, & tegulæ quoque argenteæ plures ibidem erant congestæ: lateres quin etiam restabant aurei nonnulli, argentei vero multi. Ex quibus omnibus pecunia illa est conflata, quæ regia imagine cernitur signata; ad talentorum fere quater mille summam accedens.

28. Existimaverat *Arsaces*, ad hæc quidem usque loca *Antiochum* fore venturum; sed continentem his terram desertam nequaquam ausurum,

Digitized by Google

Ol. 142. 3. ρον, οὐ τολμήσειν ἔτι δυνάμει τηλικαύτῃ διεκβαλεῖν, καὶ μάλιστα διὰ τὴν ἀνυδρίαν. ἐπιπολῆς μὲν γὰρ οὐδέν ἐστι φαινόμενον ὕδωρ ἐν τοῖς προειρημένοις τόποις· ὑπόνομοι δὲ πλείους εἰσὶ, καὶ διὰ τῆς ἐρήμου φρεατίας ἔχοντες ἀγνοουμένας τοῖς ἀπείροις. Περὶ δὲ τούτων ἀληθὴς παραδίδοται λόγος διὰ τῶν ἐγχωρίων, ὅτι, καθ' οὓς χρόνους Πέρσαι τῆς Ἀσίας ἐπεκράτουν, ἔδωκαν τοῖς ἐπί τινας τόπους τῶν μὴ πρόσθεν ἀρδευομένων ἐπεισαγομένοις ὕδωρ πηγαῖον, ἐπὶ πέντε γενεὰς καρπεῦσαι τὴν χώραν. ὅθεν, ἔχοντος τοῦ Ταύρου πολλὰς καὶ μεγάλας ὑδάτων ἀποῤῥεύσεις, πᾶσαν ἐπεδέχοντο δαπάνην καὶ κακοπάθειαν, ἐκ μακροῦ κατασκευάζοντες τοὺς ὑπονόμους· ὥστε κατὰ τοὺς νῦν καιροὺς μηδὲ τοὺς χρωμένους τοῖς ὕδασι γινώσκειν τὰς ἀρχὰς τῶν ὑπονόμων, πόθεν ἔχουσι τὰς ἐπιῤῥύσεις. Πλὴν ὁρῶν Ἀρσάκης ἐπι-

Persarum lex de Aquæductibus.

2. ὑπόνομοι. ὑπονόμοι Hertz. cum mitis nostris. Accentum mutavit Casaub. Ibid καὶ διὰ. Forsan καὶ πλείους εἰσὶ διὰ τῆς ἐρήμης, φρεατίας ἔχοντες.

rum, tantis præsertim cum copiis, trajicere, & maxime propter aquarum inopiam. Nam in his, quæ dicimus, locis nulla usquam in superficie terræ aqua adparet; etsi plures insunt subterranei canales ac putei in illa solitudine cavati, quos locorum imperiti ignorant. Et est super his fama vera ab indigenis prodita, qui ajunt, *Persas, quo tempore Asiam obtinuerunt, permisisse iis, qui aquam fontanam in aliquem locum derivassent, non prius irrigatum, ut per quinque generationes ejus agri fructus caperent.* Quum igitur e monte Tauro multi, iique magni, aquarum defluxus manent; nullam neque impensam neque ærumnam recusabant, quo ad devehendam aquam e longinquo aquæductus conficerent: adeo, ut hodierno tempore ne illi ipsi quidem, qui aquis utuntur, sciant, capita subterraneorum rivorum unde manent, aut ubi scaturiant. Ceterum *Arsaces,*

Digitized by Google

ἐπιβαλλόμενον αὐτὸν τῇ διὰ τῆς ἐρήμου πορείᾳ, τὸ A.V.545.
τηνικάδε χωννύειν καὶ φθείρειν ἐνεχείρησε τὰς φρεα- Puteos corrumpit Arsaces.
6 τίας. ὁ δὲ βασιλεὺς, ἐξαγγελθέντος αὐτῷ, πάλιν
ἐξαπέστειλε τοὺς περὶ Νικομήδην μετὰ χιλίων ἱπ-
πέων, οἳ καὶ καταλαβόντες τὸν Ἀρσάκην μετὰ τῆς
δυνάμεως ὑποκεχωρηκότα, τινὰς δὲ τῶν ἱππέων
φθείροντας τὰ στόματα τῶν ὑπονόμων, τούτους
μὲν ἐξ ἐφόδου τρεψάμενοι φυγεῖν ἠνάγκασαν· αὐτοὶ
7 δὲ πάλιν ἀνεχώρησαν ὡς τὸν Ἀντίοχον. Ὁ δὲ βα- Hecatompylon venit Antiochus.
σιλεὺς, διανύσας τὴν ἔρημον, ἦκε πρὸς τὴν Ἑκατόμ-
πυλον προσαγορευομένην, ἣ κεῖται μὲν ἐν μέσῃ τῇ
Παρθυηνῇ· τῶν δὲ διόδων, φερουσῶν ἐπὶ πάντας
τοὺς πέριξ τόπους, ἐνταῦθα συμπιπτουσῶν, ἀπὸ
τοῦ συμβαίνοντος ὁ τόπος εἴληφε τὴν προσηγορίαν.

Πλὴν αὐτοῦ διαναπαύσας τὴν δύναμιν, καὶ λο- XXIX.
γισάμενος, ὡς, εἰ μὲν οἷος ἦν Ἀρσάκης διὰ μάχης
κρίνεσθαι πρὸς σφᾶς, οὔτ' ἂν ἐξεχώρει, λιπὼν τὴν
αὐτοῦ

ces, ut videt regem per solitudinem iter ingredi; puteos statim omnes obrui & corrumpi jubet. Quod postquam *Antiocho* est renunciatum, Nicomedem iterum cum mille equitibus misit. Sed jam *Arsaces* cum copiis pedem retulerat, quando hi venerunt: equites solum nonnulli canalium ora corrumpentes sunt inventi; quos regii primo impetu terga vertere & conjicere se in pedes coëgerunt, ipsi mox ad Antiochum sunt reversi. Rex, solitudinem emensus, ad oppidum venit, *Hecatompylon* dictum. In media *Parthia* hæc urbs est sita: quum autem diverticula viarum, quæ ad omnes circa ferunt regiones, ibidem coëant, ex eventu ipso *centum portarum* nomen locus invenit.

29. Ibi ad reficiendum ex laboribus itineris militem pauci dies sumti. Institit deinde reputare secum *Antiochus*, *Arsacem*, si idoneas vires haberet ad prælio secum decernendum, numquam profecto patriam suam fuisse

Digitized by Google

Ol.142.3. αὐτοῦ χώραν, οὔτ' ἂν ἐπιτηδειοτέρους τόπους ἐζήτει πρὸς ἀγῶνα ταῖς σφετέραις δυνάμεσι τῶν περὶ τὴν Ἑκατόμπυλον· ἐπειδὴ δ' ἐκχωρεῖ, δῆλός ἐστι τοῖς ὀρθῶς σκοπουμένοις ἐπ' ἄλλης γνώμης ὤν· διόπερ ἔκρινε προάγειν εἰς τὴν Ὑρκανίαν. Παραγενόμενος δ' ἐπὶ Ταγὰς, καὶ πυνθανόμενος τῶν ἐγχωρίων τήν τε δυσχέρειαν τῶν τόπων, οὓς ἔδει διεκβάλλειν αὐτὸν, ἕως εἰς τὰς ὑπερβολὰς διεξίκοιτο τοῦ Λάβου, τὰς νευούσας ἐπὶ τὴν Ὑρκανίαν, καὶ τὸ πλῆθος τῶν βαρβάρων τῶν κατὰ τόπους ἐφεστώτων ταῖς δυσχωρίαις αὐτοῦ· προέθετο διατάττειν τὸ τῶν εὐζώνων πλῆθος, καὶ τοὺς τούτων ἡγεμόνας μερίζειν, ὡς ἑκάστοις δέησει πορεύεσθαι· ὁμοίως δὲ καὶ τοὺς λειτουργοὺς, οὓς ἔδει παραπορευομένους τὸν καταλαμβανόμενον ὑπὸ τῶν εὐζώνων τόπον εὔβατον παρασκευά-

In Hyrcaniam pergit.

Labum montem transit.

XXIX. 3. Ταγὰς. *An* Ῥαγὰς? Ibid. Λάβου. λαβόντα *habet b. l. Herv. cum Regiis & Veſont.* Λαβούτα *Caſaub. cum Vib. & Aug. in contextu.* Ibid. δυσχωρίαις αὐτοῦ. αὐτῷ *Caſaub.*

fuiſſe relicturum, & ejus finibus exceſſurum, neque ad dimicandum ullum alium aptiorem ſuo exercitui locum requiſiturum, eo, qui *Hecatompylo* circumjacet. Quem ille quum deſerat, palam facere recta ratione rem putantibus, in alia ipſum ſententia eſſe. Itaque in *Hyrcaniam* progredi *Antiochus* ſtatuit. *Tagas* [*Ragas?*] ut venit, & ab indigenis ſciſcitando cognovit, quantis difficultatibus viæ eſſent impeditæ, quas pertranſire ipſum prius oportebat, quam ad *Labi* (ſive *Labutæ*) montis ſumma illa juga perveniat, quæ in Hyrcaniam vergunt, quanta item barbarorum multitudo paſſim immineret viarum per eumdem montem anguſtiis; faciendum cenſuit, ut expeditorum omnem numerum in varia partiretur agmina, & diviſis ipſorum ducibus, quo cuique tendendum eſſet, ſignificaret. Fecit idem & in operariis, quos oportebat expeditorum manum, quocumque pergerent, comitari, &, ut quisque locus ab his

Digitized by Google

ρασκευάζειν τῇ τῶν φαλαγιτῶν καὶ τῇ τῶν ὑπο- A. V. 545.
ζυγίων πορείᾳ. Ταῦτα δὲ διανοηθεὶς, τὴν μὲν πρώ- Labum
την ἔδωκε τάξιν Διογένει, συστήσας αὐτῷ τοξότας montem transit Antiochus.
καὶ σφενδονήτας, καὶ τῶν ὀρείων τοὺς ἀκοντίζειν καὶ
λιθάζειν δυναμένους· οἵ τινες τάξιν μὲν οὐκ ἔνεμον,
ἀεὶ δὲ πρὸς τὸν παρόντα καιρὸν καὶ τόπον κατ'
ἄνδρα ποιούμενοι τὸν κίνδυνον, πραγματικωτάτην
παρείχοντο χρείαν ἐν ταῖς δυσχωρίαις. Τούτοις δὲ
συνεχεῖς Κρῆτας ἀσπιδιώτας ἐπέταξε περὶ δισχι-
λίους, ὧν ἡγεῖτο Πολυξενίδας Ῥόδιος· τελευταίους
δὲ θωρακίτας καὶ θυρεοφόρους, ὧν εἶχον τὴν ἡγεμο-
νίαν Νικομήδης Κῷος, καὶ Νικόλαος Αἰτωλός.

Προαγόντων δὲ τούτων εἰς τὸ πρόσθεν, πολλῷ XXX.
δυσχερεστέρας συνέβαινε φαίνεσθαι τὰς τῶν τόπων
τραχύτητας καὶ στενότητας τῆς τοῦ βασιλέως
προσδοκίας. ἦν γὰρ τὸ μὲν ὅλον μῆκος τῆς ἀναβά-
σεως

5. ὀρείων τοὺς cum Vrsino correxit Casaub. ὀρείων τούτους Hervag. cum Med & ora Aug. ὠρίων τούτους Aug. in textu, Vrb. Reg. F. Vesont. Tub. ὑγίων τούτους Reg. G.

his esset occupatus, eum ita concinnare, ut phalanx & jumenta facile illac transirent. Id quum rex consilii cepisset, primum ducere agmen Diogenem jussit, tradiditque ei sagittarios, funditores, & e montanis hominibus eos, qui jaculandi & lapides mittendi peritiam habebant: & hi quidem non servabant ordines; sed, quoties occasio vel locus postularet, viritim rem gerentes, in angustiis viarum maximo usui erant, & plurimum præstabant. His alterum subjecit agmen Cretensium clypeatorum ad duo millia, ductore Polyxenida Rhodio. Postremos deinde loricatos & scutatos, quorum ducatum gerebant Nicomedes Cous, & Nicolaus Aetolus.

30. Progredientibus autem istis in itinere, longe asperior & angustior locorum natura est reperta, quam rex exspectaverat. Nam universus montium adscensus stadio-

Ol. 142. 3. Labum montem transit Antiochus.

σεως περὶ τριακοσίους σταδίους· ταύτης δὲ τὸ πλεῖστον μέρος ἔδει ποιεῖσθαι τῆς πορείας διὰ χαράδρας χειμάῤῥου καὶ βαθείας, εἰς ἣν πολλὰς μὲν αὐτομάτως ἐκ τῶν ὑπερκειμένων κρημνῶν πέτραι κατενηνεγμέναι καὶ δένδρα δύσβατον ἐποίουν τὴν δι' αὐτῆς πορείαν, πολλὰ δ' ὑπὸ τῶν βαρβάρων εἰς τοῦτο τὸ μέρος συνηργεῖτο. καὶ γὰρ ἐκκοπὰς δένδρων ἐποίηντο συνεχεῖς, καὶ λίθων πλήθη καὶ μεγέθη συνηθροίκεισαν· αὐτοί τε παρ' ὅλην τὴν φάραγγα τὰς εὐκαίρους ὑπεροχὰς καὶ δυναμένας σφίσιν ἀσφάλειαν παρέχεσθαι κατειληφότες, ἐτήρουν· ὥστ', εἰ μὴ διήμαρτον, ἐντελῶς ἂν ἐξαδυνατήσαντα τὸν Ἀντίοχον ἀποστῆναι τῆς ἐπιβολῆς. ὡς γὰρ δέον, τοὺς πολεμίους πάντας κατ' ἀνάγκην ποιεῖσθαι δι' αὐτῆς τῆς φάραγγος τὴν ἀνάβασιν, οὕτω παρεσκευάσαντο, καὶ πρὸς τοῦτο κατελάβοντο τοὺς

II. 1. καὶ τὸν πρὸ. *Sic cum Reiskio correxi. Vulgo omnes* κατὰ τὸν πρὸ. *Ibid.* ὃν οὐκ ἄξ. *ὃν ignorant mihi: ex conj. adjecit Casaub.* 2. *Eidem Casaubono debentur verba* πρότερον δεδήλωται, *quæ desiderantur apud Herv. & in scriptis codd. Ad* χωριζόμενος *autem itaque cum Reiskio adjectum ἐκεῖνος malim.* 3. διὰ τοὺς ἐπαποστελλ. διὰ τὸ τοὺς ἐπαποστ. *dat Herv. cum mihi. Et* ἐπαποστελλαμένους *Reg. E.*

ordines perruperant, poſtea ſunt captæ, ſed ſolæ atque Indis ſuis nudatæ.

2. *Aſdrubal* & ſemper antè eum diem, & eo maxime tempore, quod ultimum ei fuit, virum ſe præbuit, & in ipſo conflictu vitam finivit. Quem virum ut ſilentio prætermittamus indictum, haud quaquam fuerit æquum. Et fuiſſe quidem illum natura Hannibalis fratrem, eique Hannibalem, cum in Italiam proficiſceretur, belli in Hiſpania gerendi curam mandaſſe, antea oſtendimus. Pariterque ſuperioribus libris declaravimus, quas ipſe pugnas cum Romanis pugnaverit, quam multas, quam varias rerum difficultates habuerit eluctandas propter duces, qui ſubinde in Hiſpaniam Carthagine mittebantur: poſtremo quum tot tantasque fortunæ vices experiretur, quam ſemper patre Barca dignum ſe filium præbuerit, & forti ac generoſo animo

Digitized by Google

ἐλαττῶσεις διετέλει Φέρων· καὶ ταῦτα διὰ τῶν πρὸ A.V.547.
τοῦ συντάξεων δεδηλώκαμεν. περὶ δὲ τῶν τελευ- Laus Asdrubalis.
ταίων ἀγώνων νῦν ἐροῦμεν, καθὸ μάλιστα πέφηνεν
ἡμῖν ἄξιος ἐπιστάσεως εἶναι καὶ ζήλου. Τοὺς γὰρ
πλείστους ἰδεῖν ἐστι τῶν στρατηγῶν καὶ τῶν βασι-
λέων, ἐπειδὰν συνιστῶντες τοὺς ὑπὲρ τῶν ὅλων
ἀγῶνας, τὰ μὲν ἐκ τῶν κατορθωμάτων ἔνδοξα καὶ
λυσιτελῆ συνεχῶς λαμβάνοντας ὑπὸ τὴν ὄψιν, καὶ
πολλάκις ἐφιστάνοντας καὶ διαλογιζομένους, πῶς
ἑκάστοις χρήσονται, κατὰ λόγον σφίσι χωρησάντων
τῶν πραγμάτων· τὰ δ' ἐκ τῶν ἀποπτωμάτων οὐκέ-
τι πρὸ ὀφθαλμῶν τιθεμένους, οὐδ' ἐν νῷ λαμβάνον-
τας, πῇ καὶ τί πρακτέον ἑκάστοις ἐστὶ κατὰ τὰς
περιπετείας. καίτοι τὸ μὲν ἕτοιμόν ἐστι, τὸ δὲ
πολλῆς δεῖται προνοίας. Τοιγαροῦν οἱ πλεῖστοι διὰ
τὴν αὐτῶν ἀγεννίαν καὶ τὴν ἐν τούτοις ἀβουλίαν

U 5 αἰσχρὰς

5. κατὰ λόγον σφίσι. Pro σφίσι, mendose τοῖς φησὶ dant mſti. An δὴ σφίσι debuerunt? 7. ἀγεννίαν. ἀγγελίαν Herv. in contextu cum mſtis: ſed ἀγεννίαν ora Herv. & ora cod. Med. Neſcio an & Vrſ. ἀμέλειαν ex Vrſini conject. edidit Caſaub.

animo omnes caſus adverſaque omnia tulerit. Nunc de noviſſimis ejus certaminibus dicemus, propter quæ vel maxime dignum judicavimus, ad quem cognoſcendum & æmulandum lectoris attentionem excitaremus. Enimvero plerosque omnes imperatores aut reges videas, quoties ad univerſæ rei dimicationem accedunt, gloriam & commoda, quæ re bene geſta ſint conſecuturi, aſſidue ſibi ob oculos ponere, ſæpeque cum animo ſuo reputare, aut cum aliis differere, quo pacto cuncta ſint adminiſtraturi, poſtquam ex animi ſententia res ipſis ſucceſſerit: clades vero neque oculis umquam ſuis ſubjicere, neque eam cogitationem mente complecti, quomodo ſe gerere aliquis aut quid facere in adverſis caſibus debeat; quum tamen proclive ſit illud prius, hoc vero magna indigeat providentia. Idcirco multi, propter ſuam ignaviam & hoc in genere impru-

Digitized by Google

Ol. 143. 1. Laus Asdrubalis.

αἰσχρὰς μὲν ἐποίησαν τὰς ἥττας, εὐγενῶς πολλάκις ἠγωνισμένων τῶν στρατιωτῶν, κατήσχυναν δὲ τὰς πρὸ τούτου πράξεις, ἐπονείδιστον δὲ σφίσι τὸν καταλειπόμενον ἐποίησαν βίον. Διότι δὲ πολλοὶ τῶν ἡγουμένων περὶ τοῦτο τὸ μέρος σφάλλονται, καὶ διότι μεγίστην ἐν τούτοις ἔχει διαφορὰν ἀνὴρ ἀνδρός, εὐχερὲς τῷ βουλομένῳ καταμαθεῖν· πολλὰ γὰρ ὑποδείγματα τῶν τοιούτων πεποίηκεν ὁ προγεγονὼς χρόνος. Ἀσδρούβας δὲ, ἕως μὲν ἦν ἐλπὶς ἐκ τῶν κατὰ λόγον τοῦ δύνασθαι πράττειν ἄξιόν τι τῶν προβεβιωμένων, οὐδενὸς μᾶλλον προενοεῖτο κατὰ τοὺς κινδύνους, ὡς τῆς αὐτοῦ σωτηρίας. ἐπεὶ δὲ πάσας ἀφελομένη τὰς εἰς τὸ μέλλον ἐλπίδας ἡ τύχη συνέκλεισε πρὸς τὸν ἔσχατον καιρὸν, οὐδὲν παραλιπὼν οὔτε περὶ τὴν παρασκευὴν, οὔτε κατὰ τὸν κίνδυ-

7. αἰσχρὰς restitui ex Ang. Regiis tribus, Vesont. Tubing. αἰσχρῶς edd. Ibid. τὰς πρὸ τούτου Herv. cum mstis omnibus. τὰς πρὸ τοῦ Casaub. 9. οὐδενὸς μᾶλλον . . . ὡς. Aut οὔτως pro μᾶλλον scribendum aut delendam particulam ὡς censuit Reisk.

imprudentiam, detrimenta cum sua ignominia acceperunt, etsi milites sæpe forti animo dimicarant; & cum res antea præclare gestas deturparunt, tum etiam, quidquid ipsis supererat vitæ, probrosum & ignominiosum sibi reddiderunt. Partem autem magnam ducum hoc erroris genere decipi, longeque plurimum re ista præstare virum viro, facile est cuivis intelligere: id enim exemplis quam plurimis, quæ ad hoc ævi sunt edita, liquido constat. *Asdrubal* vero, dum quidem probabilis ei spes aliqua supereret, posse aliquid se rebus ante gestis dignum efficere, nihil antiquius in obeundis præliis habuit, propriæ salutis conservatione. Postquam vero nudatum omni spe in posterum fortuna ad hujus postremi certaminis necessitatem adegit, etsi nihil est ab eo prætermissum, neque in adparatibus, neque in ipso conflictu, quod ad victoriam consequendam face-

Digitized by Google

κίνδυνον, πρὸς τὸ νικᾶν, οὐχ ἧττον πρόνοιαν εἶχε καὶ A.V.547. Laus Asdrubalis.
τοῦ, σφαλεὶς τοῖς ὅλοις, ὑμόσε χωρῆσαι τοῖς παροῦσι, καὶ μηδὲν ὑπομεῖναι τῶν προβεβιωμένων ἀνάξιον.
11 Ταῦτα μὲν οὖν ἡμῖν εἰρήσθω περὶ τῶν ἐν πράγμασιν ἀναστρεφομένων, ἵνα μήτε προπετῶς κινδυνεύοντες σφάλωσι τὰς τῶν πιστευσάντων ἐλπίδας, μήτε, φιλοζωοῦντες παρὰ τὸ δέον, αἰσχρὰς καὶ ἐπονειδίστους ποιῶσι τὰς αὐτῶν περιπετείας.

Ῥωμαῖοι δὲ, τῇ μάχῃ κατορθώσαντες, παραυτίκα μὲν τὸν χάραξα διήρπαζον τῶν ὑπεναντίων, καὶ πολλοὺς μὲν τῶν Κελτῶν, ἐν ταῖς στιβάσι κοιμωμένους διὰ τὴν μέθην, κατέκοπτον ἱερείων τρόπον· 2 συνῆγον δὲ καὶ τὴν λοιπὴν τῶν αἰχμαλώτων λείαν, ἀφ' ἧς εἰς τὸ δημόσιον ἀνήχθη πλείω τῶν τριακοσίων ταλάντων. Ἀπέθανον δὲ τῶν μὲν Καρχηδονίων III. Victoria Romanorum.

. . . . . νίων

10. πρὸς τὸ νικᾶν. τὸ πρὸς τὸ Reg. E. τῶν πρὸς τὸ νικᾶν malim. Ibid. εἶχε καὶ τοῦ. εἶχε. καί τοι σφαλεὶς Herv. cum libris nostris omnibus; & deinde ὅμως ἐχώρησε. Correxit Casaub. cum Vrsino: sed pro καί τοι nemini τοῦ posuerunt; καὶ ex mstis adjeci.
III. 1. στιβάσι correxit Casaub. στιβᾶς Herv. cum mstis.

faceret, non minus tamen meditatus fuerat, si forte in universæ rei fraudem laberetur, quo pacto cum adversa fortuna ita congrederetur, ut anteactam vitam nullo facinore se indigno dehonestaret. Atque hæc eorum gratia dicta mihi sunto, qui in rebus agendis versantur; ne aut præliorum aleam temere subeuntes, eorum, qui suam salutem fidei ipsorum commiserunt, spem fallant; aut immodica vitæ conservandæ cupiditate turpitudinis atque ignominiæ notam adversæ fortunæ suæ inurant.

3. Romani, post victoriam partam, protinus castra hostium diripuerunt, multosque ibi Gallos, in toris stramineis præ temulentia jacentes, in modum victimarum jugularunt: tum vero reliquam prædam captivorum collegerunt, ex qua in ærarium talenta amplius trecenta sunt relata. Ceciderunt

Digitized by Google

Ol.143.1. νίων κατὰ τὴν μάχην σὺν τοῖς Κελτοῖς οὐκ ἐλάττους μυρίων, τῶν δὲ Ῥωμαίων περὶ δισχιλίους. ἐάλωσαν δὲ καὶ ζωγρείᾳ τινὲς τῶν ἐνδόξων Καρχηδονίων, οἱ δὲ λοιποὶ κατεφθάρησαν. Τῆς δὲ φήμης 4 ἐφικομένης εἰς τὴν Ῥώμην, τὴν μὲν ἀρχὴν ἠπίστουν, τῷ λίαν βούλεσθαι τοῦτο γενόμενον ἰδεῖν· ἐπειδὴ δὲς καὶ πλείους ἦκον, οὐ μόνον τὸ γεγονὸς, ἀλλὰ καὶ τὰ κατὰ μέρος διασαφοῦντες, τότε δὴ χαρᾶς ὑπερβαλλούσης ἦν ἡ πόλις πλήρης, καὶ πᾶν μὲν τέμενος ἐκοσμεῖτο, πᾶς δὲ ναὸς ἔγεμε πελάνων καὶ θυμάτων· καθόλου δ' εἰς τοιαύτην εὐελπιστίαν παρε- 6 γένοντο καὶ θάρσος, ὥστε πάντας τὸν Ἀννίβαν, ὃν μάλιστα πρότερον ἐφοβήθησαν, τότε μηδ' ἐν Ἰταλίᾳ νομίζειν παρεῖναι.

Effusa Romanorum laetitia.

II.

3. μυρίων. *Si fides Livio, legendum οὐκ ἐλάττους ἢ (i. e. πέντε) μυριάδων, vel πεντακισμυρίων.* 4. τῷ λίαν βούλεσθαι. *τῷ debetur Casaubono.* τὸ *Herv. cum uncis, unde* Ὅ δι' ἃ τὸ *potest effici.* 5. καὶ τὰ κατὰ μέρος. *Articulum τὰ, quo carent vulgo omnes, ex conject. adjeci cum Reiskio.* Ibid. πελάνων. πανάνων *suspicatus est Toupius.*

runt in pugna, Carthaginiensium & Gallorum non pauciores decem millibus: Romanorum circiter duo millia. Venere autem in potestatem vivi e principibus Carthaginiensium nonnulli; ceteri omnes perierunt. Hujus victoriæ fama Romam adlata, initio parum in vulgus res credita; sicut fieri amat, quoties aliquid vehementer optamus. Pluribus deinde advenientibus, qui non solum rei bene gestæ nuncium adferrent, sed etiam sigillatim cuncta declararent; tum enimvero lætitia insanum magna civitas est repleta, tum omnia delubra cerneres exornari, in omnes sacras ædes liba & victimas congeri: atque uno verbo, bonam adeo spem omnes conceperunt & fiduciam, ut jam *Hannibalem, quem tantopere hactenus timuerant, ne esse quidem in Italia amplius* putarent.

II.

Digitized by Google

II.

A.V.547.

RES GRAECORVM.

(I.) *Thermum rursus spoliat Philippus.*

✲ ✲ ✲

Φίλιππος, πορευθεὶς ἐπὶ τὴν Τριχωνίδα λίμνην, καὶ παραγενόμενος εἰς τὸν Θέρμον, ἔνθα ἦν ἱερὸν Ἀπόλλωνος, ὅσα πρότερον ἀπέλιπε τῶν ἀναθημάτων, τότε πάλιν ἅπαντα διελωβήσατο· κακῶς μὲν πρὸ τοῦ, κακῶς δὲ τότε χρώμενος τῷ θυμῷ. Τὸ γὰρ, τοῖς ἀνθρώποις ὀργιζόμενον εἰς τὸ θεῖον ἀσεβεῖν, τῆς πάσης ἀλογιστίας ἐστὶ σημεῖον. IV. Apollinis templum Thermi.

✲ ✲ ✲

3 Ἔλλόπιον, πόλις Αἰτωλίας. Πολύβιος ἑνδεκάτῳ.

✲ ✲ ✲

4 Φύταιον, πόλις Αἰτωλίας. Πολύβιος ἑνδεκάτῳ.

(II.) *Ex-*

IV. 1. ἀπέλιπε *ex conject. posui pro vulgato* ἀπέλειπε.

II.

(I.) *Excerpt. Valesian. ex Lib. XI.*

✲ ✲ ✲

4. *Philippus*, ad Trichonidem paludem progressus, postquam *Thermum* advenit, quo in oppido *Apollinis templum* erat, quæcumque ex donariis prius intacta reliquerat, tunc omnia rursus disturbavit: & tunc & antea pravo animi impetu actus. Nam, ex concepto adversus homines furore ad violandos etiam Deos ferri, summæ dementiæ indicium est.

✲ ✲ ✲

Ellopium, oppidum Aetoliæ. Polyb. XI. (*Steph. Byz.*)

✲ ✲ ✲

Phytæum, oppidum Aetoliæ. Polyb. XI. (*Idem.*)

(II.) *Ex-*

Digitized by Google

Ol. 143. 1.

(II.) *Legatio ad Aetolos de Pace.*

V. Oratio legati Rhodii.

„Ὅτι μὲν οὔτε Πτολεμαῖος ὁ βασιλεὺς, οὔθ' ἡ τῶν Ῥοδίων πόλις, οὔθ' ἡ τῶν Βυζαντίων, καὶ Χίων, καὶ Μιτυληναίων, ἐν παρέργῳ τίθενται τὰς ὑμετέρας, ὦ ἄνδρες Αἰτωλοὶ, διαλύσεις, ἐξ αὐτῶν τῶν πραγμάτων ὑπολαμβάνω τοῦτ' εἶναι συμφανές. οὐ γὰρ νῦν πρῶτον, οὐδὲ δεύτερον, ποιούμεθα πρὸς ὑμᾶς τοὺς ὑπὲρ τῆς εἰρήνης λόγους· ἀλλ' ἐξ ὅτου τὸν πόλεμον ἀνεστήσασθε, προσεδρεύοντες, καὶ πάντα καιρὸν θεραπεύοντες, οὐ διελείπομεν ὑπὲρ τούτων ποιούμενοι πρὸς ὑμᾶς μνήμην· κατὰ μὲν τὸ παρὸν, τῆς ὑμετέρας καὶ Μακεδόνων στοχαζόμενοι καταφθορᾶς· πρὸς δὲ τὸ μέλλον, καὶ περὶ τῶν σφετέρων πατρίδων, καὶ περὶ τῶν ἄλλων Ἑλλήνων προνοούμενοι. Καθάπερ γὰρ ἐπὶ τοῦ πυρὸς, ὅταν ὑφάψῃ τις ἅπαξ τὴν ὕλην, οὐκέτι τὸ λοιπὸν ἐπὶ τῇ

„τούτου

V. 2. διελείπομεν διαλείπομεν *Casaub. invitis mss.* 4. ἐπὶ τοῦ πυρὸς. ὑπὸ τοῦ πυρὸς *Herv. cum mss.*

(II.) *Excerptorum Antiquorum Cap. 4 - 6.*

5. „Equidem, *viri Aetoli*, pacem vestram neque a *Ptolemæo* rege, neque a civitatibus *Rhodiorum*, *Byzantiorum*, *Chiorum*, & *Mitylenæorum* negligi, sed, ut illa fiat, curæ eis esse non levi, res ipsas palam facere autumo. Neque enim nunc primum, aut iterum, super negotio pacis vos convenimus: sed ex quo bellum vos resuscitastis, nos in hoc incumbere, omnemque occasionem „captare, & mentionem hujus rei apud vos facere non destitimus: primum quidem, vestrum & Macedonum intuentes exitium, quo vos mutuo adteritis; deinde vero & nostrarum patriarum & communi omnium Græcorum saluti mature consulere cupientes. Nam quod *in igne* fieri amat, ut, postquam semel aliquis aptam ei concipiendo materiam accenderit, de cetero non am-

„plius

Digitized by Google

„τούτου προαιρέσει γίγνεται τὸ συμβαῖνον, ἀλλ' ἤ A.V.547. Oratio legati Rhodii.
ποτ' ἂν τύχῃ λαμβάνει τὴν νομήν, τὸ πλεῖον τοῖς
ἀνέμοις κυβερνώμενον, καὶ τῇ τῆς ὑποκειμένης ὕλης
διαφθορᾷ, καὶ πολλάκις ἐπ' αὐτὸν τὸν ἐμπρήσαντα
πρῶτον ὥρμησε παραλόγως· τὸν αὐτὸν τρόπον καὶ
ὁ πόλεμος, ὑπό τινων ὅταν ἅπαξ ἐκκαυθῇ, ποτὲ
μὲν αὐτοὺς τούτους πρώτους ἀπόλλυσι, ποτὲ δὲ φέ-
ρεται φθείρων ἀδίκως πᾶν τὸ παραπεσόν οἱ, καινο-
ποιούμενος καὶ προσφυσώμενος, ὥσπερ ὑπ' ἀνέμων,
ὑπὸ τῆς τῶν πλησιαζόντων ἀγνοίας. Διόπερ, ὦ
ἄνδρες Αἰτωλοὶ, νομίσαντες καὶ τοὺς νησιώτας παν-
δημεὶ, καὶ τοὺς τὴν Ἀσίαν κατοικοῦντας Ἕλληνας
παρόντας ὑμῶν δεῖσθαι, τὸν μὲν πόλεμον ἆραι, τὴν
δ' εἰρήνην ἑλέσθαι, διὰ τὸ καὶ πρὸς σφᾶς ἀνήκειν τὰ
„γιγνό-

4. ὕλης διαφθορᾷ. διαφορᾷ *suspicari licet cum Gronovio.* 5. ποτὲ μὲν *correxi cum Vrsino & Reisk. Vulgo omnes* τότε μέν. Ibid. παραπεσόν οἱ, καινοπ. *Sic Aug. Regii, Vesont Tubing. nisi quod careant distinctione* παραπεσόν, ὡς καινοπ. *Herv. cum Med. Hinc* ἀεὶ *pro* ὡς *voluit Vrsinus:* & ὡς ἀεὶ *posuit Casaub.* 6. ᾆρσαι *ex vestigiis scripturæ librorum restitui, in quibus (ut apud Hervag.) est* ἀρετὴν τὴν δ' ὡρ. καταθέσθαι *ex Vrsini conj. edidit Casaub.*

„plius in ejus arbitrio rei eventus sit positus; sed, quo tulerit casus, late grassetur incendium, prout ventorum, qui in tali re plurimum valent, flatus impulerint, & subjectæ materiæ conflagratio induxerit, sæpe ut præter omnium opinionem *ipsum auctorem incendii primum flamma invadat:* sic etiam *Bellum,* ubi semel a quibusdam est accensum, ipsos interdum, qui excitarunt, primos omnium perdit; inter-

„dum vero per quidquid est obvium, immerito devastans omnia, late fertur, velut novas subinde vires adquirens, & stultitia proximorum populorum non secus ac flatu ventorum irritatum. Quamobrem, *viri Aetoli,* quasi præsens natio universa Græcorum, sive qui insulas, sive qui Asiam incolunt, vos nunc rogaret, ut bellum hoc pace velitis commutare, quoniam & ad ipsos quoque ea res pertinet, mentem meliorem

„induis

Ol. 143. 1. Oratio legati Rhodii.

„γιγνόμενα, σωφρονήσαντες ἐντράπητε, καὶ πείθητε τοῖς παρακαλουμένοις. Καὶ γὰρ εἰ κατά τινα τύχην ἐπολεμεῖτε πόλεμον ἀλυσιτελῆ μέν, ἐπειδὴ παντὶ πολέμῳ τοῦτο παρέπεται κατὰ τὸ πλεῖστον, ἔνδοξον δὲ καὶ κατὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, καὶ κατὰ τὴν τῶν ἀποβαινόντων ἐπιγραφήν· ἴσως ἄν τις ὑμῖν ἔσχε συγγνώμην, φιλοτίμως διακειμένοις. εἰ δὲ πάντων αἴσχιστον, καὶ πολλῆς ἀδοξίας πλήρη καὶ βλασφημίας· ἆρ' οὐ μεγάλης προσδεῖται τὰ πράγματα ἐπισκέψεως; Ῥηθήσεται γὰρ τὸ δοκοῦν, μετὰ παῤῥησίας· ὑμεῖς δ', ἂν εὖ φρονῆτε, μετ' ἡσυχίας ἀνέξεσθε. πολλῷ γάρ ἐστιν ἄμεινον, ὀνειδισθέντας ἐν καιρῷ σωθῆναι μᾶλλον, ἢ πρὸς χάριν ἀκούσαντας μετ' ὀλίγον ἀπολέσθαι μὲν αὐτούς, ἀπολέσαι δὲ καὶ τοὺς λοιποὺς Ἕλληνας.

„Λάβετε

7. ἐπολεμεῖτε ex conjecl. scripsi cum Reisk. Vulgo omnes πολεμεῖτε. 10. ἀπολέσαι δὲ ab Vrsino adscitum Casaub. ἀπολέσθαι Herv. cum vulg.

„induite, reveremini eos, qui vos orant, & precibus noſtris exorari vos ſinite. Enimvero ſi ita vobiscum fortuna ageret, ut bellum gereretis, damnoſum illud quidem vobis, (neque enim ullum fere eſt bellum, cui hæc non adhæreat conditio;) ſed cum gloria tamen veſtra conjunctum, & propter cauſſam, quæ illud conflaſſet, & propter egregium laudis titulum, qui bello confecto vos maneret; poſſet fortaſſe aliquis hancce animorum obſtinationem tantam vobis condonare. Sin eſt iſtud bellum omnium „turpiſſimum, & quod infamia vos opplebit, & maledictis omnium objiciet; nonne etiam atque etiam diligenter, quid agatis, vobis eſt attendendum? Dicam enim libere, quod ſentio: vos, ſi ſapitis, orationem meam æquis animis accipietis. Præſtat enim longe, *viri Aetoli*, ut opportune objurgati ſalutem conſequamini potius, quam ut, iis nunc auditis, quæ grata vobis futura ſint, poſtmodum & ipſi pereatis, & reliquum omne Græcum nomen in eamdem vobiscum perniciem trahatis.

6. „Agite

A.V.547. VI. Oratio legati Rhodii.

„Λάβετε τοίνυν πρὸ ὀφθαλμῶν τὴν αὐτῶν ἄγνοιαν. Φατὲ μὲν γὰρ, πολεμεῖν ὑπὲρ τῶν Ἑλλήνων πρὸς Φίλιππον, ἵνα σωζόμενοι μὴ ποιῶσι τούτῳ τὸ προστατ[ό]μενον· πολεμεῖτε δὲ ἐπ' ἐξανδραποδισμῷ καὶ καταφθορᾷ τῆς Ἑλλάδος. Ταῦτα γὰρ αἱ συνθῆκαι λέγουσιν ὑμῶν αἱ πρὸς Ῥωμαίους, αἱ πρότερον μὲν ἐν τοῖς γράμμασιν ὑπῆρχον, νῦν δ' ἐν τοῖς πράγμασι θεωροῦνται γιγνόμεναι. καὶ τότε μὲν αὐτὰ τὰ γράμματα τὴν αἰσχύνην ὑμῖν ἐπέφερε, νῦν δὲ διὰ τῶν ἔργων ὑπὸ τὴν ὄψιν τοῦτο γίγνεται πᾶσι καταφανές. λοιπὸν, ὁ μὲν Φίλιππος ὄνομα γίγνεται καὶ πρόσχημα τοῦ πολέμου· πάσχει γὰρ οὐδὲν δεινόν· τούτῳ δὲ συμμάχων ὑπαρχόντων Πελοποννησίων τῶν πλείστων, Βοιωτῶν, Εὐβοέων, Φωκέων, Λοκρῶν, Θετ[τ]αλῶν, Ἠπειρωτῶν, κατὰ τού-

„των

VI. 3. γράμματα δ' ἐπέφερε correxit Casaub. πράγματα δ' ἐπιφέρει Herv. cum mitis. 4. κατὰ τούτων πεποιῆσθε. Post τούτων

6. „Agite igitur, quanto in errore verſemini, ob oculos vobis ponite. Nempe dicitis, *pro Græcis hoc cum Philippo bellum vos gerere, ut ab illius imperio ac dominatione eos liberetis:* cum his vero dictis Græciam ea lege bello premitis, ut ſervituti eam mancipetis, & funditus deleatis. Ita namque *fœderis veſtri cum Romanis conditiones* ferunt, quæ antea quum ſcriptis eſſent comprehenſæ, nunc in effectum adductæ cernuntur. Et tunc quidem vel nuda ſcripta ma-

„gnam infamiæ notam veſtro nomini inurebant: nunc rerum ipſarum argumentis veſtra omnia conſilia patent. Quid multa? *Philippi* nomen non jam ob aliud adſumitur, niſi ad ſpeciem & prætextum belli: nam ipſe quidem damnum accipit nullum: ſed quum ſocios habeat majorem Peloponneſiorum partem, item Bœotos, Eubœenſes, Phocenſes, Locros, Theſſalos, Epirotas; iſti ſunt, in quorum perniciem fœdus eſt a vobis factum. Cui fœderi hæc dicta

Digitized by Google

Ol. 143. 1. Oratio legati Rhodii.

„των πεποίηθε τὰς συνθήκας· Ἐφ' ᾧ τὰ μὲν σώματα καὶ τὰ ἔπιπλα Ῥωμαίων ὑπάρχειν· τὰς δὲ πόλεις καὶ τὴν χώραν Αἰτωλῶν. Καὶ κυριεύσαντες μὲν αὐτοὶ πόλεως, οὔτ' ἂν ὑβρίζειν ὑπομείνητε τοὺς ἐλευθέρους, οὔτ' ἐμπιμπράναι τὰς πόλεις, νομίζοντες ὠμὸν εἶναι τὸ τοιοῦτον καὶ βαρβαρικόν· συνθήκας δὲ πεποίηθε τοιαύτας, δι' ὧν ἅπαντας τοὺς ἄλλους Ἕλληνας ἐκδότους δεδώκατε τοῖς βαρβάροις εἰς τὰς αἰσχίστας ὕβρεις καὶ παρανομίας. Καὶ ταῦτα πρότερον μὲν ἠγνοεῖτο· νυνὶ δὲ διὰ τῆς Ὠρειτῶν καὶ τῶν ταλαιπώρων Αἰγινητῶν ἅπασι γεγόνατε καταφανεῖς, τῆς τύχης ὥσπερ ἐπίτηδες ἐπὶ τὴν ἐξώστραν ἀναβιβαζούσης τὴν ὑμετέραν ἄγνοιαν. Ἡ μὲν οὖν ἀρχὴ τοῦ πολέμου καὶ τὰ νῦν ἤδη συμβαίνοντα τοιαῦτ' ἐστί· τὸ δὲ

των Herv. cum mitis cunctis inſerit γὰρ. Id ſi recte factum, excidiſſe paulo ante nonnihil neceſſe eſt. 8. *ἠγνοεῖτο. ἠγνοεῖτε Herv. cum Aug. Regiis, Veſont. Tubing. Forſan καὶ ταῦτα ποιούμενοι πρότερον μὲν ἠγνοεῖθε.* Ibid. *γεγόνατε καταφανεῖς ex mitis reſtitui. γέγονε καταφανὴ Caſaub. cum Vrſino.*

„cta lex eſt: *ut corpora et ſupellex eorum, qui fuerint capti, in praedam Romanis cedant, urbes atque agri ſint Aetolorum.* Et qui, ſi oppidum aliquod in poteſtatem veſtram redegiſſetis, liberos homines contumelia adficere numquam ſuſtineretis, neque urbes ipſas incendere, quod crudelis id profecto & barbari animi eſſe duceretis, ejusmodi tamen fœdus probaſtis, per cujus „conditiones ceteri omnes Græci ad omne injuriae & fœdiſſimæ contumeliae genus a vobis deduntur. Quæ veſtra conſilia quum nemini ante eſſent nota; nunc per *Oritarum* & infelicium *Aeginetarum* calamitates, qui veſter eſſet animus, pateſactum eſt omnibus: poſtquam amentiam veſtram, velut dedita opera, in *exoſtram* traduxit fortuna. Et belli quidem principium, quæque jam nunc eveniunt,

„ſunt

Digitized by Google

„δὲ τέλος, ἂν ὅλως πάντα κατὰ νοῦν ὑμῖν χωρήσῃ, A.V.547. Oratio legati Rhodii.
ποῖόν τι δεῖ προσδοκᾶν; Ἆρ' οὐ κακῶν ἀρχὴν μεγά-
λων ἅπασι τοῖς Ἕλλησιν;

„Ὅτε γὰρ ἂν Ῥωμαῖοι τὸν ἐν Ἰταλίᾳ πόλεμον VII.
ἀποτρίψωνται, (τοῦτο δ' ἐστὶν ἐν ὀλίγῳ, συγκε-
κλεισμένου τῆς Βρεττίας εἰς πάνυ βραχεῖς τόπους
2 Ἀννίβου·) λοιπὸν, ὅτι πάσῃ τῇ δυνάμει τὴν ὁρμὴν
ἐπὶ τοὺς κατὰ τὴν Ἑλλάδα τόπους ποιήσονται, λό-
γῳ μὲν Αἰτωλοῖς βοηθήσοντες κατὰ Φιλίππου, τῇ
δ' ἀληθείᾳ πᾶσαν ὑφ' ἑαυτοὺς ποιησόμενοι, καὶ λίαν
3 τοῦτ' ἐστὶ καταφανές. ἐάν τε καλῶς προθῶνται
ποιεῖν Ῥωμαῖοι κυριεύσαντες, ἐκείνων ἔσεσθαι καὶ τὴν
χάριν καὶ τὴν ἐπιγραφήν· ἐάν τε κακῶς, τῶν αὐτῶν
ὑπάρξειν καὶ τὰς ὠφελείας ἐκ τῶν ἀπολλυμένων,
4 καὶ τὴν ἐξουσίαν τῶν σωζομένων. Ὑμεῖς δὲ τότε

X 2 „τοὺς

VII. 1. Ὅτε γὰρ ex ora Herv. recepi. Vulgo Ὅτι γὰρ edd. & mſti omnes. 2. ἐστὶ καταφ. cum Viſino correxit Caſaub. εἶναι Herv. cum mſtis. An εἴη debuerunt?

„ſunt hujusmodi. Finem vero, ſi vel omnia vobis omnino ex animi ſententia ſucceſſerint, ecquem par eſt exſpectare? Quis vero dubitat, futurum id Græcis magnorum principium malorum.

7. „Etenim manifeſta utique res eſt, *Romanos*, ubi primum, quod nunc in Italia bellum geritur, a cervicibus ſuis fuerint amoliti, (quod quidem brevi futurum eſt, coacto jam Hannibale in angulum quemdam agri Bruttii concedere;) omni-

„bus viribus *Græciam* eſſe invaſuros, verbo quidem, *ut Aetolis contra Philippum ferant opem;* re autem vera, *ut ſui juris atque ditionis univerſam faciant.* Qui ſi, Græcia omni ſubacta, benigne agere nobiscum voluerint, ſoli ex eo gratiam colligent, ſolis omnia beneficia ferentur accepta: ſin autem in nos ſecius conſuluerint, & eorum, qui perierint, ſpolia, & eorum, qui ſervati fuerint, dominatio penes eosdem eſt futura. Tum enimvero vos deûm

„fidem

Digitized by Google

Ol. 143. 1. Oratio legati Rhodii.

„τοὺς θεοὺς ἐπικαλέσεσθε μάρτυρας, ὅταν μήτε τῶν θεῶν βούληταί, μήτε τῶν ἀνθρώπων ἔτι δύνηται βοηθεῖν ὑμῖν μηδείς. Ἴσως μὲν οὖν ἐξ ἀρχῆς ἔδει πάντα προορᾶσθαι· τοῦτο γὰρ ἦν ὑμῖν πρέπον. Ἐπειδὴ δὲ πολλὰ διαφεύγει τῶν μελλόντων τὴν ἀνθρωπίνην πρόνοιαν, νῦν γε δέον ἂν εἴη, διὰ τούτων τῶν πραγμάτων συνεωρακότας τὸ συμβαῖνον, βέλτιον βουλεύεσθαι περὶ τοῦ μέλλοντος. Οὐ μὴν, ἀλλ' ἡμεῖς γε κατὰ τὸ παρὸν οὐδὲν ἀπολελοίπαμεν τῶν ἁρμοζόντων ἢ λέγειν ἢ πράττειν τοῖς ἀληθινοῖς φίλοις, καὶ περὶ τοῦ μέλλοντος τὸ δοκοῦν μετὰ παῤῥησίας εἰρήκαμεν· ὑμᾶς δ' ἀξιοῦμεν καὶ παρακαλοῦμεν, μήτ' αὐτοῖς φθονῆσαι, μήτε τοῖς ἄλλοις Ἕλλησι, τῆς ἐλευθερίας καὶ τῆς σωτηρίας." Τούτου δὲ ποιήσαντος διατροπήν τινα τοῖς πολλοῖς, ὡς ἐδόκει· μετὰ τοῦτον εἰσῆλθον οἱ παρὰ τοῦ Φιλίππου πρέσβεις,

6 7 8 9

Philippi legati.

6. διαφεύγει pariter ex Vrſini emend. adſcivit Caſaub. διαφεύγειν Herv. cum mitis, ut videri poſſit excidiſſe πέφυκε vel συμβαίνει.

„fidem teſtabimini, cum neque deorum ullus voluntatem, neque hominum facultatem ferendæ vobis opis habebit. Erant igitur fortaſſe omnia hæc mala vobis ab initio proſpicienda: id enim vos maxime decuiſſet. Verumtamen, quando pars magna eorum, quæ ſunt futura, humanam providentiam effugiunt, nunc ſaltem æquum fuerit, impendentes calamitates de præſentibus conjectantes, ſaniora in poſterum conſilia inire. Quidquid ſit, nos quidem in præ„ſentia eorum omnium, quæ veris amicis dicenda erant, aut facienda, nihil omnino prætermiſimus: ſed, quæ videbantur nobis de futuro rerum ſtatu, libere vobis expoſuimus. Quod ſupereſt, petimus a vobis, atque adeo vos hortamur, ut neque vobis ipſis, neque reliquis Græcis libertatem & ſalutem invideatis." Hujusmodi oratione quum orator hic audientium multitudinem non mediocriter viſus eſſet commoviſſe; poſt eum *Philippi legati* ſunt ingreſſi, qui, pluribus

Digitized by Google

βεσς, οἱ τοὺς μὲν κατὰ μέρος λόγους ὑπερέθεντο, A.V.547.
ιοδύο δ' ἔφασαν ἥκειν ἔχοντες ἐντολάς· „Αἱρουμένων μὲν τῶν Αἰτωλῶν τὴν εἰρήνην, ἑτοίμως δέχεσθαι· εἰ δὲ μή, τοὺς θεοὺς καὶ τοὺς πρεσβευτὰς τοὺς παρόντας ἀπὸ τῆς Ἑλλάδος ἐπιμαρτυραμένους χωρίζεσθαι, διότι τῶν μετὰ ταῦτα συμβησομένων τοῖς Ἕλλησιν Αἰτωλοὺς, ἀλλ' οὐ Φίλιππον αἴτιον, δείσει νομίζειν."

(III.) *Philopœmen vincit Machanidam, Lacedæmoniorum tyrannum.*

Τριῶν ὄντων τρόπων, καθ' οὓς ἐφίενται πάντες στρατηγίας οἱ κατὰ λόγον αὐτῇ προσιόντες· πρώτου μὲν, διὰ τῶν ὑπομνημάτων καὶ τῆς ἐκ τούτων κατασκευῆς· ἑτέρου δὲ, τοῦ μεθοδικοῦ, καὶ τῆς παρὰ τῶν ἐμπείρων ἀνδρῶν παραδόσεως· τρίτου δὲ, τοῦ διὰ τῆς ἐπ' αὐτῶν τῶν πραγμάτων ἕξεως καὶ τριβῆς· VIII. Imperitia ducum Achæorum.

X 3

ribus verbis in præſens ſuperſedentes, duo ſe mandata dixerunt adtuliſſe: *ſi pacem Aetoli probarent, ad eam accipiendam paratum eſſe Philippum: ſin minus, diſceſſuros ſe ſtatim, ubi deos atque legatos, qui e variis Græciæ locis adeſſent, forent teſtati, omnium malorum, quæ poſt hæc eventura Græcis eſſent, Aetolos, non autem Philippum, debere cenſeri cauſſam atque auctores.*

(III.) *Ex Suida & ora Codicis Vrbinatis.*

8. Cum *tres* ſint *modi*, quibus *dignitatem Imperatoriam* appetunt illi, qui ratione & judicio ad eam gerendam accedunt: unus, per lectionem Hiſtoriarum & ſcientiam quam quis inde ſibi comparat; alter, methodicus, ſive per præcepta virorum artis illius peritorum; tertius, per ipſarum rerum experientiam & uſum; horum

Digitized by Google

Ol. 143. 1. Imperitia ducum Achæorum.

τριβῆς· πάντων ἦσαν τούτων ἀνεννόητοι οἱ τῶν Ἀχαιῶν στρατηγοὶ ἁπλῶς.

✲ ✲ ✲

Τοῖς γὰρ πλείστοις ὑπεγεγόνει τις ζῆλος ἐκ τῆς τῶν ἄλλων ἀλαζονείας καὶ τῆς ἀκαιρίας. ἐσπούδαζον γὰρ τὰς ἀκολουθίας καὶ τὰς ἐσθῆτας διαφερόντως, καί τις ἦν περὶ τοὺς πλείστους καλλωπισμὸς, ὑπερέχων τὴν ἐκ τοῦ βίου χορηγίαν. ὅπλων δὲ οὐδὲ τὸν ἐλάχιστον ἐποιοῦντο λόγον.

✲ ✲ ✲

Οἱ γὰρ πολλοὶ τὰ μὲν ἔργα τῶν εὐτυχούντων οὐδὲ πειρῶνται μιμεῖσθαι· τὰ δὲ πάρεργα ζηλοῦντες, μετὰ βλάβης ἐνθεατρίζουσι τὴν ἑαυτῶν ἀκρισίαν.

✲ ✲ ✲

IX. Philopœmen cohortatur Achæos.

„Μεγάλα μὲν γὰρ, ἔφη, τὴν λαμπρότητα συμβάλλεσθαι πρὸς ἔκπληξιν τῶν ὑπεναντίων, πολλὰ δὲ συνερ-

rum omnium prorsus imperiti fuerunt duces *Achæorum*. (*Suidas in* Στρατηγία.)

✲ ✲ ✲

Plerosque æmulatio quædam, propter reliquorum *fastum* & *intemperantiam*, invaserat. Nam & comitatus & exquisiti vestitus vehementer erant studiosi: & plerisque erat is corporis cultus & ornatus, qui fortunarum facultates superaret: armorum vero nè minimam quidem rationem habebant. (*Idem in* Ζῆλος.)

✲ ✲ ✲

Plerique *seria* quidem fortunatorum virorum facta imitari non student; sed *ludicra* eorumdem imitantes, suo damno levitatem suam omnium spectaculo exponunt. (*Ora Cod. Vrbinatis; & Suidas in* Ἐνθεατρίζουσι.)

Excerpt. Antiq. ex Lib. XI. *Cap.* 7 - 16.

✲ ✲ ✲

9. Dicebat PHILOPOEMEN: *splendorem armorum ad terrorem hostibus incutiendum vim magnam habere;*

Digitized by Google

συνεργεῖν τὴν ἐκ τῆς ἐπισκευῆς ἁρμογὴν τῶν ὅπλων εἰς τὴν χρείαν. γίγνεσθαι δ' ἂν μάλιστα τὸ δέον, εἰ τὴν μὲν ἐπιμέλειαν, ἣν νῦν ποιοῦνται περὶ τὸν ἱματισμόν, ταύτην ποιήσαιντο περὶ τῶν ὅπλων· τὴν δὲ πρότερον ὀλιγωρίαν περὶ τῶν ὅπλων παρ' αὐτοῖς ὑπάρχουσαν, ταύτην μετενέγκαιεν ἐπὶ τὰς ἐσθῆτας. οὕτω γὰρ ἅμα τούς τε κατ' ἰδίαν βίους ὠφεληθήσεσθαι, καὶ τὰ κοινὰ πράγματ' ὁμολογουμένως αὐτοὺς δυνήσεσθαι σώζειν. Διόπερ, ἔφη, δεῖν τὸν εἰς ἐξοπλισίαν ἢ στρατείαν ἐκπορευόμενον, ὅτε μὲν τὰς κνημίδας περιτίθεται, σκοπεῖν, ὅπως ἀραρυῖαι καὶ στίλβουσαι τῶν ὑποδεσμῶν καὶ κρηπίδων ὑπάρχωσιν αὗται μᾶλλον· ὅταν δὲ τὴν ἀσπίδα καὶ τὸν θώρακα καὶ τὸ κράνος διαλαμβάνῃ, περιβλέπειν, ἵνα τῆς χλαμύδος καὶ τοῦ χιτῶνος καθαριώτερα ταῦθ' ὑπάρ-

A.V.547. Philopœmen cohortatur Achæos.

X 4

IX. 2. περὶ τῶν ὅπλων. περὶ τὴν τῶν ὅπλων dant vulgo omnes. Delevi ex conj. articulum τὴν, qui si teneri debet, supplendum erit nomen σεμνότητα aut aliud simile. Possis & suspicari ὑπὲρ τῶν ὅπλων, & simpliciter τῶν ὅπλων absque præpos. 3. ὠφεληθήσεσθαι. Vulgo ὠφελήσεσθαι. 5. τὸν θώρακα. Articulum, quo caient vulgo omnes, adjeci. Ibid. καθαριώτερα correxit Casaub. καθαρειώτερα Herv. cum mstis & Suida; quod ex καθαρεύτερα depravatum videtur.

re; aptitudinem vero eorumdem ex concinnitate fabricæ, ad usum conferre mirum quantum. Rite autem omnia tum demum iri administratum, si, quam nunc in vestitu curam adhibeant, eam ad arma convertissent; quanta autem nunc sit apud ipsos armorum incuria, eam transtulissent ad vestes. Hoc namque pacto simul rei familiari suæ melius ipsos consulturos, simul reipublicæ tuendæ majorem facultatem habituros. Oportere igitur, ut is, qui vel ad decursionem vel ad expeditionem se accingit, cum ocreas inducit, videat diligenter, ut illæ magis, quam ut calceamenta & crepidæ, sint aptæ atque splendentes. Quando clypeum sumit, & loricam ac galeam; etiam atque etiam videndum, ut mundiora & exquisitiora ista sint,

Digitized by Google

Ol. 143. 1. Philopœmen cohortatur Achæos.

ὑπάρχῃ καὶ πολυτελέστερα. παρ' οἷς γὰρ τὰ πρὸς 6 ἐπιφάνειαν αἱρετώτερά ἐστι τῶν πρὸς τὴν χρείαν, παρὰ τούτοις αὐτόθεν εὐθέως προφανὲς εἶναι τὸ συμβησόμενον ἐν τοῖς κινδύνοις. Καθόλου δ' ἠξίου 7 διαλαμβάνειν, ὡς ὁ μὲν ἐν τοῖς ἱματίοις καλλωπισμὸς γυναικός ἐστι, καὶ ταύτης οὐ λίαν σώφρονος· ἡ δ' ἐν τοῖς ὅπλοις πολυτέλεια καὶ σεμνότης ἀνδρῶν ἀγαθῶν, προαιρουμένων ἑαυτοὺς καὶ τὰς πατρίδας ἐνδόξως σώζειν." Πάντες δ' οἱ παρόντες οὕτως 8 ἀπεδέξαντο τὰ ῥηθέντα, καὶ τὸν νοῦν τῆς παρακλήσεως ἐθαύμασαν, ὡς καὶ παραχρῆμα μὲν ἐκπορευόμενοι τὸ βουλευτήριον, εὐθέως ἐνεδείκνυντο τοὺς κεκαλλωπισμένους, καὶ διεκλίνειν ἐνίους ἠνάγκαζον τῆς ἀγορᾶς. ἔτι δὲ μᾶλλον ἐν ταῖς ἐξοπλι- 9 σίαις καὶ στρατείαις παρετήρουν σφᾶς αὐτοὺς ἐν τοῖς προειρημένοις.

Disciplinam militarem restituit.

Οὕτως

sint, quam chlamys aut tunica. Ubi enim, quæ ad speciem dumtaxat faciunt, majore studio excoluntur iis quæ ad usum deserviunt, ibi manifestum esse vel ex eo ipso statim, qualis prœliorum eventus sit futurus. Omnino vero id postulabat PHILOPOEMEN, ut *cunctis sibi persuaderent, cultus niniam curam mulieri convenire, & ei quidem non nimis modestæ; armorum vero pretiosorum studium & decus viris fortibus, qui & suam & patriæ salutem cum gloria conservare propositum habeant.* Hæc dicenti omnes, qui aderant, adsentiri, ac præclare monentis prudentiam sic admirari, ut e vestigio curia egressi, nitidiore cultu insignes digito statim indicarent, quosdam etiam forum devitare adigerent. Sed multo magis cum in decursionibus, tum in expeditionibus, sese mutuo, quod ad prædictas res adtinet, observabant.

10. Adeo

Digitized by Google

Οὕτως εἰς λόγος, εὐκαίρως ῥηθεὶς ὑπ' ἀνδρὸς ἀξιοπίστου, πολλάκις οὐ μόνον ἀποτρέπει τῶν χειρίστων, ἀλλὰ καὶ παρορμᾷ πρὸς τὰ κάλλιστα τοὺς ἀνθρώπους. ὅταν δὲ καὶ τὸν ἴδιον βίον ἀκόλουθον εἰσφέρηται τοῖς εἰρημένοις ὁ παρακαλῶν, ἀνάγκη λαμβάνειν τὴν πρώτην πίστιν τὴν παραίνεσιν. ὃ δὴ περὶ ἐκεῖνον τὸν ἄνδρα μάλιστ' ἄν τις ἴδοι γιγνόμενον. Κατά τε γὰρ τὴν ἐσθῆτα καὶ σίτησιν ἀφελὴς καὶ λιτὸς ἦν· ὁμοίως δὲ καὶ περὶ τὰς τοῦ σώματος θεραπείας, ἔτι δὲ καὶ τὰς ἐντεύξεις, εὐπερίκοπτος καὶ ἀνεπίφθονος. Περί γε μὴν τοῦ παρ' ὅλον τὸν βίον ἀληθεύειν, μεγίστην ἐποιήσατο σπουδήν. τοιγάρτοι βραχέα καὶ τὰ τυχόντα ἀποφαινόμενος, μεγάλην ἐγκατέλειπε πίστιν τοῖς ἀκούουσι. παράδειγμα γὰρ ἐν πᾶσι τὸν ἴδιον βίον εἰσφερόμενος, εὖ πολλῶν ἐποίει προσδεῖσθαι λόγων τοὺς ἀκούοντας.

A.V.547. X. Philopœmenis morum simplicitas.

Auctoritas apud suos.

X 5 διὸ

X. 2. τὴν πρώτην πίστιν. τὴν πρώτην παραίνεσιν τὴν πίστιν suspicatus est Gronov. 4. ἐγκατέλειπε. Vulgo ἐγκατέλιπε.

10. Adeo unica sæpe oratio, ab auctoritatis magnæ viro tempestive habita, non solum a pessimis revocare homines moribus, sed etiam ad honestissima instituta potest impellere. Quod si vero vitam quoque suam dictis congruentem, qui monet, exhibuerit; tum necesse est præcipuum pondus habeat ejus cohortatio. Quod sane in eo viro, ut si in ullo umquam alio, videres. Erat enim ille in vestitu & victu facilis & parvo contentus. Pariter & in corporis famulitio, & in congressibus item, simplex erat, & ab omni invidioso fastu alienus. Ante omnia id summo studio per omnem vitam curabat, ut vera loqueretur: ex quo fiebat, ut quoties aliquid diceret, licet pauca verba proferret, quæque viderentur aliud agenti excidisse, maxime tamen illi apud audientes fides constaret. Nam quum vitam ita instituisset suam, ut pro exemplo esset omnibus exposita; facile utique obtinebat, ut ad faciendam fidem multis verbis opus

Digitized by Google

Ol.143.1. διὸ καὶ πολλάκις λόγους μακροὺς, καὶ δοκοῦντας ὑπὸ τῶν ἀντιπολιτευομένων δεόντως εἰρῆσθαι, δι' ὀλίγων ῥημάτων τῇ πίστει καὶ ταῖς ἐννοίαις τῶν πραγμάτων ὁλοσχερῶς ἐξέβαλε. Πλὴν τότε, συν-7 τελεσθέντος τοῦ διαβουλίου, πάντες ἐπανῆγον ἐπὶ τὰς πόλεις, τά τε ῥηθέντα καὶ τὸν ἄνδρα διαφερόντως ἀποδεδεγμένοι, καὶ νομίζοντες, οὐδ' ἂν παθεῖν οὐδὲν δεινὸν ἐκείνου προεστῶτος. Ὁ δὲ Φιλο-8 ποίμην εὐθέως ἐπορεύετο εἰς τὰς πόλεις, ἐνεργῶς καὶ μετὰ σπουδῆς ποιούμενος τὴν ἔφοδον. κἄπειτα, συναγαγὼν τοὺς ὄχλους, ἅμα μὲν συνέταξε, * * * καὶ τέλος οὐδ' ὅλους ὀκτὼ μῆνας· χρησάμενος τῇ τοιαύτῃ παρασκευῇ καὶ μελέτῃ, συνῆγε τὰς δυνάμεις εἰς Μαντίνειαν, διαγωνιούμενος πρὸς τὸν τύραννον ὑπὲρ τῆς ἁπάντων τῶν Πελοποννησίων ἐλευθερίας.

Achæos exercet Philopœmen.

Ὁ δὲ

9. Lacunæ signum *adjecit Casaubonus. Deesse verba ἅμα δ' ἐγύμναζε, perspecte suspicatus est Reiskius.*

opus non haberet. Sæpe igitur orationes longas, quæ magna etiam cum ratione a diversum in republica sentientibus adlatæ in medium fuisse videbantur, brevi ipse sermone (tantum apud cives & fides hujus viri valebat, & rerum gestarum cogitatio) funditus evertit. Vt redeam ad rem; dimisso concilio, ad suas quique civitates reverterunt, & cohortationem hanc & illius auctorem summopere comprobantes, persuasique, eo rempublicam gubernante, nihil adversi esse sibi metuendum. *Philopœmen* sine ulla mora urbes circumire, summo labore & studio omnia lustrare. Deinde multitudine in singulis locis convocata, simul centuriavit [& exercuit.] Octo ad summum menses, & ne eos quidem integros, in adparatu copiarum & exercitatione Philopœmen impenderat, quando, pro libertate omnium Peloponnesiorum cum tyranno acie decreturus, *Mantineam* exercitum congregavit.

11. *Ma-*

Digitized by Google

A.V.547. XI. Pugna cum Machanida ad Mantineam.

Ὁ δὲ Μαχανίδας, κατατεθαῤῥηκὼς, καὶ νομίζων, ὡσανεὶ κατ' εὐχὴν αὐτῷ γίγνεσθαι τὴν τῶν Ἀχαιῶν ὁρμὴν, ἅμα τῷ γνῶναι, διότι συνηθροισμένοι 2τυγχάνουσιν εἰς τὴν Μαντίνειαν· παρακαλέσας ἐν Τεγέᾳ τοὺς Λακεδαιμονίους τὰ πρέποντα τοῖς καιροῖς, εὐθέως εἰς τὴν ἐπιοῦσαν, ἅρτι τῆς ἡμέρας ἐπι3φαινούσης, προῆγεν ὡς ἐπὶ τὴν Μαντίνειαν· τῆς μὲν φάλαγγος καθηγούμενος τῷ δεξιῷ κέρατι, τοὺς δὲ μισθοφόρους ἐξ ἑκατέρου τοῦ μέρους τῆς πρωτοπορείας παραμίλλους ἄγων, ἐπὶ δὲ τούτοις ζεύγη, πλῆθος ἐργάνων καὶ βελῶν κομίζοντα καταπελτι4κῶν. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν Φιλοποίμην, εἰς τρία μέρη διῃρημένως τὴν δύναμιν, ἐξῆγεν ἐκ τῆς Μαντινείας, κατὰ μὲν τὴν ἐς τὸ Ποσειδῶνος ἱερὸν φέρουσαν τοὺς Ἰλλυριοὺς καὶ Θωρακίτας, ἅμα δὲ τὸ ξενικὸν ἅπαν καὶ τοὺς εὐζώνους· κατὰ δὲ τὴν ἐξῆς ὡς πρὸς τὰς δύσεις, τοὺς Φαλαγγίτας· ἔτι δὲ κατὰ τὴν

XI. 2. *τοὺς Λακεδαιμονίους correxit Casaub. τοῖς Λακεδαιμονίοις Herv. cum mstis.*

11. *Machanidas*, cui fuæ vires placebant, expeditionem hanc Achæorum adverſus ſe velut omnibus votis expetendam ſibi ratus; ut primum Mantineam conveniſſe hoſtium copias cognovit, hortatus Tegeæ *Lacedæmonios*, prout tempus monebat, poſtero ſtatim die primo diluculo *Mantineam* duxit. In dextro phalangis cornu curabat ipſe: mercenarii ad latus utrumque primi agminis æquis paſſibus procedebant: ſequebantur carri, vim magnam qua tormentorum qua telorum catapulticorum devehentes. Eodem etiam tempore *Philopœmen*, diviſo in tres partes exercitu, ipſe quoque Mantinea eduxit. Per eam portam, qua ad Neptuni fanum itur, Illyrios & loricatos emiſit, & mercenariorum univerſam manum, itemque expeditos: per eam, quæ proxime ſequebatur occidentem verſus, phalangitas: per

Ol. 143. 1. Acies Philopœmenis.

τὴν ἐχομένην τοὺς πολιτικοὺς ἱππεῖς. Τοῖς μὲν οὖν εὐζώνοις κατελάβετο πρώτοις τὸν λόφον τὸν πρὸ τῆς πόλεως, ὃς ἀνατείνων ἱκανὸν ὑπὲρ τὴν ὁδὸν κεῖται τὴν Ξενίδα, καὶ τὸ προειρημένον ἱερόν· τοὺς δὲ θωρακίτας συναπτων ἐπὶ τὴν μεσημβρίαν κατέστησε· τούτοις δὲ συνεχεῖς τοὺς Ἰλλυριοὺς παρενέβαλε. μετὰ δὲ τούτους, ἐπὶ τὴν αὐτὴν εὐθεῖαν, τὴν φάλαγγα κατὰ τέλη σπειρηδὸν ἐν διαστήμασιν ἐπέστησε παρὰ τὴν τάφρον, τὴν φέρουσαν ἐπὶ τοῦ Ποσειδίου διὰ μέσου τοῦ τῶν Μαντινέων πεδίου, καὶ συνάπτουσαν τοῖς ὄρεσι τοῖς συντερμονοῦσι τῇ τῶν Ἠλισφασίων χώρᾳ. πρὸς μὲν τούτοις ἐπὶ τὸ δεξιὸν κέρας ἐπέστησε τοὺς Ἀχαϊκοὺς ἱππεῖς, ὧν Ἀρισταίνετος ἡγεῖτο Δυμαῖος· κατὰ δὲ τὸ λαιὸν αὐτὸς εἶχε τὸ ξενικὸν ἅπαν ἐν ἐπαλλήλοις τάξεσιν.

Ἅμα

6. ἐπὶ τοῦ Ποσειδ. ἀπὸ τοῦ Ποσ. *in lat. verf. expreſſit Caſaub.* ab æde Neptuni. Ibid. Ἠλισφασίων. Ἐλισσαίων *ſuſpicatus eſt Gronov.*

per huic proximam, equites urbanos. Primos omnium expeditos miſit ad occupandum tumulum, qui in altitudinem ſatis magnam ante urbem ſe adtollens, viæ imminet, quam Xenidem vocant, & prædicto fano: prope iſtos, verſus meridiem, loricatos ſtare juſſit: continentes his Illyrios locavit. Secundum hos, ſuper eadem recta linea, phalangem, cohortatim in ſuas partes (Græci *tele* nuncupant) diviſam, & ſpatiis intermediis diſtinctam, ordinavit ſecundum foſſam, quæ verſus ædem Neptuni ducit per medios Mantinenſium campos, & ad montes pertinet, *Eliſphaſiorum* agro finitimos. Iuxta hos autem in dextro cornu equites Achaicos, ductore *Ariſtæneto* Dymæo, diſpoſuit. Ipſe in lævo cornu ſtabat cum omnibus mercenariis, quorum ordines preſſe alii aliis ſuccedebant.

12. Poſt-

Digitized by Google

Ἅμα δὲ τῷ σύνοπτον ἤδη καλῶς εἶναι παραγενομένην τὴν τῶν ὑπεναντίων δύναμιν, ἐπιπορευόμενος τὰ συστήματα τῶν Φαλαγγιτῶν παρεκάλει βραχέως μὲν, ἐμφαντικῶς δὲ τοῦ παρόντος κινδύνου. A.V.547. XII. Philopœmen hortatur suos.

Τὰ μὲν οὖν πλεῖστα τῶν λεγομένων ἀσαφῆ συνέβαινε γίγνεσθαι· διὰ γὰρ τὴν πρὸς αὐτὸν εὔνοιαν καὶ πίστιν τῶν ὄχλων εἰς τοιαύτην ὁρμὴν καὶ προθυμίαν παρέστη τὸ πλῆθος, ὥστε παραπλησίαν ἐνθουσιασμῷ τὴν ἀντιπαράκλησιν γίγνεσθαι τῶν δυνάμεων, ἄγειν καὶ θαρρεῖν αὐτὸν παρακελευομένων.

τοῦτο μέντοι τὸ παράπαν ἐπιμελῶς ἐπειρᾶτο διασαφεῖν, ὅτε λάβοι καιρὸν, ὅτι τοῖς μὲν ὑπὲρ αἰσχρᾶς καὶ ἐπονειδίστου δουλείας, τοῖς δὲ ὑπὲρ αἰσυμήστου καὶ λαμπρᾶς ἐλευθερίας συνέστηκεν ὁ παρὼν κίνδυνος.

XII. 1. τῷ σύνοπτον cum Reiskio correxi. τούτῳ συνάπτον Herv. cum mstis. Et hæc, & quæ sequuntur, Casaubonus cum Vrsino, invitis libris, in hunc modum immutavit: Ἅμα δὲ τῷ τοῦ συνάπτειν ἤδη καιρὸν εἶναι, παραγενομένων τῶν ὑπεναντίων δυνάμεων &c. 3. μέντοι τὸ παράπ. μὲν τὸ παράπ. Herv. cum libris: quod in μέντοι παράπαν mutavit Casaub. Præstuli Reiskii emendationem. Ibid. λάβοι καιρὸν. Et hoc Reiskius monuit. λάβοιεν καιρὸν Herv. cum Aug. Reg. F. Vesont. λάβοι ἐν καιρῷ Reg. G. λάβοιε καιρὸν Casaub.

12. Postquam prope jam in conspectu erant hostium copiæ, *Philopœmen*, phalangitarum agmina obiens, paucis eos verbis est adlocutus, sed iis, quæ ad declarandum, qualenam esset præsens periculum, pertinerent. Et pars quidem maxima dictorum vix potuit intelligi: nam propter summam hominum erga ipsum benevolentiam & fidem, eum multitudo sumsit impetum, eaque alacritas omnium in animis est exorta, ut, veluti divino furore perciti, hortantem imperatorem vice versa cohortarentur ipsi, & ducere atque bono esse animo juberent. At illud tamen omnino præcipuo semper studio, quoties concedebat tempus, monere suos conabatur, *hostibus pro fœda & ignominiosa servitute, ipsis pro libertate in ævum sempiternum memorabili & illustri, præsens certamen esse propositum. Machanidas* eam prin-

Ol. 143. 1. Acies Machanidæ.

vos. Ὁ δὲ Μαχανίδας τὸ μὲν πρῶτον ὑπέδειξεν, ὡς ὀρθίᾳ τῇ φάλαγγι προσμίξων πρὸς τὸ δεξιὸν τῶν πολεμίων· ἐπεὶ δ' ἐπλησίασε, λαβὼν σύμμετρον ἀπόστημα, περιέκλα τὴν δύναμιν ἐπὶ δόρυ, καὶ παρεκτείνας, ἴσον ἐποίησε τὸ παρ' αὐτοῦ δεξιὸν τῷ τῶν Ἀχαιῶν εὐωνύμῳ, τοὺς δὲ καταπέλτας πρὸ πάσης ἐπέστησε τῆς δυνάμεως ἐν διαστήμασιν. Ὁ δὲ Φιλοποίμην, θεασάμενος αὐτοῦ τὴν ἐπιβολήν, ὅτι τοῖς καταπέλταις ἐπενόει βαλὼν εἰς τὰς σπείρας τῶν φαλαγγιτῶν τραυματίζειν τοὺς ἄνδρας,

Committitur pugna per Tarentinos.

καὶ θόρυβον ἐμποιῶν τοῖς ὅλοις· οὐκέτι χρόνον ἔδωκεν, οὐδ' ἀναστροφήν, ἀλλὰ διὰ τῶν Ταραντίνων ἐνεργῶς ἐχρῆτο τῇ καταρχῇ τοῦ κινδύνου κατὰ τοὺς περὶ τὸ Ποσειδιον τόπους, ὄντας ἐπιπέδους, καὶ πρὸς ἱππικὴν εὐφυεῖς χρείαν. Ὁ δὲ Μαχανίδας, ὁρῶν τὸ γιγνόμενον, ἠναγκάζετο ποιεῖν τὸ παραπλήσιον, καὶ συναφεῖναι τοὺς παρ' αὐτοῦ Ταραντίνους.

Τὸ

principio ſpeciem præbebat, quaſi directa in longum phalange dextrum Achæorum cornu eſſet petiturus: qui tamen, ut propius acceſſit, idoneo ad id ſumto ſpatio, dextrorſum inflexit agmen, & eo usque extendit, ut lævam hoſtium aciem æquaret; catapultas autem ante totius aciei frontem per intervalla diſpoſuit. *Philopœmen*, videns illius conſilium infeſtandi catapultis phalangitarum cohortes, & militibus convulnerandis univerſam aciem turbandi, omni abrupta mora, ne ſpatium daret Machanidæ exſequendi quod volebat, *Tarentinis* pergere in hoſtem juſſis, prope Neptuni fanum, ubi ſunt loca plana & equeſtri dimicationi apta, pugnam ſtrenue commiſit. Quod ut vidit tyrannus, ipſe quoque idem facere, & ſuos pariter Tarentinos emittere eſt coactus.

13. Ita

Digitized by Google

Τὸ μὲν οὖν πρῶτον αὐτῶν τούτων ἀνδρώδης ἦν ἡ σύμπτωσις· κατὰ βραχὺ δὲ προσγγνομένων τοῖς πιεζομένοις τῶν εὐζώνων, ἐν πάνυ βραχεῖ χρόνῳ συνέβη τὸ παρ' ἑκατέρων ξενικὸν ἀναμὶξ γενέσθαι. 2πάντῃ δὲ τούτων συμπλοκῆς ἀθρόως καὶ κατ' ἄνδρα γγνομένης, ἐπὶ πολὺν χρόνον πάρισος ἦν ὁ κίνδυνος οὗτος, ὥστε τὰς λοιπὰς δυνάμεις, καραδοκούσας καθ' ὁποτέρων ὁ κονιορτὸς τραπήσεται, μὴ δύνασθαι συμβαλεῖν, διὰ τὸ ἀμφοτέρους ἐπὶ πολὺ διακατέχοντας ἐν τῇ μάχῃ τὸν ἐξ ἀρχῆς τόπον. 3χρόνου δὲ γγνομένου, κατίσχυον καὶ τῷ πλήθει καὶ ταῖς εὐχειρίαις, διὰ τὴν ἕξιν, οἱ παρὰ τοῦ τυράννου 4μισθοφόροι. Τοῦτο δ' εἰκότως καὶ τότε καὶ τὸ παρ- 5άπαν εἴωθε γίγνεσθαι. Ὅσῳ γὰρ συμβαίνει τοὺς ἐν ταῖς δημοκρατίαις ὄχλους προθυμοτέρους ὑπάρχειν

A.V.547. XIII. Pugnæ ad Mantineam initium.

Mercenarii tyrannorum fortius pugnare solent.

XIII. 1. *τὸ παρ' ἑκατ. Abest artic. τὸ ab Herv. & mitis: Casaubonus post παρ' ἑκατ. adjecit, mihi præponendus visus est.* 2. *οὗτος revocavi ex Herv. & libri nostris. οὕτως cum Vrsino prætulit Casaub.* Ibid. *διὰ τὸ ἀμφοτ. Mendose Herv. διὰ μὲν ἀμφοτ. consentientibus codd.* 4. *καὶ τότε καὶ τὸ παράπαν. Sic corrigendum putavi. καὶ τότε παράπαν Herv. cum mitis. καὶ τότε καὶ παράπαν Casaub.*

13. Ita primus conflictus per solos *Tarentinos*, viriliter rem gerentes, est commissus. Sed quum paullatim expediti laborantibus se adjungerent, brevissimo evenit tempore, ut omnes utriusque partis *mercenarii* in unum miscerentur. Quibus & confertim & viritim passim decertantibus, perdiu anceps illud stetit certamen; ita quidem, ut ceteræ copiæ, exspectantes quamnam in partem se pulvis excitatus versurus esset, conjicere exitum rei non possent, propterea quod perdiu utraque pars stationem, quam initio ceperat, tuebatur. Ad extremum tamen denique prævaluerunt qui pro tyranno militabant stipendiarii, & numero & dexteritate arma tractandi propter adsuetudinem præstantes. Neque vero obscura est ratio, cur non tunc solum ita evenerit, sed ita semper fieri soleat. Quanto enim alacrius multitudo civi-

Digitized by Google

Ol. 143. 1. Mercenarii tyrannorum fortius pugnare solent.

χειν ἐν τοῖς πολεμικοῖς ἀγῶσι τῶν τοῖς τυραίνοις πολιτικῶν ὑποτατ]ομένων· τοσούτῳ τὰ παρὰ τοῖς μονάρχοις ξενικὰ τῶν ἐν ταῖς δημοκρατίαις μισθοφορούντων εἰκὸς ὑπεράγειν καὶ διαφέρειν. ὥσπερ γὰρ ἐπ' ἐκείνων οἷς μὲν ὑπὲρ ἐλευθερίας ἐστὶν, οἷς δ' ὑπὲρ δουλείας ὁ κίνδυνος· οὕτως ἐπὶ τῶν μισθοφόρων οἷς μὲν ὑπὲρ ὁμολογουμένης ἐπανορθώσεως, οἷς δ' ὑπὲρ προδήλου βλάβης γίγνεται φιλοτιμία. δημοκρατία μὲν γὰρ, ἐπανελομένη τοὺς ἐπιβουλεύ]σαντας, οὐκέτι μισθοφόροις τηρεῖ τὴν ἑαυτῆς ἐλευθερίαν· τυραννὶς δ', ὅσῳ μειζόνων ἐφίεται, τοσούτῳ πλειόνων προσδεῖται μισθοφόρων. πλείονας γὰρ ἀδι]κοῦσα, πλείονας ἔχει καὶ τοὺς ἐπιβουλεύοντας. ἡ δὲ τῶν μονάρχων ἀσφάλεια τὸ παράπαν ἐν τῇ τῶν ξένων εὐνοίᾳ κεῖται καὶ δυνάμει.

Διὸ

5. πολιτικῶν ex Casauboni & Reiskii conject. scripsi. πολεμικῶν ὑποτατ]. Hervag. cum vastis. Vocabulum e graeco contexta ejecit Casaub. 6. γίγνεται ab Vrsino recepit Casaub. γίγνεσθαι Herv. consentientibus libris, unde forsan cum Reiskio legendum γίγνεσθαι φιλεῖ ἡ φιλοτιμία.

civitatum liberarum bellica certamina capessere amat, quam plebs urbana *tyranno* subdita: tantum liberarum civitatum mercenarios a stipendiariis monarcharum virtute superari atque antecelli, consentaneum est. Nam ut *civium*, quos dixi, alteri pro libertate, alteri pro servitute adserenda, dimicant: ita *mercenariorum* altera pars pro commodis ex pacto sibi debitis contendit, altera pro damno manifesto. Quippe *respublica*, simulatque eos sustulit, qui suae libertati insidiabantur, non amplius per mercenarios suam libertatem tuetur: *tyrannis* vero, quo majora adpetit, eo pluribus indiget mercenariis. Vt enim pluribus injurias infert; ita plures, qui sibi insidientur, invenit. Est autem *tyrannorum securitas* in peregrini militis benevolentia & viribus posita.

14. Pro-

Digitized by Google

Διὸ δὴ καὶ τότε συνέβαινε, τὸ παρὰ τῷ Μαχανίδᾳ ξενικὸν οὕτως ἐκθύμως ἀγωνίζεσθαι καὶ βιαίως, ὥστε μηδὲ τοὺς ἐφεδρεύοντας τοῖς ξένοις Ἰλλυριοὺς καὶ θωρακίτας δύνασθαι τὴν ἔφοδον αὐτῶν ὑπομεῖναι, πάντας δ' ἐκπιεσθέντας φεύγειν προτροπάδην ὡς ἐπὶ τῆς Μαντινείας, ἀπεχούσης τῆς πόλεως ἑπτὰ σταδίους. Ἐν ᾧ δὴ καιρῷ τὸ παρ' ἐνίοις ἀποροῦμενον τότε παρὰ πᾶσιν ὁμολογούμενον ἐγένετο καὶ συμφανὲς, ὅτι πλεῖστα τῶν κατὰ πόλεμον συντελουμένων παρὰ τὴν τῶν ἡγουμένων ἐμπειρίαν, καὶ πάλιν ἀπειρίαν, ἐπιτελεῖται. Μέγα μὲν γὰρ ἴσως καὶ τὸ, προτερήματος ἀρχὴν λαβόντα, προθεῖναι τὰκόλουθον· πολὺ δὲ μεῖζον, τὸ, σφαλέντα ταῖς πρώταις ἐπιβολαῖς, μεῖναι παρ' αὐτὸν, καὶ συνιδεῖν τὴν τῶν εὐτυχούντων ἀκρισίαν, καὶ συνεπιθέσθαι τοῖς

A.V. 547. XIV. Fugantur mercenarii Achæorum.

Prudens constantia Philopœmenis.

XIV. 2. *κατὰ πόλ. κατὰ τὸν πόλεμον malim.* Ibid. *Verba παρὰ τὴν τῶν ἡγουμένων ex Gronovii & Reiskii conjecta adjeci. Possis & κατὰ pro παρὰ suspicari. Defectum notaverat Casaub.*

14. Propter hanc igitur causſam, quæ tunc aderat *Machanidæ* militis peregrini manus, ea obſtinatione animorum & violentia pugnavit, ut ne Illyrii quidem & loricati, qui ſtipendiarios Achæorum a tergo ſuſtentabant, impetum ipſorum ferre potuerint; ſed, velut eliſi urgentis hoſtis pondere, effuſa fuga Mantineam, ſeptem inde ſtadia diſtantem, petierint. Quo ſane tempore res apud multos controverſa confeſſione omnium clare eſt probata; *plurima eorum, quæ in bellis fiunt, per ducum ſive peritiam ſive imperitiam evenire.* Nam quum magnæ ſit dubio procul virtutis, ubi bene rem gerere cœperis, læto fine quod inſtitueris terminare; majus tamen & magis arduum eſt, poſtquam tua prima conſilia infeliciter ceſſerint, conſiſtere te poſſe mente, & eorum, quibus favet fortuna, animadvertere inopiam judicii, & ex eorum peccatis occaſionem bene gerendæ rei captare.

Ol. 143. 1. τοῖς τούτων ἁμαρτήμασιν. ἰδεῖν γοῦν ἐστι πολλάκις, 4 τοὺς μὲν ἤδη δοκοῦντας περιτετρηκέναι μετ' ὀλίγον τοῖς ὅλοις ἐσφαλμένους· τοὺς δ' ἐν ἀρχαῖς δόξαντας ἐπταικέναι, πάλιν ἐκ μεταβολῆς παρὰ τὴν αὐτῶν ἀγχίνοιαν τὰ ὅλα παραδόξως κατωρθωκότας. ὃ δὴ καὶ τότε προφανῶς ἐδόκει περὶ τοὺς ἡγεμόνας 5 ἀμφοτέρους γεγονέναι. Τοῦ γὰρ ξενικοῦ παντὸς 6 ἐγκεκλικότος τοῖς Ἀχαιοῖς, καὶ παραλελυμένου τοῦ λαιοῦ κέρως, ὁ μὲν Μαχανίδας, ἀφέμενος τοῦ μένειν ἐπὶ τῶν ὑπεκκειμένων, καὶ τοὺς μὲν κατὰ κέρας ὑπεραίρειν, τοῖς δὲ κατὰ πρόσωπον ἄγειν, καὶ πειρᾶσθαι τῶν ὅλων, τούτων μὲν οὐδὲν ἔπραξεν· ἀκρα- 7 τῶς δὲ καὶ μειρακιωδῶς συνεκχυθεὶς τοῖς ἑαυτοῦ μισθοφόροις, ἐπέκειτο τοῖς φεύγουσιν, ὥσπερ οὐκ αὐτὸν τὸν φόβον ἱκανὸν ὄντα, τοὺς ἅπαξ ἐγκλίναντας ἄχρι τῶν πυλῶν συνδιώκειν.

Machanidæ imperitia.

Ὁ δὲ

6. ὁ μὲν Μαχαν. ὁ μὲν οὖν Μαχανίδ. *Hervag. consentientibus libris.* Ibid. τοῖς δὲ κατὰ πρόσ. τοῖς *ex libris revocavi, in* τοὺς *mutatum a Casaub.*

captare. Sæpe enim est cernere, eos, qui superiores jamjam videbantur evasisse, mox universo prælio esse victos: alios contra, qui per initia offenderant, postmodum mutata rerum facie summæ rei victoriam sua sollertia præter opinionem omnium esse consecutos. Id ipsum tunc ambobus imperatoribus manifeste usu venisse videtur. Nam quum peregrinus miles *Achæorum* inclinasset in fugam, & eorum acies cornu lævo esset imminuta; *Machanidas*, qui manere in suscepto consilio debebat, & partim aciei hostilis cornu altero superato eam cingere, partim in oppositos a fronte pugnare, & summæ rei fortunam experiri, hoc omisso incepto, nihil eorum fecit: sed præ impotentia animi & ardore juvenili cum mercenariis suis una effusus, fugientium terga premere instituit; quasi vero non sufficeret ipse metus ad eos, qui semel in pedes sese conjecerant, vel usque ad ipsas oppidi portas, compellendos.

15. Im-

Digitized by Google

Ὁ δὲ τῶν Ἀχαιῶν στρατηγὸς ἕως μὲν τοῦ δυνα- A.V.547.
τοῦ διακατεῖχε τοὺς μισθοφόρους, ἐπ᾽ ὀνόματος κα- XV.
λῶν καὶ παροξύνων τοὺς ἡγεμόνας. ἐπεὶ δ᾽ ἑώρα τού- Philopœmen reparat damnum.
τους ἐκβιαζομένους, οὐ πτοηθεὶς ἔφευγεν, οὐδ᾽ ἀθυ-
μήσας ἀπέστη, ἀλλ᾽ ὑποστείλας αὐτὸν ὑπὸ τὸ τῆς
φάλαγγος κέρας, ἅμα τῷ παραπεσεῖν τοὺς διώκον-
τας, καὶ τὸν τόπον γενέσθαι ἔρημον, καθ᾽ ὃν ὁ κίν-
δυνος ἦν, παραγγείλας εὐθέως τοῖς πρώτοις τέλεσι
τῶν Φαλαγγιτῶν, ἐπ᾽ ἀσπίδα κλίνειν, προῆγε μετὰ
δρόμου, τηρῶν τὰς τάξεις. καταλαβόμενος δὲ τὸν
ἐλλειφθέντα τόπον ὀξέως, ἅμα μὲν ἀπετέτμητο τοὺς
διώκοντας, ἅμα δὲ ὑπερδέξιος ἐγεγόνει τοῦ τῶν πο-
λεμίων κέρατος. καὶ τοὺς μὲν Φαλαγγίτας αὐτοῦ Phalanx Achæorum post fossam locata.
παρεκάλει θαῤῥεῖν καὶ μένειν, ἕως ἂν παραγγείλῃ
ποιεῖσθαι τὴν ἐπαγωγὴν ἀναμίξ· Πολυβίῳ δὲ ἐπέ-

XV. 2. παραγγελλας εὐθέως. *Prius verbum abest ab ed. Herv. & mstis: nec desideraretur, si paulo inferius* κλίνων *pro* κλίνειν *legeremus cum Reiskio.* 4. Φαλαγγίτας αὐτοῦ. αὐτοὺς *Herv. cum mstis.*

13 μηδὲ κωλῦσαι μηδενὶ τρόπῳ τὴν ὁρμὴν αὐτῶν. Παρὰ δὲ τοῖς Ἕλλησι κατὰ τοὺς δρυμοὺς ἐπειδὰν ἀλλήλοις συμπέσῃ, διώκοντα τὸν καρπὸν, ὁ πλείονας ἔχων χεῖρας; καὶ κατευκαιρήσας, περιλαβὼν τοῖς 14 ἰδίοις θρέμμασιν, ἀπάγει τὰ τοῦ πλησίον. ποτὲ δὲ κλέπτης ὑποκαθίσας ἀπήλασεν, οὐδ' ἐπιγινώσκοντος τοῦ περιάγοντος, πῶς ἀπέβαλε, διὰ τὸ μακρὰν ἀποσπᾶσθαι τὰ κτήνη τῶν περιαγόντων, ἁμιλλώμενα περὶ τὸν καρπὸν, ὅταν ἀκμὴν ἄρχηται ῥεῖν. Πλὴν ταῦτα μὲν ἐπὶ τοσοῦτον. A.V.549.

II.

RES LOCRENSIVM.

(I.) *Dissensus Aristotelis & Timæi de Origine Locrorum.*

Ἐμοὶ δὲ συμβαίνει καὶ παραβεβλημένα πλεονάκις εἰς τὴν τῶν Λοκρῶν πόλιν, καὶ παρεσχῆθαι χρείας V. Polybius bene meritus de αὐτοῖς Locrensibus.

13. χεῖρας *ex libris revocavi.* χοίρους *Casaub. ex Vrsini ingenio.*

impetum currentium retardare nullo pacto valeas. Apud *Græcos* vero quoties diversi greges, dum per quercta fructus sectantur, inter se fuerint permixti; is qui plures præsto sibi habet manus, & ceteris est opulentior, aliena pecora intra suum gregem recipiens, simul abigit. Interdum etiam fures abigei, qui latenter subsiderant, sues abducunt; quum interea porculator ignoret, quomodo illi sint amissi, quia procul ab eo abscedere solent pecora, studio concitata inveniendi fructus, ubi jam de arboribus cœperint illi decidere. Sed hæc quidem hactenus.

II.

(I.) *Excerpt. Antiq. ex Lib.* XII. *Cap.* 3. 4.

5 Mihi quidem contigit, sæpius *Locrorum* urbem adire, atque etiam magnis beneficiis civitatem eorum demereri.

Digitized by Google

Ol.143.3. αὐτοῖς ἀναγκαίας. καὶ γὰρ τῆς εἰς Ἰβηρίαν στρα-2 τείας αὐτοὺς παραλυθῆναι συνέβη δι' ἐμὲ, καὶ τῆς εἰς Δαλματεῖς, ἣν ὤφειλον κατὰ θάλατταν ἐκπέμ-πειν Ῥωμαίοις κατὰ τὰς συνθήκας. ἐξ ὧν καὶ κα-3 κοπαθείας καὶ κινδύνου καὶ δαπάνης ἱκανῆς τινος ἀπολυθέντες, πᾶσιν ἡμᾶς ἠμείψαντο τοῖς τιμίοις καὶ φιλανθρώποις. διόπερ ὀφείλω καὶ μᾶλλον εὐλο-γεῖν Λοκρεῖς, ἢ τοὐναντίον. Ἀλλ' ὅμως οὐκ ὤκνησα4 καὶ λέγειν καὶ γράφειν, ὅτι τὴν ὑπ' Ἀριστοτέλους παραδιδομένην ἱστορίαν περὶ τῆς ἀποικίας ἀληθινω-τέραν εἶναι συμβαίνει τῆς ὑπὸ Τιμαίου λεγομένης.

Locrensium origo. Σύνοιδα γὰρ τοῖς ἀνθρώποις ὁμολογοῦσιν, ὅτι πά-5 ραδόσιμος αὐτοῖς ἐστιν αὕτη περὶ τῆς ἀποικίας ἡ φήμη παρὰ πατέρων, ἣν Ἀριστοτέλης εἴρηκεν, οὐ Τίμαιος. καὶ τούτων γε τοιαύτας ἔφερον ἀποδείξεις. Πρῶτον μὲν, ὅτι πάντα τὰ διὰ προγόνων ἔνδοξα6 παρ'

V. 3. καὶ μᾶλλον. καὶ, *quod abest vulgo, adjeci ex Regiis & Vesmt.* 5. καὶ τούτων γε. *Fors.* καὶ τούτων καὶ.

mereri. Nam quum ad bellum Hiſpanienſe auxilia Romanis deberent, & ad bellum Dalmaticum tenerentur iidem ex fœdere copias maritimas mittere; ut iſtorum munium ipſis gratia fieret, impetravimus nos. Itaque cives, vexatione, periculo & ſumtu non mediocri per nos liberati, nullum non viciſſim honoris & humanitatis genus nobis rependerunt: ut cauſſa mihi ſit, cur Locrenſes laudare potius debeam, quam contrarium facere. Nihil tamen propterea ſum cunctatus & dicere & ſcribere, narrationem ab *Ariſtotele* proditam memoriæ ſuper deductione ejus coloniæ veriorem eſſe ea, quam adfert *Timæus*. Compertum namque mihi eſt, ipſos *Locrenſes* fateri, *eam ſe a patribus traditam accepiſſe famam de ſua colonia*, quam habet Ariſtoteles, non quam Timæus. Cujus ſententiæ hæc etiam argumenta adferebant. Primum quidem, *quod ſplendor omnis, qui*

Digitized by Google

παρ' αὐτοῖς ἀπὸ τῶν γυναικῶν, οὐκ ἀπὸ τῶν ἀν- A.V.549.
δρῶν, εἴη· οἷον εὐθέως, εὐγενεῖς παρά σφισι νομίζε-
7σθαι τοὺς ἀπὸ τῶν ἑκατὸν οἰκιῶν λεγομένους· ταύ- Centum familiæ.
τας δ' εἶναι τὰς ἑκατὸν οἰκίας, τὰς προκριθείσας
ὑπὸ τῶν Λοκρῶν πρὶν ἢ τὴν ἀποικίαν ἐξελθεῖν, ἐξ
ὧν ἔμελλον οἱ Λοκροὶ κατὰ τὸν χρησμὸν κληροῦν τὰς
8ἀποστελησομένας παρθένους εἰς Ἴλιον. τούτων δή
τινας τῶν γυναικῶν συνεξᾶραι μετὰ τῆς ἀποικίας,
ὧν τοὺς ἀπογόνους ἔτι νῦν εὐγενεῖς νομίζεσθαι, καὶ
9καλεῖσθαι τοὺς ἀπὸ τῶν ἑκατὸν οἰκιῶν. Πάλιν ὑπὲρ Phialephoros.
τῆς Φιαληφόρου παρ' αὐτοῖς λεγομένης τοιαύτη τις
10ἱστορία παραδέδοται· διότι, καθ' ὃν καιρὸν τοὺς Σι-
κελοὺς ἐκβάλοιεν, τοὺς κατασχόντας τὸν τόπον
τοῦτον τῆς Ἰταλίας, ὧν καὶ ταῖς θυσίαις προηγεῖ-

6. ἔη ex Casauboni conjectura est. εἰς τὸ Herv. cum mstis, & εἰς τὸ ον οἷον (sic) Vrb. Hinc ἐστὶν suspicatus est Vrsinus, νενόμιστο Reiskius. Ibid. εὐγενεῖς. τὸ εὐγενεῖς Casaub. ex conject. 9. ὑπὲρ ex conject. Scripsi. ὑπὸ habet Herv. cum mstis, quod in ἐπὶ mutavit Casaub. Ibid. παραδέδοτο. παραδέδοτο Vrb. 10. ὧν καὶ ταῖς θυσίαις correxi cum Vrsino. ὃν καὶ ταῖς θυσίαις Herv. consentientibus mstis. ὧν κατὰ τὰς θυσίας edidit Casaub. ex conject. Forsan cum Reiskio legendum ὧν ἐν κοιναῖς θυσίαις.

qui a majoribus repetitur, apud ipsos a feminis, non a viris, derivetur. Exempli gratia statim, *nobiles apud ipsos censeri, qui sint orti ex iis, quas vocant centum familias. Has autem esse illas centum familias, quæ præ ceteris fuissent illustres apud Locrenses priusquam deduceretur colonia; e quibus Locri illas virgines sorte legere ex oraculi responso tenebantur, quæ erant quotannis Ilium mittendæ. Harum nempe mulierum nonnullas cum reliquis in coloniam esse profectas; quarum posteri etiam nunc nobiles censeantur, & vulgo* E CENTVM FAMILIIS ORIVNDI *nuncupentur.* Rursus de ea, quæ apud illos nuncupatur PHIALEPHOROS, [quod phialam gestans thensam ducat,] ejusmodi historia memoriæ est prodita: *quo tempore ipsi Siculos finibus suis ejecerint, qui illam Italiæ partem tenuerant;*

quum

Digitized by Google

Ol.143.3. τὸ τῶν ἐνδοξοτάτων καὶ τῶν εὐγενεστάτων ὑπάρχων παῖς, αὐτοὶ, καὶ πλείω τῶν Σικελικῶν ἐθῶν παραλαβόντες, διὰ τὸ μηδὲν αὐτοῖς πάτριον ὑπάρχειν, καὶ τοῦτο διαφυλάττοιεν ἀπ' ἐκείνων· αὐτὸ[11] δὲ τοῦτο διορθώσαιντο, τὸ μὴ παῖδα ποιεῖν ἐξ αὐτῶν τὸν φιαληφόρον, ἀλλὰ παρθένον, διὰ τὴν ἀπὸ τῶν γυναικῶν εὐγένειαν.

VI. Fœdus subdolum cum Siculis.

Συνθῆκαι δὲ πρὸς μὲν τοὺς κατὰ τὴν Ἑλλάδα Λοκροὺς οὔτ' ἦσαν, οὔτ' ἐλέγοντο παρ' αὐτοῖς γεγονέναι· πρὸς μέντοι Σικελοὺς πάντες εἶχον ἐν παραδόσει. Περὶ ὧν ἔλεγον, διότι, καθ' ὃν καιρὸν ἐκ τῆς[12] πρώτης παρουσίας καταλάβοιεν Σικελοὺς κατέχοντας ταύτην τὴν χώραν, ἐν ᾗ νῦν κατοικοῦσι, καταπλαγέντων αὐτοὺς ἐκείνων, καὶ προσδεξαμένων διὰ τὸν φόβον, ὁμολογίας ποιήσαιντο τοιαύτας· ἢ μὴν[13] εὐνοή-

10. ὑπάρχων παῖς correxi cum Reiskio. ὑπάρχοντες Herv. cum mstis, quod in ὑπάρχων τις mutavit Casaub. Ibid. τῶν Σικελικῶν ex Reiskii conjecl. scripsi, quam in vers. Lat. expressit Casaubonus. Vulgo omnes τῶν συγγενικῶν.

quum illis in more fuisset positum, ut in eorum sacris præiret puer, clarissimis & nobilissimis parentibus natus; ipsos, qui patria instituta nulla haberent, plures gentis Siculæ ritus moresque adsumsisse, & in his istum quoque ab illorum temporibus Locrenses servasse. Ceterum ritui isti hanc ipsam correctionem sese adhibuisse ajebant, *quod non puerum phialiferum caperent, sed virginem, ob sexus femminei inter ipsos nobilitatem.*

6. Iam vero *fœdera cum Locris Græciam incolentibus* neque fuerunt his Locrensibus, neque umquam fuisse ipsis perhibentur: contra *cum Siculis fœdus sibi intercedere*, ceu traditione majorum acceptum, omnes adfirmabant. Qua de re hæc narrabant. *Primo adventu suo Siculos se invenisse, eam, quam ipsi nunc colunt, regionem obtinentes: qui, re inopinata perculsi, quum præmetu ipsos recepissent, cum iis se fœdus in hæc verba fecisse:*

Digitized by Google

εὐνοήσειν αὐτοῖς, καὶ κοινῇ τὴν χώραν ἔξειν, ἕως ἂν ἐπιβαίνωσι τῇ γῇ ταύτῃ, καὶ τὰς κεφαλὰς ἐπὶ τοῖς ὤμοις φορῶσι. Τοιούτων δὲ τῶν ὅρκων γενομένων, φασὶ τοὺς Λοκροὺς εἰς μὲν τὰ πέλματα τῶν ὑποδημάτων ἐμβαλόντας γῆν, ἐπὶ δὲ τοὺς ὤμους σκορόδων κεφαλὰς ἀφανεῖς ὑποθεμένους, οὕτω ποιήσασθαι τοὺς ὅρκους. κἄπειτα τὴν μὲν γῆν ἐκβαλόντας ἐκ τῶν ὑποδημάτων, τὰς δὲ κεφαλὰς τῶν σκορόδων ἀποῤῥίψαντας, μετ' οὐ πολὺ, καιροῦ παραπεσόντος, ἐκβαλεῖν τοὺς Σικελοὺς ἐκ τῆς χώρας. Ταῦτα μὲν οὖν λέγ[illegible] παρὰ Λοκροῖς.

A.V.549. Fœdus subdolum cum Siculis.

* * *

7 Τίμαιος δ' ὁ Ταυρομενίτης ἐν τῇ ἑνάτῃ τῶν Ἱστοριῶν, (ἐλέγχει δ' αὐτὸν εἰς τοῦτο Πολύβιος ὁ Μεγαλοπολίτης διὰ τῆς δωδεκάτης τῶν Ἱστοριῶν·) οὐκ ἦν, φησὶ, πάτριον τοῖς Ἕλλησιν ὑπὸ ἀργυρωνήτων

Servis olim non usos Græcos.

VI. 4. ἐμβαλόντας *Casaubono debetur.* ἐμβάλοντας *Herv. cum mitis.* Ibid. τοὺς ὤμους *correxit idem Casaub.* Mendose τοῦ σώματος *Herwag. consentientibus libris.*

cisse: „amicitiam Siculis Locrenses servaturos, & regionem hanc pro communi ambobus populis habituros, quamdiu terræ huic pedibus suis insisterent, & imposita humeris capita gestarent.“ *Hæc quum ita convenissent, Locros ad præstandum jusjurandum* ajunt *accessisse, postquam in calceamentorum sola terram injecissent, humeris autem capita alliorum ita imposuissent, ut non adparerent: deinde e calceis terram excussisse, capita alliorum abjecisse, ac mox, ubi primum data est occasio, Siculos regione expulisse.* Ita quidem apud Locrenses ista narrantur.

* * *

* *Timæus* Tauromenites libro nono Historiarum, (quo nomine eum reprehendit Polybius Megalopolita, Historiarum duodecimo:) *Græcis olim non fuisse*, ait, *patrium institutum, ut emtitii servi*

Digitized by Google

Ol.143.3. των τὸ παλαιὸν διακωνεῖσθαι, γράφων οὕτως· Καὶ θόλου δὲ ἠτιῶντο τὸν Ἀριστοτέλην, διημαρτηκέναι τῶν Λοκρικῶν ἐθῶν· οὐδὲ γὰρ κεκτῆσθαι, νόμον εἶναι τοῖς Λοκροῖς.

(II.) *Veritatis præcipua debet esse cura Historico.*

VII. Veritas lumen historiæ.

Καθάπερ γὰρ ἐπὶ τῶν κανόνων, κἂν ἐλάττων ᾖ τῷ μήκει, κἂν τῷ πλάτει ταπεινότερος, μετέχει δὲ τῆς τοῦ κανόνος ἰδιότητος, κανόνα φησὶν εἶναι, καὶ δεῖν προσαγορεύειν οὕτως· ὅταν δὲ τῆς εὐθείας καὶ τῆς πρὸς ταύτην οἰκειότητος οὐκ ἐγγίζῃ, πάντα μᾶλλον δεῖν ἢ κανόνα καλεῖν· τὸν αὐτὸν τρόπον καὶ τῶν συγγραμμάτων, ὅσα μὲν ἂν ἢ κατὰ τὴν λέξιν, ἢ κατὰ τὸν χειρισμὸν, ἢ κατ' ἄλλο τι διαμαρτάνηται

VII. 1. μετέχει *correxi cum Reisk. Vulgo* μετέχει. Ibid. *Verba* εἶναι καὶ *absunt a libris, & Casauboni debentur ingenio.* Ibid. πρὸς ταύτην *pariter a Casaub. est: mendose libri* πρὸ ταύτης.

servi ipsis famularentur; atque ita scribit: *Omnino Aristotelem reprehendebant, ac prorsus errasse eum contendebant in Locrorum institutis. Neque enim habere servos, Locrorum legibus licere.* (*Athenæus Deipnos. lib.* VI. *cap.* 18 & 20. *p.* 264 & 272.)

(II.) *Excerpt. Antiq. ex Lib.* XII. *Cap.* 5.

7. Ait TIMAEVS: *quemadmodum in regulis, si qua brevior quidem justo fuerit, aut minus lata, at officio tamen regulæ proprio fungatur, nihilo secius regula est, & adpellari eo nomine debet; contra, si a linea recta discedat, & regulæ proprietatem non servet, quidvis potius quam regula est nominanda: ita plane etiam in Historiis rem habere. Nam si qua fuerit scriptio aut genere dictionis, aut tractationis modo, aut ulla alia re, vitiosa,*

Digitized by Google

ταῖ τῶν ἰδίων μερῶν, ἀντέχηται δὲ τῆς ἀληθείας, προσίεσθαί φησι τὸ τῆς ἱστορίας ὄνομα τοῖς βίβλους· ὅταν δὲ ταύτης παραπέσῃ, μηκέτι καλεῖσθαι δεῖν ἱστορίαν. Ἐγὼ δὲ, διότι μὲν ἠγεῖσθαι δεῖ τῶν τοιούτων συγγραμμάτων τὴν ἀλήθειαν, ὁμολογῶ, καὶ κατὰ τὴν πραγματείαν αὐτός που κέχρημαι λέγων οὕτως, ὅτι, καθάπερ ἐμψύχου σώματος τῶν ὄψεων ἐξαιρεθεισῶν ἀχρειοῦται τὸ ὅλον, οὕτως, ἐξ ἱστορίας ἐὰν ἄρῃς τὴν ἀλήθειαν, τὸ καταλειπόμενον αὐτῆς ἀνωφελὲς γίγνεται διήγημα. Δύο μέν τοι τρόπους φαμὲν εἶναι ψεύδους, ἕνα μὲν τὸν κατ' ἄγνοιαν, ἕτερον δὲ τὸν κατὰ προαίρεσιν. καὶ τούτων δεῖν τοῖς μὲν κατ' ἄγνοιαν παραπαίουσι τῆς ἀληθείας διδόναι συγγνώμην· τοῖς δὲ κατὰ προαίρεσιν, ἀκαταλλάκτως ἔχειν. A.V. 549. Veritas lumen historiæ. Duo genera mendacii.

(III.) *Vin-*

2. παραπέσῃ. Possis παραπαίσῃ suspicari. 4. μέν τοι ex conjecti. scripsi. μὲν dant scripti libri & Herv. μὴν Casaub. Ibid. φαμὲν. ἔφαμεν Herv. Aug. Vesont. Regii.

vitiosa, qua tamen veritatem ubique tueatur exacte; nihil vetat, inquit, *quo minus Historiæ nomine adpelletur: quod si autem a vero aberraverit, non jam posse eam dici Historiam.* Ego vero fateor quidem, *præcipuam veritatis curam* esse ducendam in hujusmodi scriptis; qui etiam in hoc ipso meo opere his ipsis alicubi verbis sum usus, ut dicerem: *Quemadmodum animal, luminibus ademtis, prorsus inutile redditur: ita, si veritatem ex Historia tollas, quod supereſt illius, narratio eſt nullius usus.* Verumtamen nos duplex esse mendacii genus dicimus: unum, quod ab ignoratione veri proficiscitur; alterum, quod a certo animi proposito mentiendi. Qui igitur per ignorationem a veritate aberrant, his veniam esse dandam; qui voluntate & certo proposito, ab iis capitali odio esse diffidendum.

(III.) *Ex-*

Digitized by Google

Ol. 143. 3. (III.) *Vindicatur Aristoteles a conviciis Timæi, qui ipse falsa tradit de rebus Locrensium.*

VIII. Partium studiosus Timæus.

Πολλὰ ἱστορεῖ ψευδῆ ὁ Τίμαιος. καὶ δοκεῖ τὸ παράπαν οὐκ ἄπειρος ὢν οὐδενὸς τῶν τοιούτων· ὑπὸ δὲ τῆς φιλονεικίας ἐπισκοτούμενος, ὅταν ἅπαξ ἢ ψέγειν, ἢ τοὐναντίον ἐγκωμιάζειν τινὰ προθῆται, πάντων ἐπιλανθάνεται, καὶ πολύ τι τοῦ καθήκοντος παρεκβαίνει. Πλὴν ταῦτα μὲν ἡμῖν ὑπὲρ Ἀριστοτέλους εἰρήσθω, πῶς καὶ τίσι προσέχων τοιαύτην ἐποιήσατο τὴν περὶ τῶν Λοκρῶν ἐξήγησιν. Τὰ δὲ λέγεσθαι μέλλοντα περὶ Τιμαίου καὶ τῆς ὅλης συντάξεως αὐτοῦ, καὶ καθόλου περὶ τοῦ καθήκοντος τοῖς πραγματευομένοις ἱστορίαν, τοιάνδε τινὰ λήψεται τὴν ἀπάντησιν. Ὅτι μὲν οὖν ἀμφότεροι κατὰ τὸν εἰκότα λόγον πεποίηνται τὴν ἐπιχείρησιν, καὶ διότι πλείους εἰσὶ πιθανότητες ἐν τῇ κατ' Ἀριστοτέλην ἱστορίᾳ, δοκῶ, πᾶς ἄν τις ἐκ τῶν εἰρημένων

(III.) *Excerpt. Valesian.*

8. Multa hujusmodi *Timæus* falsa retulit. Ac mihi quidem videtur minime harum rerum ignorantia lapsus, sed potius studio partium occæcatus, quoties laudare aliquem aut vituperare statuit, repente sui ipsius oblivisci, atque omnes officii leges excedere. Atque hæc quidem pro *Aristotele* a nobis dicta sint, cur & quibus argumentis impulsus hæc *de Locris* commemoravit. Ceterum occasionem hinc opportune nactus videor, *de tota Timæi Historia* atque in universum *de Historici officio* deinceps exponendi. Igitur, utrumque ex conjectura dumtaxat locutum esse, atque *Aristotelis* narrationem veri esse similiorem, cuncti, ut arbitror, ex iis, quæ differui, satis intelligunt:

Digitized by Google

νων ὁμολογήσειεν· ἀληθὲς μέν τοί γε καὶ καθάπαξ A.V.549.
διαστεῖλαι περί τινος οὐδέν ἐστιν ἐν τούτοις. Οὐ Nimius in vitu-
μήν, ἀλλ' ἔστω, τὸν Τίμαιον εἰκότα λέγειν μᾶλλον. perando.
διὰ ταύτην οὖν τὴν αἰτίαν δήσει πᾶν ῥῆμα καὶ πᾶσαν φωνὴν ἀκούειν, καὶ μόνον οὐ θανάτου κρίσιν ὑπέχειν, τοὺς ἐν ταῖς ἱστορίαις ἧττον εἰκότα λέγοντας; οὐ δήπου. Τοῖς μὲν γὰρ κατ' ἄγνοιαν ψευδογραφοῦσιν ἔφαμεν δεῖν διόρθωσιν εὐμενικὴν καὶ συγγνώμην ἑξακολουθεῖν, τοῖς δὲ κατὰ προαίρεσιν, ἀπαραίτητον κατηγορίαν.

Ἡ δεικτέον οὖν, τὸν Ἀριστοτέλην κατὰ τὸν ἄρτι λόγον τὰ περὶ Λοκρῶν εἰρηκότα χάριτος ἢ κέρδους ἢ διαφορᾶς ἕνεκεν· ἢ, μηδὲ τολμῶντας τοῦτο λέγειν, ὁμολογητέον, ἀγνοεῖν καὶ παραπαίειν τοὺς τοιαύτῃ χρωμένους ἀπεχθείᾳ καὶ πικρίᾳ κατὰ τῶν πέλας, οἵᾳ κέχρηται Τίμαιος κατὰ Ἀριστοτέλους. IX. Aristotelem insectatur Timæus.
Φησὶ γὰρ, αὐτὸν εἶναι θρασύν, εὐχερῆ, προπετῆ· πρὸς

VIII. 4. διαστεῖλαι ex Ernestii conject. scripsi. Vulgo διαστῆναι, ante quod verbum excidisse nonnihil putarunt Valesius & Reisk.

gunt: ut vero his in rebus veritatem distincte adsequaris atque adseveres, ne fieri quidem potest. Sed fingamus, si placet, *Timæum* probabiliora dixisse. Ideone eos, qui minus probabilia adferunt, adeo acerbe accipi oportebit, ac tantum non capitis judicium subire? Minime vero. Etenim iis, qui ignorantia lapsi falsa in Historiis retulere, veniam ac correctionem benevole commodandam esse ostendimus: qui autem id facinus consilio admisere, eos citra veniæ spem objurgandos.

9. Aut igitur ea, quæ *Aristoteles de Locris* prodidit, gratiæ vel utilitati vel inimicitiæ dedisse monstrandus est; aut, si nemo est, qui id adserere ausit, fateri oportet, graviter aberrare eos, qui ejusmodi odio & acerbitate feruntur, cujusmodi *Timæus in Aristotelem* est ausus. Ait enim, *audacem illum ac levem & temerarium*

Digitized by Google

Ol. 143. 3. Aristotelem insectatur Timæus.

πρὸς δὲ τούτοις, κατατετολμηκέναι τῆς τῶν Λοκρῶν πόλεως, εἰπόντα, τὴν ἀποικίαν αὐτῶν εἶναι θραπετῶν οἰκετῶν, μοιχῶν, ἀνδραποδιστῶν. καὶ ταῦτα λέγειν αὐτὸν, φησὶν, αὖτος ἀξιοπίστως, ὥστε δοκεῖν ἕνα τῶν ἐστρατηγηκότων ὑπάρχειν, καὶ τοὺς Πέρσας ἐν ταῖς Κιλικίαις πύλαις ἄρτι παρατάξει νενικηκότα διὰ τῆς αὐτοῦ δυνάμεως· ἀλλ' οὐ σοφιστὴν ὀψιμαθῆ καὶ μισητὸν ὑπάρχοντα, καὶ τὸ πολυτίμητον ἰατρεῖον ἀρτίως ἀποκεκλεικότα, πρὸς δὲ τούτοις εἰς πᾶσαν αὐλὴν καὶ σκηνὴν ἐμπεπηδηκότα, πρὸς δὲ, γαστρίμαργον, ὀψαρτυτὴν, ἐπὶ στόμα φερόμενον ἐν πᾶσι. Δοκεῖ δή μοι τὰ τοιαῦτα μόλις ἄνθρωπος ἀγύρτης καὶ προπετὴς ἐπὶ δικαστηρίου ῥισυλογῶν ἀνεκτὸς φανῆναι· μέτριος μὲν γὰρ οὐ δοκεῖ. συγγραφεὺς δὲ κοινῶν πράξεων καὶ πρωτάτης ἱστορίας ἀληθινὸς, οὐδ' ἂν αὐτὸς ἐν αὐτῷ διανοηθῆναι, μή τι δὴ καὶ γράφειν τολμῆσαι τοιοῦτον.

Σκεψώ-

IX. 6. αὐτὸς ἐν αὐτῷ. *Particulam* ἐν, *quæ abest vulgo, adjeci cum Reisk.* Ibid. μή τι δὴ *Sic cod. Peiresc. quod in* μή τοι δὴ *mutavit Valesius. Si quid mutandum,* μή τι δή γε *malim.*

rarium fuisse, ac de civitate Locrorum gnaviter mentitum, cum coloniam eorum ex fugitivis mancipiis, mœchis ac plagiariis collectam esse dixit: atque hæc illum, ait, *ea auctoritate adfirmare, quasi unus e ducibus fuisset, & ad Cilicias portas novissime Persas sua virtute fudisset; ac non potius odiosus sterroque eruditus esset Sophista, atque is, qui celebrem pharmacopolæ officinam paullo ante clausisset.* Præterea *parasitum* eumdem adpellat, *qui in aulas atque ædes omnes ultro insilire solitus sit, & helluonem, & cupedinarium, ac ad gulam omnia referentem.* Quod si quis ex illa circumforanea ac petulanti multitudine hujusmodi verba in judicio effutiret, ne ferendus quidem mihi videtur, quippe modestiæ fines transgressus; scriptorem autem rerum publice gestarum, ac germanum auctorem Historiæ, numquam hujusmodi quidquam cogitaturum, nedum scriptis mandaturum esse arbitror.

10. Sed

Digitized by Google

Σκεψώμεθα δή, καὶ τὴν αὐτοῦ τοῦ Τιμαίου προαιρεσιν καὶ τὰς ἀποφάσεις συγκρίνωμεν ἐκ παραθέσεως, ὡς πεποίηται περὶ τῆς αὐτῆς ἀποικίας· ἵνα γνῶμεν, πότερος ἄξιος ἔσται τῆς τοιαύτης κατηγορίας. Φησὶ τοιγαροῦν κατὰ τὴν αὐτὴν βίβλον, οὐκέτι κατὰ τὸν αὐτὸν εἰκότα λόγον χρώμενος τοῖς ἐλέγχοις, ἀλλ' ἀληθινῶς αὐτὸς ἐπιβαλὼν εἰς τοὺς κατὰ τὴν Ἑλλάδα Λοκρούς, ἐξετάζειν τὰ περὶ τῆς ἀποικίας. τοὺς δὲ, πρῶτον μὲν, ἐπιδεικνύειν αὐτῷ συνθήκας ἐγγεγραπτους, ἔτι καὶ νῦν διαμενούσας πρὸς τοὺς ἐξαπεσταλμένους, αἷς ὑπογεγράφθαι τὴν ἀρχὴν τοιαύτην· ὡς γονεῦσι πρὸς τέκνα. πρὸς δὲ τούτοις ἔναι δόγματα, καθ' ἃ πολιτείαν ὑπάρχειν ἑκατέροις παρ' ἑκατέροις. καθόλου δὲ, ἀκούοντας τὴν Ἀριστοτέλους ἐξήγησιν περὶ τῆς ἀποικίας, θαυμάζειν τὴν ἰταμότητα τοῦ συγγραφέως. Μεταβὰς δὲ πάλιν ἐπὶ τοὺς ἐν Ἰταλίᾳ Λοκρούς, εὑρίσκειν ἀκολούθους

A. V. 549. X. Timæi rationes de Locri

X. 2. ἐξετάζειν. ἐξετάσαι voluit Reisk. 3. ὑπογεγράφθαι. ἐπιγεγράφθαι maluerunt viri docti.

10. Sed inſpiciamus propius *Timæi* inſtitutum, & utriusque viri rationes, quibus de hac colonia uterque eſt uſus, invicem componamus; ut manifeſtius fiat, uter magis reprehenſionem ejusmodi mereatur. Adfirmat igitur *Timæus* eodem in libro: *ſe jam haudquaquam amplius nuda conjectura adductum, ſed certiſſimis argumentis exploratam rei veritatem tenere. Ad Locros enim, qui in Græcia ſunt, profectum ſe eſſe* narrat, *atque hos primum quidem ſibi fœdus oſtendiſſe in tabulis inciſum, quæ etiamnum viſuntur, quibus hujusmodi præfixum ſit exordium:* VT PARENTES ERGA LIBEROS DECET. *Præterea etiam decreta publica exſtare, quibus civitatis jus commune inter ſe habeant. Denique, audita Ariſtotelis narratione de hac colonia, temeritatem hominis miratos eſſe. Deinde ad Locros, qui in Italia incolunt, delatum, leges apud illos & conjuetu-*

Ol.143.3. Timæi rationes.

λούθους καὶ τοὺς νόμους, φησὶ, τοὺς παρ' αὐτοῖς, καὶ τοὺς ἐθισμοὺς, οὐ τῇ τῶν οἰκετῶν ῥᾳδιουργίᾳ, τῇ δὲ τῶν ἐλευθέρων ἀποικίᾳ. πάντως γὰρ καὶ τοῖς ἀνδραποδισταῖς ἐπιτίμια τεταχθαι παρ' αὐτοῖς, ὁμοίως τοῖς μοιχοῖς, τοῖς δραπέταις· ὧν οὐδὲν ἂν ὑπάρχειν, εἰ συνήδεσαν αὐτοῖς ἐκ τοιούτων πεφυκόσι.

XI. Expenduntur Timæi rationes.

Πρῶτον δὴ διαπορήσαι τις ἂν, πρὸς τίνας τῶν Λοκρῶν παραγενόμενος ἐπυνθάνετο περὶ τούτων. εἰ μὲν γὰρ συνέβαινε, καθάπερ τοὺς ἐν Ἰταλίᾳ Λοκροὺς, μίαν πόλιν ἔχειν οὕτω καὶ τοὺς κατὰ τὴν Ἑλλάδα· τυχὸν οὐκ ἔδει διαπορεῖν, ἀλλ' ἦν ἂν εὐθεώρητον. Ἐπεὶ δὲ δύω ἔθνη Λοκρῶν ἐστι, πρὸς ποτέρους ἦλθε καὶ πρὸς ποίας πόλεις τῶν ἑτέρων, καὶ παρὰ τίσιν εὗρε τὰς συνθήκας ἀναγεγραμμένας; οὐδὲν γὰρ ἡμῖν διασαφεῖται τούτων. καί τοι διότι

6. συνήδεσαν correxi cum Reisk. Vulgo συνείδησαν.
XI. 1. Πρῶτον δή. Aut πρῶτον δὲ, aut πρῶτον μὲν δὴ scribendum putem.

dines hujusmodi reperisse se teſtatur, *quæ non mancipiorum levitati, ſed ingenuorum hominum coloniæ convenirent. Pœnas quin etiam adverſus plagiarios, itidemque in adulteros ac fugitivos apud eosdem eſſe conſtitutas: quæ certe numquam illi fecissent, ſi conſcii ſibi eſſent, ſe ex ejusmodi hominibus originem ducere.*

11. Iam vero primo quidem merito aliquis dubitaverit, *quosnam e Locris*, in Græciam delatus, de his rebus interrogarit. Nam, ſi, quemadmodum Locri qui in Italia ſunt, ita etiam in Græcia Locri unam modo civitatem haberent; nullus dubitationi locus ſupereſſe videretur, ſed in promtu res eſſet. At vero, cum duæ ſint in Græcia gentes Locrorum, utram gentem, quasve urbes alterius e ſupra dictis gentibus adiit Timæus? & apud quosnam fœdus illud conſcriptum reperit? nihil enim de his nobis declaravit. Et tamen proprium id eſſe

Digitized by Google

διότι τοῦτ' ἴδιόν ἐστι Τιμαίου, καὶ ταύτῃ παρημίλ- A.V.549. Expen-
λητας τοὺς ἄλλους συγγραφέας καὶ καθόλου τῇδέ duntur
πῃ * τῆς ἀποδοχῆς, (λέγω δὲ κατὰ τὴν ἐν τοῖς Timæi rationes.
χρόνοις καὶ ταῖς ἀναγραφαῖς ἐπίφασιν τῆς ἀκριβείας, καὶ τὴν περὶ τοῦτο τὸ μέρος ἐπιμέλειαν) δοκῶ πάντες γινώσκομεν. Διὸ καὶ θαυμάζειν ἐστὶν ἄξιον, πῶς οὔτε τὸ τῆς πόλεως ὄνομα, παρ' οἷς εὗρεν, οὔτε τόπον, ἐν ᾧ συμβαίνει τὴν συνθήκην ἀναγεγράφθαι, διεσάφησεν ἡμῖν, οὔτε τοὺς ἄρχοντας τοὺς δείξαντας αὐτῷ τὴν ἀναγραφήν, καὶ πρὸς οὓς ἐποιεῖτο τὸν λόγον· ἵνα μηδενὶ διαπορεῖν ἐξῇ, ἀλλ' ὡρισμένου τοῦ τόπου καὶ τῆς πόλεως ἐνῇ τοῖς βάμφισβητοῦσιν εὑρεῖν τὴν ἀκρίβειαν. Ὁ δὲ πάντα ταῦτα παραλελοιπὼς, δῆλός ἐστι συνειδὼς αὑτῷ κατὰ πρόθεσιν ἐψευσμένῳ. διότι γὰρ, τῶν τοιούτων ἐπιλαβόμενος, οὐδὲν ἂν παρέλειπε Τίμαιος, ἀλλ' ἀπριὶξ τὸ δὴ λεγόμενον ἀμφοῖν ταῖν χεροῖν ἐπέφυ,

Cc 2 προφα-

4. τῇδέ πῃ *. Defectus notam *Valesius adjecit: & excidernnt fortasse verba máλιστα ἔτυχε.* 6. ἀλλ' ἀπριὶξ *edidi ex Casaub. & Valesii conjectura.* ἀλλὰ πρὶν *erat in cod.*

esse *Timæi*, atque uno illum cum ceteris scriptoribus contendere & historiam suam maxime jactare, *studium* dico *ac diligentiam in temporum & in monumentorum publicorum notatione*, omnes, ut opinor, intelligimus. Quamobrem mirari subit, cur neque urbis nomen, in qua id reperit, neque locum, in quo id fœdus conscriptum est, nec magistratus, qui ipsum monumentum ei monstrarunt, & cum quibus collocutus est, nobis commemoraverit; ne cui dubitandi locus relinqueretur, sed, urbe ac loco designatis, rei veritas ab his, qui dubitarent, inveniri posset. Igitur, qui hæc omnia prætermisit, conscius sibi esse destinati mendacii deprehenditur. Nam *Timæum*, si quid hujusmodi nactus esset, numquam id omissurum fuisse, sed ambabus, quod ajunt, ulnis amplexurum, ex his perspicuum est.

Digitized by Google

Ol. 143. 3. Expenduntur Timæi rationes.

προφανὲς ἐκ τούτων. Ὁ γὰρ πρὸς τὴν Ἐχεκρά-7 τους πίστιν ἀπερεισάμενος ἐπ' ὀνόματος, πρὸς ὃν φησι περὶ τῶν ἐν Ἰταλίᾳ Λοκρῶν ποιήσασθαι τοὺς λόγους, καὶ παρ' οὗ πυθέσθαι περὶ τούτων· καὶ προσεξειργασμένος, ἵνα μὴ φανῇ τοῦ τυχόντος ἀκηκοὼς, ὅτι συνέβαινε τὸν τούτου πατέρα πρεσβείας κατηξιῶσθαι πρότερον ὑπὸ Διονυσίου· ἦπου γ' ἂν οὗτος, δημοσίας ἀναγραφῆς ἐπιλαβόμενος, ἢ παραδοσίμου στήλης, παρεσιώπησεν;

XII. Miram diligentiam ostentat Timæus.

Ὁ γὰρ τὰς συγκρίσεις ποιούμενος ἀνέκαθεν τῶν Ἐφόρων πρὸς τοὺς βασιλεῖς τοὺς ἐν Λακεδαίμονι, καὶ τοὺς ἄρχοντας τοὺς Ἀθήνησι καὶ τὰς ἱερείας τὰς ἐν Ἄργει παραβάλλων πρὸς τοὺς Ὀλυμπιονίκας, καὶ τὰς ἀμαρτίας τῶν πόλεων περὶ τὰς ἀναγραφὰς τὰς τούτων ἐξελέγχων, παρὰ τρίμηνον ἐχούσας τὸ διαφέρον, οὗτός ἐστι. καὶ μὴν ὁ τὰς ὀπι-2 Monumenta publica crepat. σθοδόμους στήλας, καὶ τὰς ἐν ταῖς φλιαῖς τῶν νεῶν προζε-

7. πρὸς ὃν ex ejusdem Valef. conject. ſtripſi, cum eſſet πῶς φησὶ. XII. 2. ὀπισθοδόμους. ὀπιθοδόμου legendum cenſuit Valeſius: ὀπισθοδομίους Reisk.

eſt. Nam qui *Echecratis* teſtimonio nominatim innititur, (quocum ait ſe de Locrenſibus, qui in Italia ſunt, ſermonem habuiſſe, & a quo id ſeſe accepiſſe memorat,) atque, ut ne ab levi ac ſpernendo auctore audiiſſe videatur, illud etiam ſtudioſe adjungit, *hujus Echecratis patrem mandatu Dionyſii tyranni olim legationem obiiſſe;* an idem umquam, publicum ſcriptum aut antiquam tabulam nactus, reticuiſſet?

12. Etenim hic ipſe eſt, qui Spartanorum ephoros a prima inſtitutione cum eorumdem regibus comparat; qui magiſtratus Athenienſium, & ſacerdotes Iunonis apud Argivos cum Olympiorum victoribus confert; & qui in commentariis publicis civitatum errorem hac in re admiſſum, ob trimeſtris ſpatii differentiam, redarguit. Hic eſt, qui fœderum tabulas in adytis templorum, in veſtibulis monumenta

3 προξενίας ἐξευρηκὼς, Τίμαιός ἐστιν. ὃν οὔθ' ὑπάρ- A.V.549.
χον τι τῶν τοιούτων ἀγνοεῖν, οὔθ' εὑρόντα παραλι-
πεῖν πιστευτέον, οὔτε ψευσαμένῳ συγγνώμην δοτέον
4 οὐδαμῶς. Πικρὸς γὰρ γεγονὼς καὶ ἀπαραίτητος
ἐπιτιμητὴς τῶν πέλας, εἰκότως ἂν καὶ ὑπὸ τῶν
πλησίον αὐτὸς ἀπαραιτήτου τυγχάνοι κατηγορίας.
5 Οὐ μὴν, ἀλλὰ προφανῶς ἐν τούτοις ἐψευσμένος, με-
ταβὰς ἐπὶ τοὺς ἐν Ἰταλίᾳ Λοκροὺς, πρῶτον μέν
φησι, τήν τε πολιτείαν καὶ τὰ λοιπὰ φιλάνθρωπα
τοῖς Λοκροῖς ἀμφοτέροις * * Ἀριστοτέλη καὶ Θεό-
6 φραστον κατεψεῦσθαι τῆς πόλεως. Ἐγὼ δ' οὐκ Consulto
ἀγνοῶ μὲν, ὅτι καὶ ταύτῃ τῆς πραγματείας ἀναγ- fuse de
καιοτάτη παρεκβαίνειν, διοριζόμενος καὶ διαβε- Timæo
7 βαιούμενος περὶ τούτων. οὐ μὴν, ἀλλὰ διὰ ταύτην agit Po-
τὴν αἰτίαν, εἰς ἕνα τόπον ὑπερεθέμην τὸν περὶ Τι- lybius.

μαίου

5. ἀμφοτέροις *in* ἀμφοτέρους *mutandum monuit Heynius: quod lubens acciperem, nisi in ea regione intercidisse utique nonnihil uideretur; quare* lacunæ signum *adposui.* 6. τῆς πραγματείας *ex conject. scripsi. Vulgo* τῇ πραγματείᾳ, *unde præcedens* καὶ *in* κἂν *mutandum suspicatus erat Valesius.*

menta publici hospitii reperit: ipse, inquam, *Timæus*, quem neque hujusmodi quidquam ignorasse, neque, si inveniisset, præteriisse credendum, neque vero, si falsa tradidit, ullatenus ei condonandum est. Nam cum alios ipse acerbe atque inclementer objurgare consueverit, jure merito ab aliis pari inclementia tractabitur. Ceterum, in his manifesti mendacii convictus, ubi ad Locros in Italia degentes transivit, primum quidem ait, *reipublicæ formam & amicitiæ fœdera apud utrosque Locros * * Aristotelem & Theophrastum falso adfinxisse civitati.* Ego vero non sum quidem nescius, mihi hoc rursus loco ab instituto cursu esse divertendum, ut de his rebus distincta & firma ratione exponam. Sed nimirum hac ipsa de causa hunc *de Timæo sermonem* unum

Digitized by Google

Ol.143.3. μείου λόγου, ἵνα μὴ πολλάκις ἀναγκάζωμαι τοῦ καθήκοντος ὀλιγωρεῖν.

(IV.) *Vindicantur Demochares & Agathocles a Timæi calumniis.*

XIII. Timæi in Democharem convicia.

Τίμαιος φησι, Δημοχάρην ἡταιρηκέναι μὲν τοῖς 1 ἄνω μέρεσι τοῦ σώματος, οὐκ εἶναι δ' ἄξιον τὸ ἱερὸν πῦρ Φυσᾷν, ὑπερβεβηκέναι δὲ τοῖς ἐπιτηδεύμασι τὰ Βότρυος ὑπομνήματα καὶ τὰ Φιλαινίδος καὶ τῶν ἄλλων ἀναισχυντογράφων. Ταύτην δὲ τὴν λοιδο- 2 ρίαν καὶ τὰς ἐμφάσεις οὐχ οἷον ἄν τις διέθετο πεπαιδευμένος ἀνήρ, ἀλλ' οὐδὲ τῶν ἐπὶ τέγους ἀπὸ τοῦ σώματος εἰργασμένων οὐδείς. ὁ δ', ἵνα πιστὸς 3 φανῇ κατὰ τὴν αἰσχρολογίαν καὶ τὴν ὅλην ἀναισχυντίαν, καὶ προσκατέψευσταί τινδρὸς, κωμικόν τινα μάρτυρα προσεπισπασάμενος ἀνώνυμον. Πό- 4 θεν

XIII. 2. ἐπὶ τέγους *correxi monente Valesio. Vulgo* ἀπὸ τέγους. 3. ὁ δ' ἵνα *eodem Valesio auctore scripsi, pro vulgato* οὐδ' ἵνα.

unum in locum distuli, ne, contra quam decet, sæpius a proposito recedere cogerer.

(IV.) *Excerpt. Valesian. & deinde Excerpt. Antiq. Cap. 6.*

13. Idem TIMAEVS scribit: *Democharem superioribus corporis partibus impudicum fuisse, neque dignum, qui ignem sacrum flatu accenderet, eumdemque Botryis ac Philænidis aliorumque hujusmodi lasciviæ scriptorum commentarios vitæ suæ institutis superasse.* Istud vero convicium atque eam turpitudinem non solum nemo paulisper liberaliter institutus homo protulerit, sed ne ullus quidem ex iis, qui in fornice quæstum corpore fecerunt. Hic vero ut suis obscœnis atque impudentibus maledictis fidem adstrueret, etiam hoc mendacium adversus eumdem virum adjecit, ut comicum quemdam nullo nomine testem advocaret. Ceterum,

Digitized by Google

Θεν δ' ἐγὼ καταστοχάζομαι τοῦτο; πρῶτον μὲν, A. V. 549. Democharem defendit Polybius.
ἐκ τοῦ πεφυκέναι καὶ τεθράφθαι καλῶς Δημοχάρην,
5 ἀδελφιδοῦν ὄντα Δημοσθένους. δεύτερον, ἐκ τοῦ μὴ
μόνον στρατηγίας αὐτὸν ἠξιῶσθαι παρ' Ἀθηναίοις,
ἀλλὰ καὶ τῶν ἄλλων τιμῶν, ὧν οὐδὲν ἐν αὐτῷ συν-
6 εξέδραμε τοιαύταις ἀτυχίαις παλαίοντι. Διὸ καὶ
δοκεῖ μοι Τίμαιος οὐχ οὕτω Δημοχάρους κατηγορεῖν,
ὡς Ἀθηναίων, οἳ τοιοῦτον ἄνδρα προῆγον, καὶ τοιού-
τῳ τὴν πατρίδα καὶ τοὺς ἰδίους βίους ἐνεχείριζον.
7 Ἀλλ' οὐκ ἔστι τούτων οὐδέν. οὐ γὰρ ἂν Ἀρχέδικος Archedicus Comicus.
ὁ κωμῳδιογράφος ἔλεγε ταῦτα μόνος περὶ Δημοχά-
8 ρους, ὡς Τίμαιός φησιν· ἀλλὰ πολλοὶ μὲν ἂν τῶν
Ἀντιπάτρου φίλων, καθ' οὓς πεπαῤῥησίασται πολλὰ
καὶ δυνάμενα λυπεῖν οὐ μόνον αὐτὸν Ἀντίπατρον,
ἀλλὰ καὶ τοὺς ἐκείνου διαδόχους καὶ φίλους γεγονό-
τας· πολλοὶ δὲ τῶν ἀντιπεπολιτευμένων, ὧν ἦν καὶ
9 Δημήτριος ὁ Φαληρεύς. οὗ κεῖνος οὐ τὴν τυχοῦσαν

rum, mentiri *Timæum*, ego inde conjicio: primum, quod *Democharis* & natus est & educatus liberaliter, quippe Demosthenis sororis filius: deinde, quod non prætura solum, sed & ceteris honoribus ab Athenienſibus est ornatus, quæ profecto numquam esset adeptus, si hujusmodi probris contaminatus fuisset. Itaque Timæus mihi quidem videtur non tam *Democharem*, quam Athenienſes conviciis incessere, qui talem virum evexerint, eique rempublicam ac singulorum vitam commendarint. Sed longe aliter se res habet. Neque enim unus *Archedicus*, poëta Comicus, hæc de Demochare dixisset, quæ vult Timæus: sed & ex Antipatri familiaribus multi, in quem Demochares multa dixerat, quæ non ipsum modo Antipatrum, sed ejus etiam succeſſores atque amicos offendere poterant; tum vero plurimi ex iis, qui diverſas in republica partes sequebantur: inter quos fuit & *Demetrius Phalereus*, quem quidem

Demo-

Ol. 143. 3. Demochares perstrinxit Demetrium Phal.

πεπείπαν κατηγορίαν ἐν ταῖς ἱστορίαις, φάσκων, αὐτὸν τοιοῦτον γεγονέναι προστάτην τῆς πατρίδος, καὶ ἐπὶ τούτοις σεμνύνεσθαι κατὰ τὴν πολιτείαν, ἐφ' οἷς ἂν καὶ τελώνης σεμνυνθείη ἢ βάναυσος. ἐπὶ γὰρ τῷ πολλὰ καὶ λυσιτελῶς πωλεῖσθαι κατὰ τὴν πόλιν, καὶ δαψιλῆ τὰ πρὸς τὸν βίον ὑπάρχειν πᾶσιν, ἐπὶ τούτοις φησὶ μεγαλαυχεῖν αὐτόν· καὶ δὴ

Limax in pompa.

ὅτι κοχλίας αὐτόματος βαδίζων προηγεῖτο τῆς πομπῆς αὐτῷ, σίαλον ἐναπτύων, σὺν δὲ τούτοις

Asini in theatro.

ὄνοι διεπέμποντο διὰ τοῦ θεάτρου, (διότι δὴ πάντων τῶν τῆς Ἑλλάδος καλῶν ἡ πατρὶς παρεσκεχωρηκυῖα τοῖς ἄλλοις, ἐποίει Κασσάνδρῳ τὸ προσταττόμενον·) ἐπὶ τούτοις αὐτὸν οὐκ αἰσχύνεσθαί φησιν. Ἀλλ' ὅμως οὔτε Δημήτριος, οὔτ' ἄλλος οὐδεὶς εἰρήκει περὶ Δημοχάρους τοιοῦτον οὐδέν.

Ἐξ

9. ἢ βάναυσος. Particulam ἢ adjeci ex Gron. & Reiskii conject. 11. καὶ δὴ ὅτι correxi cum Toupio. Vulgo καὶ διότι. Ibid. αὐτόματος. αὐτομάτως Suidas. Ibid. ὄνοι ex Toupii emendatione recepi. Vulgo ἄνθρωποι, ad quod vocabulum intercidisse verbum ἄγοντες suspicatus erat Valesius.

Democharem non leviter *in Historia sua* perstrinxerat. Ait enim, *eam ejus fuisse administrationem reipublicæ, atque ejusmodi rebus insignem, propter quas vel publicanus aliquis aut vilis opifex sese efferant. Nam quod multa in urbe vili pretio veneant, quodque abundent copiæ ad victum necessariæ, eo Demetrium gloriari* scribit: *sed nimirum, quod limax, interni mechanismi ope gradiens, ac salivam exspuens, in pompa ei præivit, simulque asini per theatrum sunt traducti; (quod scilicet Athenienses, concessa ceteris Græcis omnium honestarum rerum gloria, Cassandro imperata facerent;) horum*, ait, *illum non puduisse.* Et tamen neque *Demetrius*, neque alius quisquam, hujusmodi quid de *Demochare* dixit.

14. Quo

Ἐξ ὧν ἐγὼ, βεβαιοτέραν τὴν τῆς πατρίδος ἡγού- A.V.549. XIV.
μενος μαρτυρίαν, ἢ τὴν Τιμαίου πικρίαν, θαρσῶν Decorum in omnibus observandum.
ἀποφαίνομαι, μηδενὶ τὸν Δημοχάρους βίον ἔνοχον
2εἶναι τῶν τοιούτων κατηγορημάτων. Καίπερ, εἰ κατ'
ἀλήθειαν ὑπῆρχέ τι τοιοῦτον ἀτύχημα περὶ Δημο-
χάρην, ποῖος καιρὸς ἢ ποία πρᾶξις ἠνάγκασε Τί-
3μαιον ταῦτα καταστάτλειν εἰς τὴν ἱστορίαν; Καθάπερ γὰρ οἱ νοῦν ἔχοντες, ἐπὰν ἀμύνασθαι κρίνωσι
τοὺς ἐχθροὺς, οὐ τοῦτο πρῶτον σκοποῦντας, τί πα-
θεῖν ἄξιός ἐστιν ὁ πλησίον, ἀλλὰ, τί ποιεῖν αὐτοῖς
4πρέπει, τοῦτο μᾶλλον· οὕτω καὶ περὶ τῶν λοιδοριῶν,
οὐ, τί τοῖς ἐχθροῖς ἀκούειν ἁρμόζει, τοῦτο πρῶτον
ἡγητέον, ἀλλὰ, τί λέγειν ἡμῖν πρέπει, τοῦτο ἀναγ-
5καιότατον λογιστέον. Περὶ δὲ τῶν πάντα μετρούν- Diffidendum gerroni.
των ταῖς ἰδίαις ὀργαῖς καὶ φιλοτιμίαις, ἀνάγκη
πάνθ' ὑποπτεύειν ἐστὶ, καὶ πᾶσι διαπιστεύειν πέρα

XIV. 5. Ὑποπτεύειν, tum διαπιστεύειν & πέρα correxi cum Reiskio. Vulgo omnes mendose ὑποπίπτειν, & διαπίπτειν nagel τοῦ ἄκοντος.

14. Quo fit, ut testimonium patriæ anteponendum esse ratus Timæi acerbitati, constanter adfirmare ausim, Democharis vitam ab omni ejusmodi crimine puram atque integram fuisse. Sed, tametsi hac culpa revera laborasset Democharis; quæ vero res aut ratio Timæum cogebat, id ut historiæ mandaret? Nam quemadmodum viri prudentes & cordati, quando inimicos volunt ulcisci, nequaquam illud primum considerant, *quid ille dignus sit pati, quicum iis res est;* sed illud potius, *quid sibi facere conveniat:* ita &, cum alicui probra dicuntur, non id primo est attendendum, *quid inimicos audire conveniat;* verum id, ut præ ceteris necessarium, est potius cogitandum, *nos quid deceat dicere.* Illos vero, qui ira atque odiis suis cuncta metiuntur, necesse est in cunctis suspectos habere; & diffidendum omnibus,

Digitized by Google

Ol.143.3. τοῦ δέοντος λεγομένοις. Διὸ δὴ καὶ νῦν ἡμεῖς μὲν εἰκότως ἂν δόξαιμεν ἀθετεῖν τοῖς ὑπὸ Τιμαίου κατὰ Δημοχάρους εἰρημένοις· ἐκεῖνος δ' ἂν οὐκ εἰκότως τυγχάνοι συγγινώμης οὐδὲ πίστεως ὑπ' οὐδενός, διὰ τὸ προφανῶς ἐν ταῖς λοιδορίαις ἐκπίπτειν τοῦ καθήκοντος διὰ τὴν ἔμφυτον πικρίαν.

XV. Timæi in Agathoclem convicia.

Καὶ γὰρ οὐδὲ ταῖς κατ' Ἀγαθοκλέους ἔγωγε λοιδορίαις, εἰ καὶ πάντων γέγονεν ἀσεβέστατος, εὐδοκῶ. λέγω δ' ἐν τούτοις, ἐν οἷς ἐπὶ καταστροφῇ τῆς ὅλης ἱστορίας φησὶ, γεγονέναι τὸν Ἀγαθοκλέα κατὰ τὴν πρώτην ἡλικίαν κοινὸν πόρνον, ἕτοιμον τοῖς ἀκρατεστάτοις, κολοιὸν, τριόρχην, πάντων τῶν βουλομένων τοῖς ὄπισθεν ἔμπροσθεν γεγονότα. Πρὸς δὲ τούτοις, ἔτ' ἀπέθανε, τὴν γυναῖκα φησὶ κατακλαιομένην αὐτὸν οὕτω θρηνεῖν· Τί δ' οὐκ ἐγὼ σέ; τί δ' οὐκ ἐμὲ σύ; Ἐν γὰρ τούτοις πάλιν οὐ μόνον ἄν τις ἐπε-

XV. 2. *πάντων τῶν βουλ. Forſ. παντὶ τῷ βουλομένῳ. Reiſk.*

bus, qui in dicendo modum tenere neſciunt. Recte igitur nos quoque in præſentia feciſſe videamur, ſi eis, quæ a *Timæo* in *Democharem* ſunt dicta, fidem abrogaverimus. Illi contra jure merito neque veniam concedat quisquam, neque fidem ullam habeat; poſtquam adeo manifeſte, præ inſito ipſius animo maledicendi ſtudio, modum omnem in conviciando exceſſit.

15. Etenim mihi ne illa quidem *maledicta* placent, quæ *in Agathoclem* idem TIMAEVS contulit, etſi fuit ille ſane ſceleſtiſſimus & omnium maxime impius. Dico autem iſta, quæ in operis totius ſui fine poſuit, quo loco ait, *Agathoclem in prima ætate publicum fuiſſe proſtibulum, paſſim omnium incontinentiſſimorum libidini expoſitum, graculum, triorchem, qui averſus & adverſus impudicus obviis quibusque pateret.* Ad hæc, *ubi fato eſſet functus, ejus uxorem*, ait, *mortuum maritum lamentantem, hujusmodi plangorem edidiſſe: Quid non ego tibi? quid non tu mihi?* Iſta enim qui legunt, non

ἐπεφθέγξατο τὰ καὶ περὶ Δημοχάρους, ἀλλὰ καὶ A.V.549.
5 τὴν ὑπερβολὴν θαυμάσειε τῆς πικρίας. Ὅτι γὰρ Defenditur Agathocles.
ἐκ φύσεως αἰνάγκη μεγάλα προτερήματα γεγονέναι
περὶ τὸν Ἀγαθοκλέα, τοῦτο δῆλόν ἐστιν ἐξ αὐτῶν,
6 ὧν ὁ Τίμαιος ἀποφαίνεται. Εἰ γὰρ εἰς τὰς Συρα-
κούσας παρεγενήθη φεύγων τὸν τροχὸν, τὸν κάπνον,
τὸν πηλὸν, περί τε τὴν ἡλικίαν ὀκτωκαίδεκα ἔτη γε-
7 γονώς· καὶ μετά τινα χρόνον, ὁρμηθεὶς ἀπὸ τοιαύ-
της ὑποθέσεως, κύριος μὲν ἐγενήθη πάσης Σικελίας,
μεγίστους δὲ κινδύνους περιέστησε Καρχηδονίοις, τέ-
λος, ἐγηράσας τῇ δυναστείᾳ, κατέστρεψε τὸν βίον
8 βασιλεὺς προσαγορευόμενος· ἆρ' οὐκ ἀνάγκη, μέγα
τι γεγονέναι χρῆμα καὶ θαυμάσιον τὸν Ἀγαθοκλέα,
καὶ πολλὰς ἐσχηκέναι ῥοπὰς καὶ δυνάμεις πρὸς τὸν
9 πραγματικὸν τρόπον; Ὑπὲρ ὧν δεῖ τὸν συγγραφέα Præclare facta non tacere debet scriptor.
μὴ μόναν τὰ πρὸς διαβολὴν κυροῦντα καὶ κατηγο-
ρίαν

6. *περὶ τε.* Delere particulam *τε* juſſit Reiſk. Malim *τὴν ἡλικίαν περὶ ὀκτωκαίδ.*

non ea dumtaxat merito uſurpaverint, quæ de ſuperioribus adverſus Democharem modo dicebamus; ſed etiam illud modum omnem excedens maledicendi ſtudium, quo Timæus flagrabat, omnino mirentur. Etenim neceſſe utique eſſe, ut ingentibus a natura dotibus ornatus fuerit *Agathocles*, id vero etiam ex illis, quæ de eo ipſemet Timæus ſcribit, liquido conſtat. Nam ſi *figularem rotam, & fumum ac lutum fugiens, quum vix decem & octo eſſet annorum, Syracuſas primum venit*, & poſt aliquod tempus, a tali profectus principio, Siciliam univerſam ſuo ſubjecit imperio, maximaque Pœnis creavit pericula, denique ſenex in ipſo dominatu, & regio ornatus titulo, vitam finivit: quis neget, magnum profecto virum & admirabilem fuiſſe Agathoclem, quique magnis a natura dotibus & præſidiis ad res ſollerter gerendas eſſet inſtructus? Propterea debent rerum geſtarum ſcriptores non ea ſolum, quæ

ad

Ol.143.3. ρίαν ἐξηγεῖσθαι τοῖς ἐπιγιγνομένοις, ἀλλὰ καὶ τὰ πρὸς ἔπαινον ἥκοντα περὶ τὸν ἄνδρα. τοῦτο γὰρ ἰδιόν ἐστι τῆς ἱστορίας. Ὁ δὲ παρεσκοτισμένος ὑπὸ τῆς ἰδίας πικρίας, τὰ μὲν ἐλαττώματα δυσμενικῶς καὶ μετ' αὐξήσεως ἡμῖν ἐξήγγελκε, τὰ δὲ κατορθώματα συμπέπτωκεν παραλελοιπέναι· ἀγνοῶν, ὅτι τοῖς ψεύδεσι οὐχ ἧττόν ἐστι περὶ τοὺς τὰ γεγονότα * * γράφοντας ἐν τοῖς ἱστορίαις. Ἡμεῖς δὲ τὸ μὲν ἐπιμετρεῖν τῆς ἀπεχθείας αὐτοῦ χάριν ἀφήκαμεν, τὰ δ' οἰκεῖα τῆς προθέσεως αὐτῶν οὐ παρελείψαμεν.

(V.) *Leges Locrenſium, auctore Zaleuco.*

XVI. Controverſia de ſervo.

Νεανίσκων δυοῖν περί τινος οἰκέτου διαφερομένων, συνέβαινε, παρὰ μὲν τῷ ἑτέρῳ καὶ πλείω χρόνον γεγο-

II. *Poſt γεγονότα* defectus notam *adjeci: & ſuſpicor legendum τὰ γεγονότα κρύπτοντας, ἢ περὶ τοὺς τὰ οὐ γεγονότα γράφοντας. Hiatum Caſaubonus, adjecta ex ingenio particula οὐ ante τὰ γεγονότα, diſſimulavit.*

XVI. 1. *τῷ ἑτέρῳ correxit Caſaub. παρὰ τὸν ἑταῖρον Herv. cum mſtis.*

ad criminandum & accuſandum Agathoclem valent, tradere poſteris; verum etiam illa, quæ cum ejus laude ſunt conjuncta. Id enim veræ proprium eſt hiſtoriæ. At egregius hic ſcriptor, maledicendi ſtudio excæcatus, minus recte facta cum quadam animi malignitate ſolitus narrare, & omnia in majus etiam attollere, præclare facta ſimul cuncta prætermiſit; ignorans utique, non minus mendacii reum eſſe, ſi quis Hiſtoriam ſcribere profeſſus, quæ geſta ſunt, taceat, quam ſi, quæ facta non ſunt, ſcribat. Nos vero, quæ ille odio concitatus nimia dixit, plura omiſimus: [*An:* Nos vero odio hominis plura cumulare noluimus:] quæ vero ad propoſitum pertinebant noſtrum, non prætermiſimus.

(V.) *Excerpt. Antiq. ex Lib.* XII. *Cap.* 7.

16. Erant (apud *Locrenſes*) duo adoleſcentes, qui *de ſervo* controverſiam inter ſe habebant. Et horum quidem alter puerum illum per lon-

Digitized by Google

2γεγονέναι τὸν παῖδα· τὸν δ' ἕτερον, ἡμέρᾳσι δυσὶ A.V.549.
πρότερον εἰς τὸν ἀγρὸν ἐλθόντα, μὴ παρόντος τοῦ
δεσπότου, μετὰ βίας εἰς οἶκον ἀπηχέναι τὸν δοῦλον.
3κἄπειτα τὸν ἕτερον, αἰσθόμενον, ἐλθεῖν ἐπὶ τὴν οἰ-
κίαν, καὶ λαβόντα πάλιν, ἄγειν ἐπὶ τὴν ἀρχήν,
καὶ φάναι, δεῖν κύριον αὐτὸν εἶναι, καὶ διδόναι τοὺς
4ἐγγυητάς. Κελεύειν γὰρ τὸν Ζαλεύκου νόμον· Τοῦ- Lex Za-
τον δεῖν κρατεῖν τῶν ἀμφισβητουμένων leuci de
ἕως τῆς κρίσεως, παρ' οὗ τὴν ἀγωγὴν συμ- rei vindi-
5βαίνει γίγνεσθαι. Τοῦ δ' ἑτέρου, κατὰ τὸν αὐ- catione.
τὸν νόμον, παρ' αὐτοῦ φάσκοντος γεγονέναι τὴν
ἀγωγήν, ἐκ γὰρ τῆς οἰκίας τῆς ἐκείνου τὸ σῶμα
6πρὸς τὴν ἀρχὴν ἧκεν ἀπαγόμενον· τοὺς προκαθη-
μένους ἄρχοντας, διαπορεῖντας ὑπὲρ τοῦ πράγμα-
τος,

2. ἀπηχέναι. ἀποιχέναι Herv. cum usstis, quod in ἀγηοχέναι ex conject. mutavit Casaub. 3. ἄγειν. Ignorant verbum libri omnes. Ἰέναι ex conject posuit Casaub. Mihi illud præferendum visum est; pro quo lubens & ἀπάγειν acciperem. Ibid. καὶ διδόναι. Conjunctionem, qua carent libri, adjecit Casaub Malim διδόντα, absque conjunct. Ac poterat etiam διδόναι absque conjunct. teneri: sibi jus esse sponsores dare. 5. ἀπαγόμενον ex Visini emend. recepit Casaub. Mendose libri ἀπόμενον, quod & ex ἀγόμενον corruptum esse potest.

longioris temporis spatium possederat: alter vero, biduo ante, rus egressus, absente domino servum ad se domum per vim abduxerat. Hujus rei factus alter certior, domum, ubi servus jam erat, sese contulerat, eumque rursus prehensum ad magistratum adduxerat, dicens: *jus esse, ut in sua illum potestate haberet, ac sponsores daret. Lege namque* ZALEVCI *esse cautum, ut* REM CONTROVERSAM, QVAMDIV LIS PENDET, POSSIDEAT IS, A QVO ABDVCTA FVERIT. Lege vero eadem nitente altero, ac dicente, *a se factam esse abductionem; de domo namque sua abductum mancipium venisse ad magistratum:* qui judicium illud exercebant, quid super ea re

Ol. 143. 3. τος, ἐπισπάσασθαι καὶ συμμεταδοῦναι τῷ Κοσμο-
Cosmopolis, major magistratus Locrorum. πόλιδι. Τὸν δὲ διαστείλασθαι τὸν νόμον, φήσαντα 7
Παρὰ τούτων τὴν ἀγωγὴν ἀεὶ γίγνεσθαι, παρ' οἷς
ἂν ἔσχατον ἀδήριτον ᾖ χρόνον τινὰ γεγονὸς τὸ διαμ-
φισβητούμενον. ἐὰν δέ τις, ἀφελόμενος βίᾳ παρά 8
τινος, ἀπαγάγῃ πρὸς αὑτὸν, κἄπειτα παρὰ τού-
του τὴν ἀγωγὴν ὁ προϋπάρχων ποιῆται δεσπότης,
οὐκ εἶναι ταύτην κυρίαν. Τοῦ δὲ νεανίσκου δεινοπα- 9
θοῦντος, καὶ μὴ φάσκοντος εἶναι τοῦ νομοθέτου ταύ-
τὴν τὴν προαίρεσιν, προκαλέσασθαί φησι τὸν Κοσ-
Alia lex Zaleuci. Dicere, laqueo de collo suspenso. μόπολιν, εἴ τι βούλεται λέγειν ὑπὲρ τῆς γνώμης
κατὰ τὸν Ζαλεύκου νόμον. τοῦτο δ' ἐστὶ, καθισάν- 10
των τῶν χιλίων, καὶ βρόχων κρεμαθέντων, λέγειν
ὑπὲρ τῆς τοῦ νομοθέτου γνώμης· ὁπότερος δ' αὐτῶν 11

φανῇ

7. ἀεὶ, *quod abest vulgo, ex mstis adjeci.* 9. εἴ τι *correxi cum Reiskio. Vulgo omnes* εἴ τις. Ibid. βούλεται *adscivi ex Aug. Regiis, Vesont.* βούληται *edd.* Ibid. λέγειν. *Forsan* ἀντιλέγειν. 10. καθισάντων *cum viris doctis correxi.* καθιστάντων *vulgo edd. cum mstis.* Ibid. καὶ βρόχ. κρεμαθ. *Forsan* βρόχων ἐκ τραχήλου κρεμαθέντων.

re pronunciarent incerti, advocant *Cosmopolin*, & rem cum eo communicant. Cosmopolis legem ita interpretatus est, ut diceret: *abductionem semper censeri fieri ab illo, qui postremo per aliquod tempus citra controversiam possedisset id de quo disceptatur: quod si quis vero rem, alteri per vim ereptam, domum suam abduxerit, & deinde eamdem prior dominus rursus ab hoc abducat, non esse hanc veram abductionem.* Quam interpretationem quum ægre ferret adolescens, & legislatoris eam esse mentem negaret; Cosmopolim conditionem quiritanti obtulisse narrat auctor, *ut de sententia legis disseveret, si quid vellet, ex formula a Zaleuco præscripta.* Ea autem erat, ut *in Mille virorum consessu, laqueis de utriusque collo pendentibus, legislatoris sententiam ambo explicarent: uter autem eorum visus fuisset in deterio-*

Digitized by Google

φανῇ τὴν προαίρεσιν ἐπὶ τὸ χεῖρον ἐκδεχόμενος, τὸν A.V.549.
τοιοῦτον διὰ τῆς ἀγχόνης ἀπόλυσθαι, βλεπόντων
12 τῶν χιλίων. Ταῦτα προτείναντος τοῦ Κοσμοπόλι-
δος, τὸν νεανίσκον εἰπεῖν φησιν, ἄνισον εἶναι τὴν συν-
θήκην· τῷ μὲν γὰρ ἔτη δύο ἢ τρία καταλείπεσθαι
13 τοῦ ζῆν· (συνέβαινε γὰρ, εἶναι τὸν Κοσμόπολιν οὐ
πολὺ λεῖπον τῶν ἐννενήκοντα ἐτῶν·) αὐτῷ δὲ τοῦ
14 βίου τὸ πλεῖον ἐκ τῶν εὐλόγων ἔτι μένειν. Ὁ μὲν
οὖν νεανίσκος, οὕτως εὐτραπελευσάμενος, ἐξέλυσε
τὴν σπουδήν· οἱ δ' ἄρχοντες ἔκριναν τὴν ἀγωγὴν
κατὰ τὴν τοῦ Κοσμοπόλιδος γνώμην.

(VI.) *Arguitur Callisthenis imperitia in narrandis rebus ad militiam pertinentibus.*

Ἵνα δὲ μὴ δόξωμεν τῶν τηλικούτων ἀνδρῶν κα- XVII. Callisthenis imperitia.
ταξιοπιστεύεσθαι, μνηθησόμεθα μιᾶς παραταξέως,
ἣν

13. εἶναι, *quod abest ab editis, revocavi ex mstis; mox vero* λεῖπον *correxi, cum vulgo omnes* λείπειν *darent.*

XVII. 1. *Ollo prima verba ex Suida adjeci.*

deteriorem partem legis mentem torquere, is præsentibus mille viris laqueo vitam finiret. Hæc postquam ita proposuisset Cosmopolis, ait auctor, dixisse adolescentem, *iniquam esse conditionem propositam: nam illi quidem alterum fortasse aut tertium annum vitæ superesse;* (neque enim multo minor erat Cosmopolis annis nonaginta;) *sibi, ut ratio probabilis suadeat, maximam superesse vitæ partem.* Hoc faceto dicto quum rem seriam in jocum juvenis vertisset: judices secundum Cosmopolidis sententiam vindicias pronunciarunt.

(VI.) *Excerpt. Antiq. ex Lib.* XII. *Cap.* 8-13.

17. Ne autem videamur temere tantorum virorum auctoritati velle derogare, mentionem hoc loco faciemus

Ol. 143. 3. Callisthenis imperitia.

ἦν ἅμα μὲν μίαν ἐπιφανεστάτην εἶναι συμβεβηκεν, ἅμα δὲ τοῖς καιροῖς οὐ μακρὰν ἀπηρτῆθαι, τὸ δὲ μέγιστον, παρατετευχέναι τὸν Καλλισθένη. λέγω δὲ περὶ τῆς ἐν Κιλικίᾳ γενομένης Ἀλεξάνδρῳ πρὸς Δαρεῖον· ἐν ᾗ φησὶ μὲν, Ἀλέξανδρον ἤδη διαπεπορεῦθαι τὰ στενὰ, καὶ τὰς λεγομένας ἐν τῇ Κιλικίᾳ Πύλας· Δαρεῖον δὲ, χρησάμενον τῇ διὰ τῶν Ἀμανίδων λεγομένων Πυλῶν πορείᾳ, κατᾶραι μετὰ τῆς δυνάμεως εἰς Κιλικίαν. πυθόμενον δὲ παρὰ τῶν ἐγχωρίων, προάγειν τὸν Ἀλέξανδρον ὡς ἐπὶ Συρίαν, ἀκολουθεῖν· καὶ συνεγίσαντα τοῖς στενοῖς, στρατοπεδεῦσαι παρὰ τὸν Πίναρον ποταμόν. εἶναι δὲ τοῦ μὲν τόπου τὸ διάστημα οὐ πλείω τῶν τεττάρων καὶ δέκα σταδίων ἀπὸ θαλάττης ἕως πρὸς τὴν παρώρειαν. διὰ δὲ τούτου φέρεσθαι τὸν περιεργημένον ποταμὸν ἐπικάρσιον, ἀπὸ μὲν τῶν ὀρῶν εὐθέως ἐκρήγμα-

Pinarus amnis.

1. ἀπηρτῆθαι auctore Wesselingio scripsi. Vulgo omnes ἀπηρτίσθαι. Ibid. παρατετευχ. Forsan ἢ παρατετευχ. 2. διαπεπορεῦθαι ex conject. scripsi. Vulgo omnes διαπορεύεσθαι. 3. τὸν Πίναρον ex mente Casaub. correxi. Mendose vulgo τὸν Πύρον, pro quo Πύραμον reposuit Vossius alii.

mus unius dumtaxat pugnæ, acie instructa pugnatæ, quæ & nobilissima fuit, neque tempore admodum remota, cui denique, quod est omnium maximum, *Callisthenes* ipse interfuit. Eam dico pugnam, quam in Cilicia Alexander cum Dario commisit. *Iam Alexander*, inquit CALLISTHENES, *fauces superaverat, & quas Ciliciæ Pylas vocant. Darius vero per Amanicas Pylas ducto agmine, in Ciliciam cum copiis jam pervenerat. Ubi certior factus ab indigenis, progressum esse Alexandrum Syriam petentem, sequi illum instituit. Ad fauces ut ventum, prope amnem Pinarum castris locum cepit. Patet autem eo loci*, ut hic ait, *intervallum a mari ad montis radices stadia non amplius quatuordecim. Per hoc spatium*, inquit, *ex transverso labitur prædictus amnis; qui quidem, ubi e montibus erupit, statim latera passim exedit*

Digitized by Google

ἐκρήγματα [πολλὰ ποιοῦντα] τῶν πλευρῶν, διὰ δὲ A.V.549. Callisthenis impe-
τῶν ἐπιπέδων ἕως εἰς θάλασσαν ἀποτόμους ἔχοντα ritia.
καὶ δυσβάτους λόφους. Ταῦτα δ' ὑποθέμενος, ἐπεὶ
συνεγλίζοιεν οἱ περὶ τὸν Ἀλέξανδρον, ἐξ ὑποστροφῆς
ἐπ' αὐτοὺς ἀναχωροῦντες· κρῖναι, φησὶ, Δαρεῖον καὶ
τοὺς ἡγεμόνας, τὴν μὲν φάλαγγα τάξαι πᾶσαν ἐν
αὐτῇ τῇ στρατοπεδείᾳ, καθάπερ ἐξ ἀρχῆς εἶχε,
χρήσασθαι δὲ τῷ ποταμῷ προβλήματι, διὰ τὸ παρ'
αὐτὴν ῥεῖν τὴν στρατοπεδείαν. Μετὰ δὲ ταῦτα,
φησὶ, τοὺς μὲν ἱππεῖς τάξαι παρὰ θάλατταν, τοὺς
δὲ μισθοφόρους ἑξῆς τούτοις παρ' αὐτὸν τὸν ποτα-
μὸν ἐχομένους τούτων· τοὺς δὲ πελταστὰς συνά-
πτοντας τοῖς ὄρεσι.

Πῶς δὲ προέταξε τούτους πρὸ τῆς φάλαγγος, XVIII.
τοῦ ποταμοῦ ῥέοντος παρ' αὐτὴν τὴν στρατοπεδείαν,
δυσχερὲς κατανοῆσαι· καὶ ταῦτα τῷ πλήθει τοσού-

τῶν

5. ἐκρήγματα &c. *Corruptum vulgo locum ex conjecł. reſtituì & ſupplevi.* εὐθέως εἰ φῦγμα τῶν πλευρῶν *Herv. cum mſtis; ex quo Caſaubonus* εὐθέως εἰς ἐκρήγματα τῶν πλευρῶν *effecit.* Ibid. λόφους *correxit Caſaub.* λαβοὺς *Herv. cum mſtis.* 7. ἐχομένους τούτων. *Correxi mendoſum* τούτοις.

exedit atque excavat; deinde vero, per planitiem ad mare decurrens, altas habet ripas atque abruptas ſuperatuque difficiles. His ita poſitis, addit CALLISTHENES: *Alexandrum converſa ſigna verſus hoſtem reduxiſſe; eoque jam adpropinquante, conſilium cepiſſe Darium & ejus duces, univerſam phalangem eo ipſo in loco, ubi tendebant, ordinandi, ſicut a principio fecerant, flumine, quod caſtra ipſa præterfluebat, pro munitione hoſti objecto: deinde vero,* ait, *ſecundum mare equites conſtituiſſe, proximos his in fluminis ripa mercenarios, tum cetratos, ita ut montes contingerent.*

18. Sed quonam modo ante phalangis aciem hos Darius locaverit, quum propter ipſa caſtra fluvius laberetur, complecti mente difficile eſt, in tanta præſertim homi-

Ol. 143. 3. Callisthenis imperitia.

των ὑπαρχόντων. τρισμύριοι μὲν γὰρ ἱππεῖς ὑπῆρ-2 χον, ὡς αὐτὸς ὁ Καλλισθένης φησὶ, τρισμύριοι δὲ μισθοφόροι. πόσου δ' εἶχον οὗτοι τόπου χρείαν, εὐχερὲς καταμαθεῖν. Πλεῖστον μὲν γὰρ ἱππέων τάξιν3 τεταγμένων βάθος ἐπ' ὀκτὼ πρὸς ἀληθινὴν χρείαν· καὶ μεταξὺ τῶν ἴλων ἑκάστης συνυπάρχειν δεῖ διάστημα τοῖς μετώποις, πρὸς τὸ ταῖς ἐπιστροφαῖς δύνασθαι καὶ τοῖς περισπασμοῖς εὐχρηστεῖν. ἐξ ὧν τὸ4 στάδιον ὀκτακοσίους λαμβάνει, τὰ δὲ δέκα τοὺς ὀκτακισχιλίους, τὰ δὲ τέτταρα τρισχιλίους διακοσίους· ὥστ' ἀπὸ τῶν μυρίων χιλίων διακοσίων πεπληρῶσθαι τὸν τῶν τεσσαρεσκαίδεκα σταδίων τόπον. ἐὰν δὲ πάντας ἐκτάξῃ τοὺς τρισμυρίους, βραχὺς λείπει τοῦ τριφαλαγγίαν ἐπάλληλον εἶναι τῶν ἱππέων αὐτῶν. Εἰς ποῖον οὖν τόπον ἐτάττετο τὸ τῶν6 μισθοφόρων πλῆθος; εἰ μὴ νὴ Δία κατόπιν τῶν ἱππέων.

XVIII. 3. Πλεῖστον *ex conjecl. scripsi, pro vulgato* Πλείστων.

hominum multitudine. Nam *Calliſthene* ipſo teſte, equites erant tricies mille, & mercenarii pari numero. Quæ multitudo armatorum quantum requirat ſpatii, in promtu eſt intelligere. Maxima enim altitudo, qua ordinatur equitum acies ad verum juſtumque prælium, octonûm equitum eſt: & inter turmas interſtitium ſit oportet pro cujusque fronte, quo poſſit commode vel in latus vel retrorſum converſio turmarum inſtitui. Igitur ſtadium equites octingentos capit; ſtadia decem, equitum octo millia; ſtadia quatuor ter mille ducentos: atque ita fit, ut locum illum, quem diximus ſtadiorum quatuordecim, equitum millia undecim & ducenti fuerint impleturi. Quod ſi igitur omnia triginta millia in aciem eo loci inſtruxit; parum abeſt, quin ex ſolis equitibus triplicem aciem effecerit, quarum ſecunda primam ſubſequebatur, tertia ſecundam. Cedo igitur locum, ubi mercenariorum manus eſſet poſita? niſi forte dicat aliquis, pone equites eam ſtetiſſe. At non hoc

Digitized by Google

πέων. ἀλλ' οὐ φησιν, ἀλλὰ συμπεπτωκέναι τούτους A. V. 519. Callisthenis imperitia.
7 τοῖς Μακεδόσι κατὰ τὴν ἐπαγωγήν. ἐξ ὧν ἀναγκη, ποιεῖσθαι τὴν ἐκδοχήν, διότι τὸ μὲν ἥμισυ τοῦ τόπου, τὸ παρὰ θάλατταν, ἡ τῶν ἱππέων ἐπεῖχε τάξις, τὸ δ' ἥμισυ, τὸ πρὸς τοῖς ὄρεσιν, ἡ τῶν μισθοφόρων. 8 ἐκ δὲ τούτων εὐσυλλόγιστον, πόσον ὑπῆρχε τὸ βάθος τῶν ἱππέων, καὶ ποῖον ἔδει τόπον ἀπέχειν τὸν 9 ποταμὸν ἀπὸ τῆς στρατοπεδείας. Μετὰ δὲ ταῦτα συνεγγιζόντων τῶν πολεμίων, φησὶ, τὸν Δαρεῖον αὐτὸν, κατὰ μέσην ὑπάρχοντα τὴν τάξιν, καλεῖν τοὺς μισθοφόρους ἀπὸ τοῦ κέρατος πρὸς αὐτόν. 10 πῶς δὲ λέγεται τοῦτο, διαπορεῖν ἐστί. τῶν γὰρ μισθοφόρων ἀνάγκη καὶ τῶν ἱππέων τὴν συναφὴν κατὰ μέσον ὑπάρχειν τὸν τόπον. ὥστ' ἐν αὐτοῖς ὢν τοῖς μισθοφόροις ὁ Δαρεῖος, ποῦ, καὶ πρὸς τί, καὶ 11 πῶς ἐκάλει τοὺς μισθοφόρους; Τὸ δὲ τελευταῖον φησὶ, τοὺς ἀπὸ τοῦ δεξιοῦ κέρατος ἱππεῖς ἐπαγαγόντας ἐμβαλεῖν τοῖς περὶ τὸν Ἀλέξανδρον· τοὺς

hoc dicit CALLISTHENES, qui ſcribit, *cum committeretur pugna, conductitium militem concurriſſe cum Macedonibus.* Qua ex re neceſſario intelligendum, prædicti loci partem dimidiam, verſus mare, ab equitibus fuiſſe occupatam; dimidium alterum, montes verſus, cepiſſe mercenarios. Quæ quum ita ſint, facile iniri ratio poteſt, quanta fuerit equitum altitudo, & quam longo intervallo fluvius a Darii caſtris diſtiterit. Ait deinde, *ubi jam hoſtes adpropinquabant, Darium, qui in media verſabatur acie, mercenarios e cornu ad ſe vocaſſe.* Quod qua ratione ſit dictum, dubitare licet. Nam mercenarios & equites ſeſe invicem contigiſſe in medio illo ſpatio, prorſus eſt neceſſe: Darius igitur, qui jam inter mercenarios eſſet, ubi, & quorſum, & quomodo mercenarios vocavit? Poſtremo ait, *equites, qui in dextro ſtabant cornu, in hoſtem invehentes, Alexandrum eſſe*

Digitized by Google

Ol. 143. 3. Callisthenis imperitia.

δὲ γενναίως δεξαμένους ἀντεπάγειν, καὶ ποιεῖν μάχην ἰσχυράν. ὅτι δὲ ποταμὸς ἦν ἐν μέσῳ, καὶ ποταμὸς, οἷον ἀρτίως εἶπεν, ἐπελάθετο. 12

XIX. Τούτοις δ' ἐστὶ παραπλήσια τὰ κατὰ τὸν Ἀλέξανδρον. φησὶ γὰρ, αὐτὸν ποιήσασθαι τὴν εἰς τὴν Ἀσίαν διάβασιν, πεζῶν μὲν ἔχοντα τέτταρας μυριάδας, ἱππέας δὲ τετρακισχιλίους καὶ πεντακοσίους. μέλλοντι δ' εἰς Κιλικίαν ἐμβάλλειν, ἄλλους ἐλθεῖν ἐκ Μακεδονίας, πεζοὺς μὲν πεντακισχιλίους, ἱππέας δὲ ὀκτακοσίους. ἀφ' ὧν εἴ τις ἀφέλοι τρισχιλίους μὲν πεζοὺς, τριακοσίους δ' ἱππέας, ἐπὶ τὸ πλεῖον ποιῶν τὴν ἀπουσίαν πρὸς τὰς γεγενημένας χρείας· ὅμως πεζοὶ μὲν ἀπολειφθήσονται τετρακισμύριοι δισχίλιοι, [ἱππεῖς δὲ πεντακισχίλιοι.] Τούτων οὖν ὑποκειμένων, φησὶ, τὸν Ἀλέξανδρον πυθέσθαι τὴν Δαρείου παρουσίαν εἰς Κιλικίαν, ἑκατὸν ἀπέ- 1 2 3 4

12. ἄπεν. ἄπιον *Ang. Regii, Veſont.*

XIX. 3. πρὸς τὰς. τῶν πρὸς τὰς *edidit Caſaub. ex conject.* Ibid. *Verba uncis inclusa, in fine verſus, ex conject. adjeci.*

esse adgressos: illum cum suis eorum impetum forti animo excepisse, & vicissim in ipsos invectum atrocem pugnam accendisse. At enim inter duas acies medium fuisse fluvium, & quidem ejusmodi fluvium, qualem paulo ante descripsit, hoc vero *Callisthenes* erat oblitus.

19. Similia his sunt, quæ *de Alexandro* scribit, *quem* ait, *in Asiam trajecisse cum peditum quadraginta, equitum quatuor millibus & quingentis. Deinde quum sibi esset, ut in Ciliciam intraret, supplementum advenisse ei e Macedonia, quinque millia peditum, equites octingentos.* Qua ex multitudine si quis tollat pedites ter mille, equites vero trecentos, ita ut numerum quam maxime augeat eorum, qui propter varios usus potuerunt abesse; relinquentur tamen peditum duo & quadraginta millia, [equitum quinque millia.] His ita positis, narrat CALLISTHENES: *Alexandrum de adventu Darii in Ciliciam certiorem esse factum, quum*

ἀπέχοντα σταδίους ἀπ' αὐτοῦ, διαπεπορευμένον A.V.549. Callisthenis imperitia.
ἤδη τὰ στενά. διόπερ ἐξ ὑποστροφῆς πάλιν ποιεῖσθαι τὴν πορείαν διὰ τῶν στενῶν, ἄγοντα πρῶτον μὲν τὴν φάλαγγα, μετὰ δὲ ταῦτα τοὺς ἱππεῖς, ἐπὶ πᾶσι τὸ σκευοφόρον. ἅμα δὲ τῷ πρῶτον εἰς τὰς εὐρυχωρίας ἐκπεσεῖν, διασκευάζεσθαι παραγγείλαντα πᾶσιν ἐπιπαρεμβαλεῖν τὴν φάλαγγα, καὶ ποιήσασθαι τὸ βάθος αὐτῆς ἐπὶ τριάκοντα καὶ δύο, μετὰ δὲ ταῦτα πάλιν εἰς ἑκκαίδεκα, τὸ δὲ τελευταῖον, εἰσεγγίζοντα τοῖς πολεμίοις, εἰς ὀκτώ. Ταῦτα δ' ἐστὶ μείζω τῶν προειρημένων ἀλογήματα. τοῦ γὰρ σταδίου λαμβάνοντος ἄνδρας ἐν τοῖς πορευτικοῖς διαστήμασιν, ὅταν εἰς ἑκκαίδεκα τὸ βάθος ὦσι, χιλίους ἑξακοσίους, ἑκάστου τῶν ἀνδρῶν ἐξ πόδας ἀπέχοντος· φανερὸν, ὅτι τὰ δέκα στάδια λήψεται

Dd 3 μυρίους

4. διαπεπορευμένον ex noſtra conject. Vulgo διαπορευόμενον. 5. ἐπὶ πᾶσι. ἐπὶ πᾶσι δὲ τὸ σκευοφ Caſaub. invitis mſtis. 7. ὅταν εἰς ἑκκαίδεκα τὸ βάθος. Sic correxi cum Xylandro. Vulgo omnes b. l. ὀκτωκαίδεκα.

quum ab ipſo ſtadia centum diſtaret, poſtquam fauces ipſe jam ſuperaſſet. Propterea converſo itinere iterum per fauces reduxiſſe: & in primo quidem agmine habuiſſe phalangem, proximum huic equitatum, in ultimo agmine impedimenta. Simul ventum in campos patentes, edixiſſe omnibus Alexandrum, ut in legitimum phalangis ordinem inſtruerentur, ſeque manipulis adplicarent; altitudinemque aciei inſtituiſſe, armatorum binûm & tricenûm, poſtea vero ſenûm denûm, poſtremo, ubi jam propius hoſtem venerunt, octonûm. Sed hæc quidem deliria ſunt, prioribus etiam majora. Enimvero ſtadium unum capit homines mille ſexcentos, quoties intervallorum rationes ad faciendum iter ſunt adcommodatæ, ſenis denis altitudinem agminis conſtituentibus, & viro quoque pedes ſenos ab altero diſtante. Quod quum ita ſit, perſpicuum eſt, decem ſtadia pedites captura eſſe ſexies

Digitized by Google

Ol. 143. 3. Callisthenis imperitia.

μυρίους ἑξακισχιλίους, τὰ δὲ εἴκοσι τοὺς διπλασίους. ἐκ δὲ τούτων εὐθεώρητον, ὅτι, καθ' ὃν καιρὸν ἐποίησε τὴν δύναμιν Ἀλέξανδρος ἑκκαίδεκα τὸ βάθος, ἀναγκαῖον ἦν, εἴκοσι σταδίων ὑπάρχειν τὸ τοῦ τόπου διάστημα, καὶ περιτλεύειν ἔτι τοὺς μὲν ἱππεῖς πάντας, τῶν δὲ πεζῶν μυρίους.

XX. Μετὰ δὲ ταῦτα φησὶ, μετωπηδὸν ἄγειν τὴν δύναμιν, ἀπέχοντα τῶν πολεμίων περὶ τετταράκοντα σταδίους. Τούτου δὲ μεῖζον ἀλόγημα δυσχερὲς ἐπινοῆσαι. ποῦ γὰρ ἂν εὕροι τις τοιούτους τόπους, ἄλλως τε καὶ κατὰ Κιλικίαν, ὥστε ἐπὶ σταδίους εἴκοσι μὲν τὸ πλάτος, τετταράκοντα δὲ τὸ μῆκος, μετωπηδὸν ἄγειν φάλαγγα σαρισσοφόρον; τοσαῦται γάρ ἐστιν ἐμπόδια πρὸς τὴν τοιαύτην τάξιν καὶ χρείαν, ἃ τις οὐδ' ἐξαριθμήσαιτο ῥᾳδίως. ἐκ δὲ τῶν ὑπ' αὐτοῦ τοῦ Καλλισθένους λεγομένων ἱκανὸν ὑπάρχει

sexies mille; viginti ſtadia, alterum tantum. Ex quibus facile intelligitur, quando Alexander aciem ſuam ita ordinavit, ut ejus profunditas eſſet militum ſenûm denûm, campos illum eſſe nanciſci oportuiſſe viginti ſtadia patentes; quamquam etiam ſic ſuperfuerint, quos locus non capiebat, equites omnes, cum peditum decem millibus.

20. Deinde vero ait: *Alexandrum, ubi ab hoſte ſtadia circiter quadraginta abfuit, copias ſuas porrecta & æquata fronte in eum duxiſſe.* Quo delirio vix quidem majus aliud queat excogitari. Nam ubi terrarum ejusmodi loca invenias, maxime autem in Cilicia, per quæ loca phalangem, fariſſis armatam, ſtadia viginti in latitudinem porrectam, quadraginta in longitudinem ſtadiis, fronte recta & æquata ducas? Nam ſi quis acie ſic ordinata procedere decreverit; tot ſe illi impedimenta offerent, ut ne percenſere quidem illa facile aliquis valeat. Ad cujus rei faciendam fidem vel illa ſuffecerint, quæ ab ipſo *Calliſthene* dicun-

Digitized by Google

4χει πρὸς πίστιν. τοὺς γὰρ ἀπὸ τῶν ὀρῶν χειμάρ- A.V.549. Calliſthe-
ῥους καταφερομένους τοσαῦτά φησι ποιεῖν ἐκρήγμα- nis impe-
τα κατὰ τὸ πεδίον, ὥστε καὶ τῶν Περσῶν κατὰ ritia.
τὴν φυγὴν διαφθαρῆναι λέγουσι τοὺς πλείστους ἐν
5τοῖς τοιούτοις κοιλώμασι. Νὴ Δί', ἀλλ' ἕτοιμος
ἐβούλετ' εἶναι πρὸς τὴν τῶν πολεμίων ἐπιφάνειαν.
6Τί δ' ἀνετοιμότερον φάλαγγος ἐν μετώπῳ διαλελυ-
μένης καὶ διεστραμμένης; πόσῳ γὰρ ἐκ πορευτικῆς
ἀγωγῆς ἁρμοζούσης παρατάξαι ῥᾴδιον, ἢ διαλελυ-
μένην ἐν μετώπῳ καὶ διεσπασμένην δύναμιν ἐπὶ τὴν
αὐτὴν εὐθεῖαν ἀναγαγεῖν, καὶ συστῆσαι πρὸς μάχην
7ἐν τόποις ὑλώδεσι καὶ περικεκλασμένοις; Διόπερ
οὐδὲ παρὰ μικρὸν ἦν κρεῖττον, ἄγειν διφαλαγγίαν ἢ
τετραφαλαγγίαν ἁρμόζουσαν· εἰ καὶ τόπον πρὸς
πορείαν εὑρεῖν οὐκ ἀδύνατον, καὶ τὸ παρατάξαι τα-
χέως ῥᾴδιόν γε, δυνάμενον διὰ τῶν προδρόμων ἐκ

XX. 7. *τόπον πρὸς πορείαν correxit Caſaub.* τοποποιίας *Herv. Aug. Reg. G. Veſont.* τοποποιείας *Reg. F.*

dicuntur. Qui quidem ait, *torrentes fluvios, qui e montibus cadunt, tot locis hiatus aperire in ſubjecta planitie, ut pars maxima Perſarum fugientium in cavis illis perierit.* At, hercules, voluit Alexander, parata ſuorum ut acies in conſpectum hoſtium veniret. Quaſi vero potuerit quidquam eſſe imparatius ea phalange, cujus frons eſſet diſſoluta & divulſa. Quanto namque facilius erat futurum, ex agmine ad iter compoſito aciem phalangis inſtruere, quam interruptas in fronte & divulſas copias ad priorem figuram lineamque rectam revocare, atque in locis ſylvoſis & anfractis apte ad pugnam eos dirigere? Erat igitur profecto longe ſatius, diviſas copias ducere, in duo vel etiam quatuor agmina partitas, quæ ſe aliud poſt aliud ſequerentur; quandoquidem & viæ ad ita faciendum iter aptæ poterant inveniri, & legitimam repente inſtruere aciem facile erat futurum: quum præſertim per præcurſores ſciri multo

Digitized by Google

Ol. 143. 3. Callisthenis imperitia.

πολλοῦ γινώσκειν τὴν τῶν πολεμίων παρουσίαν. Ὁ δὲ, χωρὶς τῶν ἄλλων, οὐδὲ τοὺς ἱππεῖς προέδετο, μετωπηδὸν ἄγων τὴν δύναμιν ἐν τόποις ἐπιπέδοις· ἀλλ' ἐξ ἴσου ποιεῖ τοῖς πεζοῖς.

XXI. Τὸ δὲ δὴ πάντων μέγιστον· ἤδη γὰρ σύνεγγυς ὄντας τοῖς πολεμίοις αὐτὸν, εἰς ὀκτὼ ποιῆσαί φησι τὸ βάθος. ἐξ οὗ δῆλον, ὅτι κατ' ἀνάγκην ἐπὶ τετταράκοντα σταδίους ἔδει γενέσθαι τὸ μῆκος τῆς φάλαγγος. εἰ δ' ὅλως συνήσπισαν κατὰ τὸν ποιητὴν οὕτως, ὥστε συνερεῖσαι πρὸς ἀλλήλους, ὅμως εἴκοσι σταδίων ἔδει τὸν τόπον ὑπάρχειν. αὐτὸς δὲ φησι, λείπειν τῶν δεκατεσσάρων σταδίων. καὶ τούτου μέρος μέν τι πρὸς θαλάττῃ * * τοὺς ἡμίσεας ἐπὶ τοῦ δεξιοῦ· ἔτι δὲ τὴν ὅλην τάξιν ἀπὸ τῶν ὀρῶν ἱκανὸν τόπον ἀφεστάναι, πρὸς τὸ μὴ τοῖς πολεμίοις ὑποπεπτωκέναι τοῖς κατέχουσι τὰς παρωρείας. ἴσμεν γὰρ

XXI. 5. *Lacunam, post Xylandrum, notavit Casaubonus. Nihil subsidii praestant scripti libri.*

multo ante hostis adventus posset. At hic, ut alia taceam absurda, quum per loca plana exercitum fronte æquata duceret, ne equites quidem præeuntes fecit, sed peditibus eos exæquavit.

21. Omnium vero absurdissimum est, quod ait, *Macedonem, quum proxime ab hostibus abesset, altitudinem aciei fecisse octonûm militum.* Ex quo consequitur, phalangem illam stadia quadraginta necessario in longitudinem patuisse. Sed demus, sic constipatam fuisse aciem, quod ait poëta, ut conferti invicem hærerent; omnino tamen stadiorum viginti locum illum esse oportuit. At ipse ait, *minorem fuisse stadiis quatuordecim.* Et hujus quidem partem aliquam propter mare * * * dimidium hujus numeri in dextro cornu: quin etiam scribit idem, *aciem universam a montibus idoneo spatio fuisse distantem, ne hosti, qui radices montis obtinebat, subjiceretur.* Scimus sane, dicere

Digitized by Google

γὰρ ὁ ποιεῖ πρὸς τούτους ἐπικάμπιον. ὑπολειπόμεθα καὶ νῦν ἡμεῖς τοὺς μυρίους πεζοὺς, πλείους ὄντας τῆς ἐκείνου προθέσεως. ὥστ' ἐκ τούτων ἔνδεκα σταδίους ἐπὶ τὸ πλεῖον ἀπολείπεσθαι τὸ τῆς φάλαγγος μῆκος, κατ' αὐτὸν τὸν Καλλισθένην, ἐν οἷς ἀνάγκη τοὺς τρισμυρίους καὶ δισχιλίους ἐπὶ τριάκοντα τὸ βάθος ὑπάρχειν συνησπικότας. ὁ δὲ φησιν, εἰς ὀκτὼ στεταγμένων γενέσθαι τὴν μάχην. Τὰ δὲ τοιαῦτα τῶν ἁμαρτημάτων οὐδ' ἀπολογίαν ἐπιδέχεται· τὸ γὰρ ἀδύνατον ἐν πράγμασιν * * αὐτόθεν ἔχει τὴν πίστιν. διόπερ, ὅταν καὶ τὰ κατ' ἄνδρα διαστήματα, καὶ τὸ πᾶν τοῦ τόπου μέγεθος ὡρισμένον ὑποθῶσι, καὶ τὸν ἀριθμὸν τῶν ἀνδρῶν, ἀναπολόγητον γίγνεται τὸ ψεῦδος. A.V.549. Callisthenis imperitia.

Dd 5 Τὰ

6. τῆς ἐκείνου προθ. *An* ἐκ τῆς ἐκείνου προθ. qui, secundum ipsius rationem, adfuerunt supra triginta duo millia? 9. *Adposui lacunae signum: quod ni placet, vide an* ἔχει *in* εἶδεν *mutatum malis. Casaubonus pro* ἀδύνατον *interpretatus erat* δυνατὸν.

cere illum, *partem aciei Alexandri in forcipis figuram fuisse reflexam.* Idcirco etiam nos hic relinquimus in eum usum decem peditum millia, qui major est numerus quam ipsius ratio desiderat. Ex istis tandem sequitur, vel ipso auctore Callisthene, pro phalangis longitudine stadia ad summum undecim relinqui; intra quod intervallum necesse est aciem duorum & triginta millium hominum tricenos milites consertis clypeis constipatos in altitudine habuisse. At ille ait, *altitudinem aciei octonûm fuisse hominum, cum est pugnatum.* Sunt vero hoc genus peccata ejusmodi, ut excusationem nullam prorsus admittant. Nam quod per rerum naturam fieri non potest, * * ipsum per se fidem invenit. Quoties igitur aliquis viritim ponit intervallum, & certam loci mensuram designat, numerum item hominum; hic si mentiatur, nulla ratione potest excusari.

22. Iam

Digitized by Google

Ol. 142. 3. XXII. Callisthenis imperitia.

Τὰ μὲν γὰρ ἅμα τούτοις ἀλογήματα μακρὸν ἂν εἴη λέγειν πάντα, πλὴν τελέως ὀλίγων. Φησὶ γὰρ, τὸν Ἀλέξανδρον σπουδάζειν κατὰ τὴν τάξιν, ἵνα κατὰ τὸν Δαρεῖον αὐτὸν ποιήσηται τὴν μάχην. ὁμοίως δὲ κατὰ μὲν ἀρχὰς καὶ τὸν Δαρεῖον αὐτὸν βούλεσθαι κατὰ τὸν Ἀλέξανδρον, ὕστερον δὲ μεταγνῶναι. πῶς δ' ἐπέγνωσαν ἀλλήλους οὗτοι, ποῦ τῆς ἰδίας δυνάμεως ἔχουσι τὴν τάξιν, ἢ ποῦ μετέβη πάλιν ὁ Δαρεῖος, ἁπλῶς οὐδὲν λέγεται. πῶς δὲ προσανέβη πρὸς τὴν ὀφρὺν τοῦ ποταμοῦ Φαλαγγιτῶν τάξις, ἀπότομον οὖσαν καὶ βατώδη; καὶ γὰρ τοῦτο παρὰ λόγον. Ἀλεξάνδρῳ μὲν οὖν οὐκ ἐποιστέον τὴν τοιαύτην ἀτοπίαν ὁμολογουμένην, παραλαμβάνοντας πρὸ αὐτοῦ τὴν ἐν τοῖς πολεμικοῖς ἐμπειρίαν καὶ τριβὴν ἐκ παιδός· τῷ δὲ συγγραφεῖ μᾶλλον, ὃς διὰ

XXII. 4. παρὰ λόγον cum Reiskio correxi. Mendose vulgo παρ' ὀλίγον. 5. παραλαμβάνοντας ex ejusdem Reiskii conjectura. παραλαμβάνετο Reg. G. παραλαμβάνεσθαι Herv. cum ceteris mss. Hinc Casaub. ex ingenio edidit ὁμολογούμενον ὄν, παραλαμβάνεσθαι παρ' αὐτοῦ.

22. Iam quæ his adjècit absurda alia, commemorare longum sit: pauca tantum adferemus. Ait: *Alexandrum in ordinanda acie summo studio id operam dedisse, ut cum ea parte hostilis aciei pugnam capesseret, in qua Darius ipse staret: & similiter Darium quoque initio ex adverso Alexandri pugnare voluisse, mox vero sententiam mutasse.* At, quomodo dignoscere sese invicem reges potuerint, & rescire, in qua parte sui exercitus uterque stationem cepisset, aut quo tandem post mutatam sententiam transierit Darius, nihil plane horum dicitur. Præterea, qui potuit phalanx ordinata amnis supercilium præruptum & spinis obsitum adscendere & superare? Nam & hoc quis credat? Hujusmodi igitur manifestæ absurditatis Alexandrum damnare, nefas profecto fuerit; quem & disciplina & usu rerum bellicarum a puero imbutum fuisse accepimus: sed scriptorem

Digitized by Google

διὰ τὴν ἀπειρίαν οὐδὲ τὸ δυνατὸν καὶ τὸ μὴ δυνατὸν A.V.549.
7 ἐν τοῖς τοιούτοις δύναται διευκρινεῖν. Περὶ μὲν οὖν Ἐφόρου καὶ Καλλισθένους ταῦθ' ἡμῖν εἰρήθω.

(VII.) *Ephorus & Callisthenes vindicantur a Timæi conviciis.*

Κατὰ τοῦ Ἐφόρου Τίμαιος πλείστην πεποίηται XXIII. Ephorum & Callisth. insectatur Timæus.
καταδρομὴν, αὐτὸς ὢν δυσὶν ἁμαρτήμασιν ἔνοχος·
2 τῷ μὲν, ὅτι πικρῶς κατηγορεῖ τῶν πέλας ἐπὶ τούτοις, οἷς ἔνοχος αὐτός ἐστι· τῷ δὲ, διότι καθόλου διέφθαρται τὴν ψυχὴν, τοιαύτας ἀποφάσεις ἐκτιθέμενος ἐν τοῖς ὑπομνήμασιν, καὶ τοιαύτας ἐντίκτων
3 δόξας τοῖς ἐντυγχάνουσι. Πλὴν εἰ τὸν Καλλισθένην θατέρου εἰκότως κολασθέντα μεταλάξαι τὸν βίον, τί χρὴ πάσχειν Τίμαιον; πολὺ γὰρ ἂν δικαιότερον
4 τούτῳ νεμεσήσαι τὸ δαιμόνιον ἢ Καλλισθένει. Ἐκεῖνος μὲν

XXIII. 2. ἐκτιθέμενος ἐν τοῖς ὑπομν. ἐντιθέμενος τοῖς ὑπομν. *Suid. in* Ἔνοχος. 3. ἢ Καλλ. ἢ τῷ Καλλισθ. *Suid.*

ptorem potius, hominem adeo imperitum, ut ne quidem, quid fieri in talibus queat aut nequeat, internoscere potuerit. Ac de *Ephoro* quidem & *Callisthene* hæc a nobis dicta sufficiant.

(VII.) *Excerpt. Valesian.*

23. *Ephorum* autem *Timæus* inprimis vehementer insectatus est, cum ipse duobus peccatis sit obnoxius: uni quidem, quod alios acerbe criminetur ob ea maxime delicta, quibus ipse constringitur; alteri vero, quod ingenio fuerit plane corrupto, qui ejusmodi sententias Commentariis suis prodiderit, easque opiniones animis infuderit legentium. Sed si *Callisthenem* merito pœnas dedisse statuendum est; quid *Timæum* pati oportet? Huic enim multo justius numen infensum fuerit, quam Callistheni.

Digitized by Google

Ol. 143. 3. Timoleontem laudibus effert Timæus.

μὲν οὖν ἀποθεοῦν Ἀλέξανδρον οὐκ ἐβουλήθη· Τίμαιος δὲ μείζω ποιεῖ Τιμολέοντα τῶν ἐπιφανεστάτων θεῶν. καὶ Καλλισθένης μὲν ἄνδρα τοιοῦτον, ὃν πάντες μεγαλοφυέστερον ἢ κατ' ἄνθρωπον γεγονέναι τῇ ψυχῇ συγχωροῦσιν· οὗτος δὲ Τιμολέοντα, τὸν οὐχ οἷον δέξαντά τι πεπραχένεαι μεγαλεῖον, ἀλλ' οὐδ' ἐπιβαλόμενον, μίαν δὲ τῷ βίῳ γραμμὴν διανύσαντα, καὶ ταύτην οὐδὲ σπουδαίαν τρόπον τινὰ πρὸς τὸ μέγεθος τῆς οἰκουμένης, λέγω δὲ τὴν ἐκ τῆς πατρίδος εἰς Συρακούσας. Ἀλλά μοι δοκεῖ πεισθῆναι Τίμαιος, ὡς, ἂν Τιμολέων, περιφιλοδοξηκὼς ἐν αὐτῇ Σικελίᾳ, καθάπερ ἐν ὀξυβάφῳ, σύγκριτος φανῇ τοῖς ἐπιφανεστάτοις τῶν ἡρώων, κἂν αὐτὸς, ὑπὲρ Ἰταλίας μόνον καὶ Σικελίας πραγματευόμενος, εἰκότως παραβολῆς ἀξιωθῆναι τοῖς ὑπὲρ τῆς οἰκουμένης καὶ τῶν καθόλου πράξεων πεποιημένοις τὰς

4. οὐκ ἐβουλήθη ἠβουλήθη Suidas, absque particula negante. Sic voluit Reiskius: addubitasse autem videtur Valesius. 6. ἐπιβαλόμενον. ἐπιβαλόμενον Suid. Ibid. λέγω δὲ. λέγω δὴ idem Suidas. 7. ὡς ἂν Τιμολ. Comma post ὡς interpositi Ernest. ὅταν maluit Reisk.

listheni. Quippe *Callisthenes Alexandrum in deorum numerum referre noluit:* Timæus vero *Timoleontem* supra omnes deos attollit. Et Callisthenes quidem *eum virum, quem omnes præstantiore vi mentis, quam humana ferat conditio, fuisse consentiunt:* hic vero Timoleontem, qui non modo nihil magnificum videtur gessisse, sed ne suscepisse quidem; & qui unicum in tota vita spatium decucurrit, atque illud parum illustre præ orbis terrarum magnitudine, intervallum scilicet, quod est Corintho Syracusas usque. Sed prorsus mihi videtur Timæus persuasum habuisse, si *Timoleon,* qui in sola Sicilia tamquam in acetabulo gloriam captasset, celeberrimis tamen heroibus comparandus esse videretur; ita & seipsum, tametsi de Italia tantum ac Sicilia tractavisset, cum iis scriptoribus merito comparatum iri, qui universi orbis

στὰς συντάξεις. Περὶ μὲν οὖν Ἀριστοτέλους, καὶ A.V.549.
Θεοφράστου, καὶ Καλλισθένους, ἔτι δ' Ἐφόρου καὶ
Δημοχάρους, ἱκανὰ τάδ' ἡμῖν ἐστὶ πρὸς τὴν Τιμαίου
καταδρομήν, ὁμοίως δὲ καὶ πρὸς τοὺς ἀφιλοτίμως
πεπεισμένους ἀληθεύειν τὸν συγγραφέα τοῦτον.

(VIII.) *Timæi & maledicentia in alios, & propria levitas, ex ipsius scriptis elucent.*

✲ ✲ ✲

Οὐ διαπορεῖν ἐστι περὶ τῆς αἱρέσεως Τιμαίου. XXIV.
Φησὶ γὰρ, τοὺς ποιητὰς καὶ συγγραφέας διὰ τῶν Homerus helluo, judice Timæo.
ὑπερέχω πλεοναςμῶν ἐν τοῖς ὑπομνήμασι διαφαίνειν
στὰς ἑαυτῶν φύσεις· λέγων, τὸν μὲν ποιητὴν ἐκ τοῦ
δαιτρεύειν πολλαχοῦ τῆς ποιήσεως ὡσανεὶ γαστρί-
μαργον παρεμφαίνειν· τὸν δ' Ἀριστοτέλην, ὀψαρ- Aristoteles catillo.
τύοντα πλεοναάκις ἐν τοῖς συγγράμμασιν, ὀψοφάγον
ἔσναι

3. τάδ' correxi. *Perperam vulgo* τά δ'.

XXIV. 1. Οὐ διαπορεῖν. *Particulam* negantem, *quæ abest vulgo, adjeci ex conject.* Ibid. τῶν & πλεοναςμῶν *ex Suida accivi. Vulgo* τὸν & πλεοναςμὸν. 2. παρεμφαίναν. *Forſ. adjiciendum* αὐτὸν *vel* ἑαυτὸν.

orbis hiſtoriam condiderunt. Hæc igitur pro Ariſtotele ac Theophraſto & Calliſthene, itemque pro Ephoro ac Demochare, adverſus Timæi convicia dicta ſufficiant, ſimulque adverſus eos, qui hunc ſcriptorem absque ambitione veritatem proferre perſuaſum habent.

✲ ✲ ✲

24. De *Timæi ingenio atque ſtudio* non eſt quod dubitemus. Etenim ipſe dicit: *poëtas & hiſtoricos frequentiori eorumdem rerum in ſcriptis ſuis repetitione ingenia ſua prodere ſolere: & Homerum quidem ex eo, quod adeo frequenter epulas inſtruit in ſuis poëmatibus, helluonem ſeſe ſatis oſtendere: & Ariſtotelem, qui ſuis in commentariis paſſim obſonia condiat, obſonii adpetentem*

Ol.143.3. εἶναι καὶ λίχνον. τὸν αὐτὸν τρόπον ἐπὶ τοῦ Διονυ-3
σίου τοῦ τυράννου, κλινοκοσμοῦντος, καὶ τὰς τῶν
ὑφασμάτων ἰδιότητας καὶ ποικιλίας ἐξεργαζομένου
Timæi leve & morosum ingenium. συνεχῶς. Ἀνάγκη τὴν ἀκόλουθον ποιεῖσθαι διάλη-4
ψιν * * καὶ δυσαρεστεῖσθαι κατὰ τὴν προαίρεσιν.
οὗτος γὰρ ἐν μὲν ταῖς τῶν πέλας κατηγορίαις πολ-5
λὴν ἐπιφαίνει δεινότητα καὶ τόλμαν· ἐν δὲ ταῖς
ἰδίαις ἀποφάσεσιν, ἐνυπνίων καὶ τεράτων καὶ μύθων
ἀπιθάνων καὶ συλλήβδην δεισιδαιμονίας ἀγεννοῦς καὶ
τερατείας γυναικώδους ἐστὶ πλήρης. Οὐ μὴν, ἀλλὰ6
διότι γε συμβαίνει, διὰ τὴν ἀπειρίαν καὶ κακοκρι-
Præsens abest, & videns non videt. σίαν πολλοὺς ἐνίοτε καθάπερ εἰς τὸν παρόντα τρό-
πον τινὰ μὴ παρεῖναι, καὶ βλέποντας μὴ βλέπειν,
ἐκ τῶν εἰρημένων γε νῦν καὶ τῶν Τιμαίῳ συμβεβη-
κότων γέγονε φανερόν.

Περὶ

4. Notam lacunæ *adjeci*, *quam in verf. lat. utcumque fupplevi.* 5. μύθων *ex Suida recepi, pro mendofo* θυμῶν. 6. καθάπερ εἰς τὸν παρόντα. καίπερ παρόντας *fuſpicatus erat Valeſius.* καθάπερ εἰς τόπον παρόντας *ſcripſit Weſſelingius. Si quid mutandum, facilius* τρόπον τινὰ *in* τόπον τινὰ *mutabitur.*

tentem & catillonem fuiſſe. Simili ratione *de Dionyſio* tyranno facit judicium, *qui lectos ornaret diligenter, & velorum bonitatem ac varietatem ſtudioſe inquireret & aſſidue.* Ita vero etiam *de Timæo* conſequenter exiſtimandum eſt, [*& levi &*] *moroſo ingenio illum fuiſſe.* Etenim in aliorum quidem accuſatione multam dicendi vim & audaciam oſtendit: in ſuis vero narrationibus ipſe ſomniis & prodigiis refertus eſt, & fabulis ab omni fide remotis, ac poſtremo degeneri ac muliebri ſuperſtitione. Igitur, *nonnullis præ imperitia ac judicii pravitate uſu venire, ut veluti in re præſente abſint quodammodo, & videntes non videant*, ex his quæ *Timæo* contigiſſe oſtendimus, perſpici poteſt.

25. Agri-

Digitized by Google

A.V.549.

XXV. Phalaridis taurus.

Περὶ τοῦ ταύρου τοῦ χαλκοῦ, τοῦ παρὰ Φαλάριδος κατασκευαθέντος ἐν Ἀκράγαντι, εἰς ὃν ἐνεβίβαζεν ἀνθρώπους, κἄπειτα πῦρ ὑποκαίων ἐλάμβανε τιμωρίαν παρὰ τῶν ὑποτατλομένων τοιαύτην, 2ὥστε, ἐκπυρουμένου τοῦ χαλκοῦ, τὸν μὲν ἄνθρωπον παντα χόθεν παροπτώμενον καὶ περιφλεγόμενον διαφθείρεσθαι, κατὰ δὲ τὴν ὑπερβολὴν τῆς ἀλγηδόνος, ὁπόταν βοήσειεν, μυκηθμῷ παραπλήσιον τὸν ἦχον ἐκ τοῦ κατασκευάσματος προσπίπτειν τοῖς ἀκούου-3σι· τούτου δὲ τοῦ ταύρου κατὰ τὴν ἐπικράτειαν Καρχηδονίων μετενεχθέντος ἐξ Ἀκράγαντος εἰς Καρχηδόνα, καὶ τῆς θυρίδος διαμενούσης περὶ τὰς συνωμίας, δι' ἧς συνέβαινε καθίεσθαι τοὺς ἐπὶ τὴν τιμωρίαν, καὶ ἑτέρας αἰτίας, δι' ἣν ἐν Καρχηδόνι κατεσκευάθη τοιοῦτος ταῦρος, οὐδαμῶς δυναμένης εὑρε-4θῆναι τὸ παράπαν· ὅμως Τίμαιος ἐπεβάλετο καὶ τὴν

Carthaginem translatus.

XXV. 2. παροπτώμενον. *Vulgo male* παροπτόμενον. 3. συνωμίας *correxi auctore Valesio: cum perperam scriptum esset* συνομοσίας. 4. ἐπεβάλετο. *Correxi vulgatum* ἐπίβαλε.

25. Agrigenti *taurus* olim *æneus* fuit, a *Phalaride* fabricatus, in quem ille homines vivos immittebat, ac deinde suppositio igne miseros eo supplicio cruciabat, ut, ære per ignem candefacto, adassiati atque ambusti interirent; ac, si quando præ doloris acerbitate exclamarent, sonus mugienti tauro similis exaudiretur. Hic taurus cum iis temporibus, quibus Pœni Siciliæ imperium obtinebant, *Agrigento Carthaginem* translatus sit, maneatque etiamnum feneſtra circa ejus interscaplia, qua damnati immittebantur; cumque nulla demum alia cauſſa reperiri potuerit, propter quam hujusmodi taurus Carthagine fabricatus sit; nihilo minus *Timæus* communem ac pervulga-

Digitized by Google

Ol. 143. 3. τὴν κοινὴν φήμην ἀνασκευάζειν, καὶ τὰς ἀποφάσεις τῶν ποιητῶν καὶ συγγραφέων ψευδοποιεῖν, φάσκων, μήτ' εἶναι τὸν ἐν Καρχηδόνι ταῦρον ἐξ Ἀκράγοντος, μήτε γεγονέναι τοιοῦτον ἐν τῇ προειρημένῃ πόλει. Καὶ πολλοὺς δέ τινας εἰς τοῦτο τὸ μέρος διατέθειται λόγους, κατὰ τῆς Τιμαίου, τί ποτε δεῖ λέγειν ὄνομα καὶ ῥῆμα· πάντα γὰρ ἐπιδέχεσθαί μοι δοκεῖ τὰ πικρότατα τὸ γένος, οἷς ἐκεῖνος κέχρηται κατὰ τῶν πλησίον. Ὅτι μὲν οὖν ἐστι φιλαπεχθὴς, καὶ ψεύστης, καὶ τολμηρὸς, σχεδὸν ἱκανῶς ἐκ τῶν προειρημένων ὑπεδείχθη· διότι δ' ἀφιλόσοφός ἐστι καὶ συλλήβδην ἀνάγωγος συγγραφεὺς, ἐκ τῶν λέγεσθαι μελλόντων ἔσται συμφανές. Ἐν γὰρ τῇ μιᾷ καὶ εἰκοστῇ βίβλῳ, καὶ ταύτης ἐπὶ τελευτῇ, λέγει κατὰ τὴν τοῦ Τιμολέοντος παράκλησιν ταῦτα· διότι τῆς γῆς, τῆς ὑπὸ τῷ κόσμῳ κειμένης, εἰς τρία μέρη διῃρημένης,

Agrigenti fuisse illum, negat Timæus.

Imperitia Timæi.

5. Καὶ πολλοὺς δέ τινας &c. *Haec Epitomatoris esse verba suspicatus est Valesius. Fortasse autem cum praecedd. fuerant jungenda, & lacunae signum post λόγους inserendum.*

vulgatam famam evertere est adgressus, & poëtarum atque historicorum testimonia falsi convincere. Contendit enim, *taurum, qui Carthagine est, Agrigento advectum non esse, neque ejusmodi taurum Agrigenti umquam exstitisse.* Atque in hanc sententiam multa dicit, adversus illam Timæi, quomodo adpellem nescio: nullum est enim tam acerbum convicium ex his, quibus ille adversus alios utitur, quod huic illius instituto non arbitrer convenire. Rixosum igitur ac mendacem illum fuisse atque impudentem, satis superque in superioribus ostendimus. Quod vero philosophiae imperitus, prorsusque indoctus scriptor fuerit, ex his quae mox dicentur perspicuum fiet. Nam in primo & vicesimo libro, sub finem, in illa *Timoleontis* exhortatione haec ait: „*cum orbis terrarum sit* „*omnis divisus in tres par-*

„*tes,*

Digitized by Google

μένης, καὶ τῆς μὲν Ἀσίας, τῆς δὲ Λιβύης, τῆς δ' A.V.549. Imperitia
8 Εὐρώπης προσαγορευομένης. ταῦτα γὰρ οὐχ οἷον Timæi.
Τίμαιον εἰρηκέναι τις ἂν πιστεύσειεν, ἀλλ' οὐδὲ τὸν
9 λεγόμενον Μαργίτην ἐκεῖνον. τίς γὰρ οὕτως ἐστὶν
ἀδαὴς, οὐ λέγω τῶν πρὸς ὑπομνήμασι γεγονό-
των, * * .

* * *

10 Τὸ μὲν ἐπιτιμῆσαι τοῖς πέλας ἐστὶ ῥᾴδιον· τὸ
δ' αὐτὸν ἀναμάρτητον παρέχεσθαι, χαλεπόν.

(IX.) *Laudes Pacis, nescio quo auctore.*

* * *

Πρῶτον μὲν οἴεται, δεῖν ἀναμνηθῆναι τοὺς συνέ- XXVI.
δρους, διότι κοιμωμένους τὸν ὄρθρον ἐν μὲν τῷ πολέ- Tubæ & galli cantus.
μῳ διεγείρουσιν αἱ σάλπιγγες, κατὰ δὲ τὴν εἰρήνην
2 οἱ ὄρνιθες. Μετὰ δὲ ταῦτα, τὸν Ἡρακλέα, φησὶ, Herculem neminem ultro lædit.
τὸν μὲν Ὀλυμπίων ἀγῶνα θεῖναι καὶ τὴν ἐκεχειρίαν,
δεῖγμα ποιούμενον τῆς αὐτοῦ προαιρέσεως· ὅσοις δ'
ἐπο-

8. Τίμαιον. Τιμολέοντα vulnit Reiskius.

„tes, & alia quidem Asia, „alia autem Africa, tertia „Europa appelletur." Hæc quidem, non dico *Timæum*, sed ne *Margitem* quidem illum protuliſſe, credibile videatur. Quis eſt enim adeo ignarus, non illorum qui hiſtoriis conſcribendis operam dederunt; * * .

* * *

. Alios quidem reprehendere, facile eſt: ſe vero ipſum ab erroribus præſtare immunem, difficile. (Ova Codicis Vrbinatis.)

(IX.) *Excerpt. Antiq. ex Lib.* XII. *Cap.* 14.

* * *

26. Ante omnia iis, qui in concilio aderant, *in memoriam revocandum* cenſuit, *dormientes mane excitari, belli quidem tempore, tubarum cantu; pacis vero, gallorum.* Ait deinde, *ludicrum quidem Olympicum & illas belli ferias inſtituiſſe Herculem, declarantem, quis ſuus eſſet ſenſus, quæ mens animi: iis autem omnibus,*

Digitized by Google

Ol. 143. 3. ἐπολέμησε, τούτους πάντας βεβλαφέναι κατὰ τὴν ἀνάγκην καὶ κατ' ἐπιταγήν, ἑκουσίως δὲ παράπτιον κακοῦ οὐδενὶ γεγονέναι τῶν ἀνθρώπων. Ἐξῆς δὲ τούτοις, παρὰ μὲν τῷ ποιητῇ τὸν Δία παρεισάγεσθαι δυσαρεστούμενον τῷ Ἄρει, καὶ λέγοντα·

Homerus.

Ἔχθιστος δέ μοι ἐσσὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
Αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε, μάχαι τε.

Ὁμοίως δὲ καὶ τὸν φρονιμώτατον τῶν ἡρώων λέγειν·

Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
Ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

Euripides. Ὁμογνωμονεῖν δὲ τῷ ποιητῇ καὶ τὸν Εὐριπίδην, ἐν οἷς φησιν·

Εἰρήνα βαθύπλουτε,
Κάλλιστα μακάρων θεῶν,
Ζῆλός μοι σέθεν. ὡς χρονίζεις!
Δέδοικα δὲ, μὴ
Πρὶν ὑπερβάλῃ με γῆρας,
Πρὶν ἂν χαρίεσσαν προσιδεῖν ὥραν,
Καὶ καλλιχόρους ἀοιδὰς,
Φιλοστεφάνους τε κώμους.

Ἔτι

quibuscum bella gesſit, damna ipſum intuliſſe, neceſſitate compulſum & alieno juſſu; ſponte quidem ſua nemini mortalium ullum umquam detrimentum importaſſe. Subjicit his, *Iovem apud Poëtam induci, Marti ſuccenſentem, ac dicentem:*

Cælicolarum unum eximie te ſemper ego odi,
Quod tibi rixa placet bellumque & prælia ſæva.

Conſentientem his etiam eſſe orationem, quæ heroum prudentiſſimo tribuitur:

Non habet ille tribum, nec ſedem, juraque neſcit,
Quisquis amat durus crudelia prælia Mavis.

Poëtæ autem etiam adſentiri Euripidem, cujus hæc ſunt:

O pax alma, datrix opum,
O pulcerrima cælitum,
Quam te mens fitit! o morata!
Obrepat metuo mihi
Aetas ne mala, te prius
Suavem o quam tuear diem,
Plauſus undique cum ſtrepent,
Cantusque, & chori, amicaque
Comeſſatio floribus.

Ad

6 Ἔτι δὲ πρὸς τούτοις ὁμοιότατον εἶναί φησι τὸν μὲν πόλεμον τῇ νόσῳ, τὴν δ' εἰρήνην τῇ ὑγιείᾳ. ἐν ᾗ μὲν γὰρ καὶ τοὺς κάμνοντας ἀναλαμβάνειν, ἐν ᾧ δὲ καὶ 7 τοὺς ὑγιαίνοντας ἀπόλλυσθαι. καὶ κατὰ μὲν τὴν εἰρήνην τοὺς πρεσβυτέρους ὑπὸ τῶν νέων θάπτεσθαι καὶ 8 τὰ φύσιν, ἐν δὲ τῷ πολέμῳ ταναντία. τὸ δὲ μέγιστον, ἐν μὲν τῷ πολέμῳ μηδ' ἄχρι τῶν τειχῶν εἶναι τὴν ἀσφάλειαν· κατὰ δὲ τὴν εἰρήνην μέχρι τῶν τῆς χώρας ὅρων. καὶ τούτοις ἕτερα παραπλήσια. A.V.549. Bellum morbo, pax sanitati similis.

(X.) *Scriptor Historiarum debet esse in rebus agendis versatus.*

Δυοῖν γὰρ ὄντων κατὰ φύσιν ὡσανεί τινων ὀργάνων ἡμῖν, οἷς πάντα πυνθανόμεθα καὶ πολυπραγμονοῦμεν, ἀκοῆς καὶ ὁράσεως, ἀληθινωτέρας δ' οὔσης οὐ μικρῷ τῆς ὁράσεως κατὰ τὸν Ἡράκλειτον· (ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρ- 2 τυρες·) τούτων Τίμαιος τὴν ἰδίαν μὲν, ἧττω δὲ, τῶν XXVII. Oculi certiores testes auribus. Heraclidi dictum.

Ad hæc, *similimum*, ait, *bellum quidem morbo; pacem vero sanitati: per hanc siquidem & qui ægrotant reficiuntur, per illud etiam sani interimuntur. Accedit, quod vigente pace senes convenienter naturæ sepeliuntur a juvenibus; cujus fit contrarium in bello. Omnium vero maximum illud* esse ait, *quod belli tempore ne muro quidem urbis tenus securitas sperari potest; pacis vero tempore etiam ad fines usque regionis:* & similia istis alia.

(X.) *Excerpt. Antiq. ex Lib.* XII. *Cap.* 15 & 16.

27. Quum *duo* quasi *instrumenta* sint nobis a natura data, quibus rerum omnium cognitionem & capimus, & serio inquirimus, *auditus & visus*, sitque visus non paullo quam auditus verior, ut placet *Heraclito:* (*oculi enim testes*, ait, *sunt certiores auribus:*) harum duarum viarum perveniendi ad rerum notitiam eam solam *Timæus* insti-

Digitized by Google

Ol.143.3. ὁδῶν ὥρμησε πρὸς τὸ πολυπραγμονεῖν. τῶν μὲν γὰρ διὰ τῆς ὁράσεως εἰς τέλος ἀπέστη, τῶν δὲ διὰ τῆς ἀκοῆς ἀντεποιήσατο. καὶ ταύτης μὲν οὔσης * τινος, τοῦ μὲν διὰ τῶν ὑπομνημάτων, τοῦ δὲ δι' ἀνακρίσεως· περὶ τὰς ἀνακρίσεις ῥᾳθύμως ἀνεστράφη, καθάπερ ἐν τοῖς ἀνώτερον ἡμῖν δεδήλωται. Δι' ἣν δ' αἰτίαν ταύτην ἔσχε τὴν αἵρεσιν, εὐχερὲς καταμαθεῖν· ὅτι τὰ μὲν ἐκ τῶν βιβλίων δύναται πολυπραγμονεῖσθαι χωρὶς κινδύνου καὶ κακοπαθείας, ἐάν τις αὐτὸ τοῦτο προνοηθῇ μόνον, ὥστε λαβεῖν ἢ πόλιν ἔχουσαν ὑπομνημάτων πλῆθος, ἢ βιβλιοθήκην που γεγενημένην. λοιπὸν κατακείμενον ἐρευνᾶν δεῖς τὸ ζητούμενον, καὶ συγκρίνειν τὰς τῶν προγεγονότων συγγραφέων ἀγνοίας, ἄνευ πάσης κακοπαθείας. Ἡ δὲ

Commodius ex libris discitur;

XXVII. 3. *μὲν οὔσης τινὸς.* Sic Herv. cum mstis: *quod, quoniam melius nihil succurrebat, servavi, adjecta* defectus vel mendæ nota. *Intercidisse vocab. διμεροῦς, suspicatus est Reiskius.* δὲ οὔσης *dirtῶς ex conject. edidit Casaub.* Ibid. *Libri omnes dant* τοῦ δὲ περὶ τὰς ἀνακρίσεως ῥᾳθύμως ἀνεστράφη. *Verba* δι' ἀνακρίσεως *ex conject. adjecit Casaub.* & ἀνεστράφη *scripsit pro* ἀπεστ.

institit, quæ est jucundior quidem, sed usu inferior. Nam oculis omnino parcens, solas aures in eam rem adhibuit. Iam quum duobus modis sensus audiendi ad rerum perceptionem possit esse usui, si vel aliorum scriptis utaris, vel ipse, quæ scire voles, inquiras; *in inquirendo* quam fuerit *negligens Timæus*, jam antea in præcedentibus est a nobis ostensum. Quæ autem illum impulerit causa, ut ad rerum notitiam consequendam hanc potius viam ingrederetur, quam alteram, facile potest cognosci. Enimvero, quæ *librorum auxilio* paratur cognitio, ea neque periculo ulli est conjuncta, neque vexationi. Vbi namque hoc unum aliquis sibi prospexerit, ut in urbe habitet, copia librorum instructa, vel certe ut aliquam prope se bibliothecam habeat; de cetero jam nihil desideratur aliud, nisi ut vel in lectulo jacens, quodcumque scire voluerit, vestiget, & priorum scriptorum dicta (quod sine molestia ulla potest fieri) inter se conten-

Digitized by Google

6 Ἡ δὲ πολυπραγμοσύνη πολλῆς μὲν προσδεῖται τα- A.V.549.
λαιπωρίας καὶ δαπάνης· μέγα δέ τι συμβάλλεται, certius ex
7 καὶ μέγιστόν ἐστι μέρος τῆς ἱστορίας. Δῆλον δὲ proprio
τοῦτ' ἐστὶν ἐξ αὐτῶν τῶν τὰς συντάξεις πραγμα- usu.
τευομένων. Ὁ μὲν γὰρ Ἔφορός φησιν· εἰ δυνατὸν Ephorus.
ἦν, αὐτοὺς παρεῖναι πᾶσι τοῖς πράγμασι, ταύτην
8 δὴ διαφέρειν πολὺ τῶν ἐμπειριῶν. Ὁ δὲ Θεόπομ- Theo-
πος· τοῦτον μὲν ἄριστον ἐν τοῖς πολεμικοῖς, τὸν pompus.
πλείστοις κινδύνοις παρατετευχότα· τοῦτον δὲ δυ-
νατώτατον ἐν λόγῳ, τὸν πλείστων μετεσχηκότα
9 πολιτικῶν ἀγώνων. Τὸν αὐτὸν δὲ τρόπον συμβαίνει
10 ἐπὶ ἰατρικῆς καὶ κυβερνητικῆς. Ἔτι δὲ τούτων ἐμ- Home-
φαντικώτερον ὁ ποιητὴς εἴρηκε περὶ τούτου τοῦ μέ- rus.
ρους. ἐκεῖνος γὰρ βουλόμενος ὑποδεικνύειν ἡμῖν, οἷον
δεῖ τὸν ἄνδρα τὸν πραγματικὸν εἶναι, προθέμενος
τὸ τοῦ Ὀδυσσέως πρόσωπον, λέγει πως οὕτως·

8. ἐν λόγῳ. ἐν λόγοις malim cum Reisk.

contendat, & errata eorum obſervet. At illa rerum curioſa inquiſitio, quam ſuopte Marte facere aliquis inſtituit, magnis conſtat laboribus, magno ſumtu: cæterum ad hiſtoriam plurimum hæc confert, atque adeo pars illius eſt potiſſima. Manifeſtum hoc cuivis eſſe poteſt vel illorum ipſorum teſtimoniis, qui res geſtas memoriæ mandarunt. Nam EPHORI dictum eſt, *ſi poſſet fieri, ut ipſi, qui ſcribunt, rebus gerendis interveniſſent, hanc demum fore ex omnibus præſtantiſſimam illas cognoſcendi rationem.* Et THEOPOMPVS, *in bellicis quidem rebus*, ait, *ille præſtat omnibus, qui præliis quam plurimis interfuit: inter oratores vero excellit, qui plurimas ipſe cauſſas egit. Eodemque modo ſe res habet in medicina, & in arte nautica.* Sed melius hoc ipſum & ſignificantius Poëta declaravit. Nam ille quum vellet nobis oſtendere, qualem eſſe oporteat virum politicum, & in rerum actu poſitum, perſona Vlyſſis in medium adducta, ſic fere ait:

Muſa

Ol. 143. 3. Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ Πλάγχθη.

Καὶ προβάς·

Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω,
Πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν.

Καὶ ἔτι·

Ἀνδρῶν τε πολέμους, ἀλεγεινά τε κύματα πείρων.

XXVIII. Platonis dictum adplicatur Historiæ.

Δοκεῖ δέ μοι καὶ τὸ τῆς ἱστορίας πρόσχημα τοιοῦτον ἄνδρα ζητεῖν. Ὁ μὲν οὖν Πλάτων φησὶ, τότε τἀνθρώπεια καλῶς ἔξειν, ὅταν ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν, ἢ οἱ βασιλεῖς φιλοσοφήσωσι. Καὶγὼ δ' ἂν εἴποιμι, διότι τὰ τῆς Ἱστορίας ἕξει τότε καλῶς, ὅταν ἢ οἱ πραγματικοὶ τῶν ἀνδρῶν γράφειν ἐπιχειρήσωσι τὰς ἱστορίας· (μὴ, καθάπερ νῦν, παρέργως· νομίσαντες δὲ καὶ τοῦτ' εἶναι σφίσι τῶν ἀναγκαιοτάτων καὶ κάλλιστων, ἀπερισπάστως παράσχωνται πρὸς τοῦτο τὸ μέρος τὰ κατὰ τὸν βίον·) ἢ οἱ

XXVIII. 4. τὰ κατὰ τὸν βίον. τὰ abest a libris: ex conject. adjecit Casaubonus.

Musa virum memora versutum, qui loca multa
Errans lustravit.

Et mox,

Multorum ille hominum mores cognovit & urbes:
Multa tulit qui dura, salo jactatus & undis.

Et alibi,

Qui multa est passus bellans, multa æquora sulcans.

28. Ac mihi sane videtur *Historiæ* etiam *dignitas* virum ejusmodi desiderare. Dicebat olim PLATO, *tunc fore beatas res hominum, quando vel philosophi essent regnaturi, vel reges philosophiæ studiis vacaturi.* Ego vero similiter dixerim, bene tunc *Historiæ* fore consultum, quando aut viri in rebus agendis versati Historias scribere instituerint; (non quidem, ut nunc, neglectim & quasi aliud agentes; sed ita, ut, hoc esse sibi inter maxima atque pulcerrima negotia existimantes, omissis aliis curis huc studium omne suum

Digitized by Google

5 ἢ οἱ γραφεῖν ἐπιβαλλόμενοι, τὴν ἐξ αὐτῶν τῶν A.V.549.
πραγμάτων ἕξιν ἀναγκαίαν ἡγήσωνται πρὸς τὴν
ἱστορίαν. πρότερον δ' οὐκ ἔσται παῦλα τῆς τῶν
6 ἱστοριογράφων ἀγνοίας. Ὧν ὁ Τίμαιος οὐδὲ τὴν Immerita Timæi fama.
ἐλαχίστην πρόνοιαν θέμενος, ἀλλὰ καταβιώσας ἐν
ἑνὶ τόπῳ ξενιτεύων, καὶ σχεδὸν ὡσανεὶ κατὰ πρό-
θεσιν ἀπειπάμενος καὶ τὴν ἐνεργητικὴν τὴν περὶ
τὰς πολεμικὰς καὶ πολιτικὰς πράξεις, καὶ τὴν ἐκ
τῆς πλάνης καὶ θέας αὐτοπάθειαν, οὐκ οἶδ' ὅπως
ἐκφέρεται δόξαν, ὡς ἔλκων τὴν τοῦ συγγραφέως
7 προστασίαν. Καὶ διότι τὸ τῆς ἱστορίας τοιοῦτόν
ἐστιν, αὐτὸν ἀνθομολογούμενον εὐχερὲς παρασχέ-
8 σθαι τὸν Τίμαιον. κατὰ γὰρ τὸ προοίμιον τῆς ἕκτης
βίβλου φησὶ, τινὰς ὑπολαμβάνειν, διότι τινὸς μέι-

 ζονος

5. παῦλα cum Vrſino correxit Caſaub. quum perperam libri πολλὰ darent 6. ὡσανεὶ Caſaubono debetur. ὡς οἱ Herv. cum mſtis Hinc ὡσεὶ Vrſinus. Ibid. τὴν περὶ τὰς. Et hoc correxit Caſaub. cum eſſet τῆς περὶ τὰς. 7. Verba τὸ τῆς ἱστορίας ignorant libri: ex conject. inſeruit Caſaubonus.

ſuum conferant:) aut quando, qui conſcribendas Hiſtorias ſuſcipiunt, in animum induxerint, omnino ei negotio pares ſe numquam futuros aliter, quam ſi prudentiam rerum uſu collectam ſibi paraverint. Quod priusquam eveniat, multa peccandi nullum finem facient, qui Hiſtorias conſcribunt. *Timæus* vero, qui de comparandis ſibi hiſce præſidiis ne minimam quidem curam umquam habuit, ſed uno loco perpetuo ſe continuit, ibique hoſpes vixit, ac velut ex profeſſo propriæ omni experientiæ renunciavit, tam ei quæ ex efficaci uſu rerum bellicarum & civilium, quam ei quæ ex peregrinando & varias regiones viſendo comparatur: hic, inquam, quo pacto præſtantis & gravis Hiſtorici famam obtinuerit, equidem neſcio. Quod autem Hiſtoria ardua cum primis res ſit, confitentem ipſum *Timæum* exhibere facile eſt. Nam is *in libri ſexti proœmio* ſcribit: *non deeſſe, qui exiſtiment, illud ſermonum genus, quod*

Digitized by Google

Ol.143.3. A.V.549. ζονος δεῖται φύσεως καὶ φιλοπονίας καὶ παρασκευῆς τὸ τῶν ἐπιδεικτικῶν λόγων γένος, ἢ τὸ τῆς ἱστορίας· ταύτας δὲ τὰς δόξας πρότερον μὲν Ἐφόρῳ φησὶ προσπεσεῖν. οὐ δυνηθέντος δ' ἱκανῶς ἐκείνου9 πρὸς τοὺς ταῦτα λέγοντας ἀπαντῆσαι, πειρᾶται συγκρίνειν αὐτὸς ἐκ παραβολῆς τὴν ἱστορίαν τοῖς ἐπιδεικτικοῖς λόγοις.

9. πρὸς τοὺς ταῦτα λέγοντας. Et hæc Casaubono debentur. Harvagius cum libris omnibus habet πρὸς ταῦτα λέγοντος.

quod in oſtentatione poſitum eſt, majore ingenio, induſtria & adparatu indigere, quam Hiſtoriam: & addit, *jam olim iſtam ſententiam Ephoro fuiſſe oppoſitam. Qui quum ſatis pro rei dignitate hujus ſententiæ auctoribus reſpondere non potuerit; ipſe Hiſtoriam cum orationibus ad oſtentationem comparatis contendens, ſcriptionem utramque inter ſe conatur comparare.*

ΤΗΣ

Digitized by Google

ΤΗΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΗΣ ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.

RES AETOLORVM.

Ol.143.4. A.V.550.

Οἱ Αἰτωλοὶ, διά τε τὴν συνέχειαν τῶν πολέμων, καὶ διὰ τὴν πολυτέλειαν τῶν βίων, ἔλαθον οὐ μόνον ἄλλους, ἀλλὰ καὶ σφᾶς αὐτοὺς, κατάχρεοι γενηθέντες. Διόπερ οἰκείως διακειμένοι πρὸς καινοτομίαν τῆς οἰκείας πολιτείας, εἵλοντο νομογράφους Δορίμαχον καὶ Σκόπαν· θεωροῦντες τούτους κατά τε τὰς προαιρέσεις κινητικοὺς ὑπάρχοντας, καὶ κατὰ τὰς οὐσίας ἐνδεδεμένους. Οἱ καὶ παραλαβόντες τὴν ἐξουσίαν ταύτην, ἔγραψαν νόμους. I. Aetoli ob æra ti. Dorimachus & Scopas leges ſcribunt Aetolis.

LIBRI DECIMI TERTII HISTORIARVM POLYBII RELIQVIAE.

I.

Excerpt. Valeſian.

1. *Aetoli*, cum ob bellorum aſſiduitatem, tum ob ſuum in privata vita luxum, ſenſim ſenſimque graviſſimum æs alienum contraxerant. Quare, ad res novas animis propenſi, duumviros legibus ſcribendis conſtituerunt *Dorimachum* & *Scopam*; quos & ingenio factioſos eſſe norant, &, quod ad facultates ſpectat, multis nominibus ære alieno obſtrictos. Hi igitur, accepta poteſtate, leges ſcripſere.

2. *Sco-*

Digitized by Google

Ol. 143. 4. II. Scopas Alexandriam se confert.

Σκόπας, ὁ Αἰτωλῶν στρατηγος, ἀποτυχὼν τῆς ἀρχῆς, ἧς χάριν ἐτόλμα γράφειν τοὺς νόμους, μετέωρος ἦν εἰς τὴν Ἀλεξάνδρειαν· ταῖς ἐκεῖθεν ἐλπίσι πεπεισμένος ἀναπληρώσειν τὰ λείποντα τοῦ βίου, καὶ τὴν τῆς ψυχῆς πρὸς τὸ πλεῖον ἐπιθυμίαν. Ἀλλ' ἀκόρεστος ἦν. τούτῳ γὰρ εἰς Ἀλεξάνδρειαν ἀφικομένῳ, πρὸς ταῖς ἐκ τῶν ὑπαίθρων ὠφελείαις, ὧν ἦν αὐτὸς κύριος διὰ τὸ πιστεύεσθαι περὶ τῶν ὅλων, καὶ τῆς ἡμέρας ἑκάστης ὀψώνιον ἐξέθηκε ὁ βασιλεὺς αὐτῷ μὲν δεκαμναῖον, τοῖς δὲ ἐπί τινος ἡγεμονίας μετὰ ταῦτα τεταγμένοις μναιαῖον. ἀλλ' ὅμως οὐκ ἀρκεθεὶς τούτοις, ὡς τὸ πρότερον προσκαρτερῶν τῷ πλείονι διετέλεσε· μέχρι καὶ παρ' αὐτοῖς τοῖς διδοῦσι φθονηθεὶς, τὸ πνεῦμα προσαπέθηκε τῷ χρυσίῳ. Καθά-

Inexplebili est cupiditate.

Cap. II. 1. *μετέωρος. Suidas μετέωρος ἦν. ἀφικόμενος γὰρ εἰς Ἀλεξ.* 2. *ταῖς ἐκεῖθεν. Importune Gronovius edidit ταῖς γὰρ ἐκεῖθεν.* Ibid. *Post ἐπιθυμίαν, inserit Suidas οὐκ ἔστεργε τοῖς παροῦσι.* 3. *Omissis verbis τούτῳ γὰρ εἰς Ἀλεξ. ἀφικ. pergit Suidas πρὸς γὰρ ταῖς ὠφελείαις.* Ibid. *ὑπαίθρων ex Valesii conject. in contexi. recepi. ὑπέρων dabat codex, quod & ex ὑπεναντίων corruptum suspicari licet.* Ibid. *μετὰ ταῦτα. Forsi. μετὰ τοῦτον, ut voluit Reisk.* 4. *ἀρκεθεὶς ex conject. scripsi. ἠρκέθη Suidas in Δεκαμναῖος. Vulgo ἠρκέτο.* Ibid. *ὡς τὸ πρότ. contexi. Vulgo ὃς. Suidas οἷς.*

2. *Scopas*, Aetolorum prætor, frustratus principatu, cujus maxime causſa conſcribere leges auſus fuerat, *Alexandriam* ſpes ſuas direxit; ratus, ſeſe urbis illius opibus inopiam ſuam atque immenſam animi cupiditatem expleturum. Sed revera *cupiditate* erat *inexplebili*. Namque Alexandriam delatus, præter commoda atque emolumenta militiæ, quorum ipſe dominus erat, utpote ſummæ rerum præfectus, in ſingulos dies decem etiam minas ſtipendii nomine ab rege accipiebat; quum ceteris, in inferiori gradu conſtitutis, unica mina daretur. Neque his tamen contentus, plura ſemper, ſicut antea, concupiſcebat: donec ob hujusmodi cupidinem etiam eis ipſis inviſus, qui ei tantas opes largiebantur, auro ſimul ac ſpiritu privatus eſt. *Ex-*

Digitized by Google

A.V.550.

6 Καθάπερ ἐπὶ τῶν ὑδροπικῶν οὐδέποτε ποιεῖ παῦλαν οὐδὲ κόρον ἡ τῶν ἔξωθεν ὑγρῶν παράθεσις, ἐὰν μὴ τὴν ἐν αὐτῷ τῷ σώματι διάθεσιν ὑγιάσῃ τις· 7 τὸν αὐτὸν τρόπον οὐδὲ τὴν πρὸς τὸ πλεῖον ἐπιθυμίαν οἷόν τε κορέσαι, μὴ οὐ τὴν ἐν τῇ ψυχῇ κακίαν λόγῳ τινὶ διορθωσάμενον.

Hydropici.

8 Παρ' οἷς ἔφυ τοῦτο τὸ φυτὸν, οὐδέποτε κατέληξε πρότερον, ἢ μεγάλοις κακοῖς περιβαλεῖν τοὺς ἅπαξ αὐτῷ χρησαμένους.

II.

RES PHILIPPI.

Ἐγένετο περὶ τὴν τοιαύτην κακοπραγμοσύνην· ἣν δὴ βασιλικὴν μὲν οὐδαμῶς οὐδεὶς ἂν εἶναι φήσειεν, ἀναγκαίαν δὲ βούλονται λέγειν ἔνιοι πρὸς τὸν πραγματικὸν

III. Dolus rege indignus.

6. ὑδροπικῶν. ὑδρωπικῶν edidit Erneſt.

III. 1. Ἐγένετο *Libri omnes* ἐγένετό τις. *Delevi pronomen. Forſan fuerat* ἐγένετό τε. *Caſaub. ex conject. edidit* ἐγένοντό τινες.

Excerpt. Antiq. ex Lib. XIII. *Cap.* 1. *init.*

Quemadmodum in eis, qui *aqua intercute* laborant, numquam nec finis nec modus eſt copiæ humorum, qui in exterioribus corporis partibus colliguntur; niſi quis internum morbum prius ſanaverit: ita plane *cupiditatem augendarum opum* exſatiare nemo queat, quin animi vitium ratione correxerit.

Ex Ora Codicis Vrbinatis.

Apud quos ſtirps iſta radices egit, ibi numquam prius ceſſavit, quam magnis calamitatibus eos, qui illa uſi ſunt, impliciſſet.

II.

Excerpt. Antiq. ex Lib. XIII. *Cap.* 1 & 2.

3 Talem *dolum malum* machinabatur: quem quidem regi convenire nemo ſane dixerit; etſi non deſunt, qui in tam crebro uſu hodie doli mali

Ol.143.4. ματικὸν τρόπον, διὰ τὴν νῦν ἐπιπολάζουσαν κακοπραγμοσύνην. Οἱ μὲν γὰρ ἀρχαῖοι πολύ τι τοῦ τοιούτου μέρους ἐκτὸς ἦσαν. τοσοῦτον γὰρ ἀπηλλοτριῶντο τοῦ κακομηχανεῖν περὶ τοὺς φίλους, χάριν τοῦ τῷ τοιούτῳ τρόπῳ συναύξειν τὰς σφετέρας δυναστείας, ὥστ' οὐδὲ τοὺς πολεμίους ᾑροῦντο δι' ἀπάτης νικᾶν· ὑπολαμβάνοντες, οὐδὲν οὔτε λαμπρὸν, οὐδὲ μὴν βέβαιον εἶναι τῶν κατορθωμάτων, ἐὰν μή τις ἐκ τοῦ προφανοῦς μαχόμενος ἡττήσῃ τοὺς ψυχὰς τοὺς ἀντιτατλομένους. Διὸ καὶ συνετίθεντο πρὸς σφᾶς, μήτε ἀδήλοις βέλεσι, μήθ' ἑκηβόλοις χρήσασθαι κατ' ἀλλήλων· μόνην δὲ τὴν ἐκ χειρὸς καὶ συστάδην γιγνομένην μάχην ἀληθινὴν ὑπελάμβανον εἶναι κρίσιν πραγμάτων. ᾗ καὶ τοὺς πολεμους ἀλλήλοις προὔλεγον καὶ τὰς μάχας, ὅτε προθοῖντο διακινδυνεύειν, καὶ τοὺς τόπους, εἰς οὓς μέλλοιεν ἐξιέναι παρασκευάμενοι. Νῦν δὲ καὶ φάυλους φασὶν

Olim aperte, non dolo, gerebantur bella.

2. Οἱ μὲν γὰρ. *Conjunctionem* γὰρ *omisit Casaub. invitis mitis.* Ibid. ἀρχαῖοι *ex conject. scripsi. Vulgo omnes* Ἀχαιοὶ. Ibid. *Vocab.* τρόπῳ *post* τῷ τοιούτῳ *ex conject. adjeci.*

mali neceſſarium eum eſſe dicant ad res gerendas. Nam antiqui quidem homines ab ejusmodi mente quam longiſſime aberant, qui doloſas erga ſocios machinationes imperii amplificandi gratia usque adeo abhorrebant, ut ne hoſtes quidem per fraudem vellent vincere. Quippe qui victoriam nullam neque ſatis illuſtrem, neque ſtabilem ducerent, niſi quis propalam hoſtes adgreſſus, animos ipſis virtute ſua fregiſſet. Propterea convenerat inter ipſos, ut neque occultis telis alter in alterum uterentur, neque miſſilibus e longinquo jactis: ſed cernendi controverſias ſolam putarent legitimam eſſe rationem, cum pede collato pugnatur cominus. Idcirco etiam, quoties armis decertare ſtatuiſſent, & bella & prælia ſibi invicem denunciabant, loca item, ad quæ aciei inſtruendæ cauſſa eſſent venturi. Nunc autem ſi quis

Digitized by Google

φασὶν εἶναι στρατηγοῦ τὸ προφανῶς τι πράττειν A.V.550.
7 τῶν πολεμικῶν. Βραχὺ δέ τι λείπεται παρὰ Ῥω- Ejus rei vestigium apud Romanos.
μαίοις ἴχνος ἔτι τῆς ἀρχαίας αἱρέσεως περὶ τὰ πο-
λεμικά. καὶ γὰρ προλέγουσι τοὺς πολέμους, καὶ
ταῖς ἐνέδραις σπανίως χρῶνται, καὶ τὴν μάχην ἐκ
8 χειρὸς ποιοῦνται καὶ συστάδην. Ταῦτα μὲν οὖν
εἰρήσθω πρὸς τὸν ἐπιπολάζοντα νῦν ὑπὲρ τὸ δέον ἐν
τῇ κακοπραγμοσύνῃ ζῆλον περὶ τοὺς ἡγουμένους,
ἔν τε ταῖς πολιτικαῖς καὶ πολεμικαῖς οἰκονομίαις.

Ὁ δὲ Φίλιππος Ἡρακλείδῃ μὲν, καθάπερ ὑπό- IV. Heraclidem adv. Rhodios subornat Phil.
θεσιν δούς, ἐπέταξε φροντίζειν, πῶς ἂν κακοποιήσῃ
2 καὶ διαφθείρῃ τὰς τῶν Ῥοδίων νῆας· εἰς δὲ τὴν Κρή-
την πρεσβευτὰς ἐξαπέστειλε, τοὺς ἐρεθιοῦντας καὶ
παροξυνοῦντας ἐπὶ τὸν κατὰ τῶν Ῥοδίων πόλεμον.
3 Ὁ δ' Ἡρακλείδης, ἄνθρωπος εὖ πεφυκὼς πρὸς τὸ
κακὸν, ἔρμαιον ἡγησάμενος τὴν ἐπιταγὴν, καὶ διανοηθεὶς

si quis imperator suum aliquod consilium bellicum minus occuluerit, vitio id illi vertunt. Apud Romanos vero adhuc veterum institutorum rei militaris leviter impressa vestigia quædam manent. Nam & bella indicunt, & insidiis raro utuntur, & cominus rem gerentes pugnam edunt statariam. Hæc nos dicta voluimus adversus istud, quod supra modum inter principes viros nunc viget, & ceu mutua æmulatione quadam alitur, *studium dolo malo utendi in administratione rerum* sive civilium, sive bellicarum.

4. Ceterum *Philippus*, postquam veluti argumentum suppeditavit *Heraclidæ*, illum jussit *de modo cogitare, quo posset Rhodios dolo circumvenire & classem eorum corrumpere:* ipse interim legatos in Cretam misit, qui ad bellum contra Rhodios suscipiendum Cretenses irritarent atque impellerent. *Heraclides*, qui ad maleficium egregie a natura effet comparatus, Philippi jussum pro

Digitized by Google

Ol. 143. 4. νοηθεὶς ἄτλα δή ποτ' οὖν παρ' αὐτῷ, μετά τινα χρόνον ὥρμησε, καὶ παρῆν καταπλέων εἰς τὴν Ῥόδον.

Vita & mores Heraclidis. Συνέβαινε δὲ, τὸν Ἡρακλείδην τοῦτον τὸ μὲν γένος ἀνέκαθεν εἶναι Ταραντῖνον, πεφυκέναι δὲ ἐκ βαναύσων καὶ χειροτεχνῶν ἀνθρώπων, μεγάλας δ' ἐσχηκέναι προτερήματα πρὸς ἀπόνοιαν καὶ ῥᾳδιουργίαν. Πρῶτον μὲν γὰρ ἀναφανδὸν τῷ σώματι παρεκέχρητο κατὰ τὴν πρώτην ἡλικίαν· εἶτ' ἀγχίνους ὑπῆρχε καὶ μνήμων, καὶ πρὸς μὲν τοὺς ταπεινοτέρους καταπληκτικώτατος καὶ τολμηρότατος, πρὸς δὲ τοὺς ὑπερέχοντας κολακικώτατος. Οὗτος ἀρχῆθεν μὲν ἐκ τῆς πατρίδος ἐξέπεσε, δόξας τὸν Τάραντα προδοῦναι Ῥωμαίοις, οὐ πολιτικὴν ἔχων δύναμιν, ἀλλ' ἀρχιτέκτων ὑπάρχων, καὶ διά τινας ἐπισκευὰς τῶν τειχῶν κύριος γενόμενος τῶν κλειδῶν τῆς πύλης, τῆς ἐπὶ τὸ μεσόγαιον φερούσης. καταφυγὼν δὲ

IV. 3. ἄτλα δή ποτ'. *Correxi mendosam scripturam* αὐτὰ δήποτ'.

pro lucro deputans, postquam varia consilia animo versassset, post aliquod tempus profectus Rhodum navigavit. Hic enimvero *Heraclides*, quod ad vetustam generis originem, Tarentinus, majoribus erat ortus sordidis, & qui artes sellularias exercerent; ipse ad quodcumque scelus vel flagitium hominis perditi audendum magna præsidia habebat. Primum enim ineunte ætate prostituto palam corpore, impudice vixerat: ad hæc sollertia mentis & memoria valebat: adversus humiles tenuesque terribilis supra modum atque audax, ad demulcendos potentiores adulatorum artes mirifice callebat. Is primo exsulare extorris ab solo patrio fuerat coactus, quod Romanis Tarentum prodere esset visus; non quod inter cives aliquid ipse tunc posset; verum, architectus quum esset, per occasionem reficiendi partem aliquam murorum, claves ejus portæ, qua itur in mediterranea, in potestate tunc habebat. Quum deinde

Digitized by Google

δὲ πρὸς Ῥωμαίους, καὶ πάλιν ἐκεῖθεν γράφων καὶ διαπεμπόμενος εἰς τὸν Τάραντα καὶ πρὸς Ἀννίβαν, ἐπεὶ καταφανὴς ἐγένετο, προαισθόμενος τὸ μέλλον, 8αὖθις ἔφυγε πρὸς τὸν Φίλιππον. παρ' ᾧ τοιαύτην περιεποιήσατο πίστιν καὶ δύναμιν, ὥστε τοῦ καταστραφῆναι τὴν τηλικαύτην βασιλείαν σχεδὸν αἰτιώτατος γεγονέναι. A. V. 550. Vita & mores Heraclidis.

✻ ✻ ✻

V. Heraclides fallit Rhodios.

Διαπιστοῦντες δὲ οἱ Πρυτάνεις ἤδη τῷ Φιλίππῳ διὰ τὴν περὶ τὰ Κρητικὰ κακοπραγμοσύνην, καὶ τὸν Ἡρακλείδην ὑπώπτευον ἐγκάθετον εἶναι.

✻

2 Ὁ δὲ εἰσελθὼν ἀπελογίζετο τὰς αἰτίας, δι' ἃς πεφευγὼς εἴη τὸν Φίλιππον.

✻

3 Πᾶν γὰρ βουληθῆναι τὸν Φίλιππον ἀναδέξασθαι, ἢ καταφανῆ γενέσθαι τὴν ἐν τούτοις αὐτοῦ προαίρεσιν. . . ἢ καὶ τὸν Ἡρακλείδην ἀπέλυσε τῆς ὑποψίας.

Καί

V. 3. ἢ καὶ. ὁ καὶ *malim, ni intercidit nonnihil.* ἤ καὶ *ex conject. posuit Casaub.*

deinde ad Romanos perfugisset, atque inde rursus literas Tarentum & ad Hannibalem mitteret; ubi patuit dolus, exitum rei providens, ad Philippum dehinc aufugit: apud quem eam sibi fidem conciliavit, eo potentiæ crevit, ut evertendi tanti regni præcipua propemodum causa ipse exstiterit.

✻ ✻ ✻

5. Sed *Prytanes*, cum *Philippum* ob perfidiam, qua in rebus Creticis usus erat, suspectum jam haberent, *Heraclidem* quoque dolose ab eo submissum esse suspicabantur. (*Harpocration & Suidas, in* Πρυτάνεις.)

✻

Ille vero ingressus, causas recensuit, cur Philippum fugisset. (*Suid. in* ἀπελογίζ.)

✻

Omnia enim potius pati voluisse *Philippum*, quam in his consilium suum manifestum fieri *Rhodiis*. . . *Quæ* [res, vel quæ epistola] *etiam Heraclidem suspicione liberavit.* (*Suidas in* Ἀναδέξασθαι & Ἀπέλυσε.)

Equi-

Digitized by Google

Ol. 143. 4.

✻ ✻ ✻

Veritas triumphat de mendacio.

Καί μοι δοκεῖ μεγίστην θεὸν τοῖς ἀνθρώποις ἡ Φύσις ἀποδεῖξαι τὴν Ἀλήθειαν, καὶ μεγίστην αὐτῇ προθεῖναι δύναμιν. πάντων γοῦν αὐτὴν καταγωνιζομένων, ἐνίοτε δὲ καὶ πασῶν τῶν πιθανοτήτων μετὰ τοῦ ψεύδους τατλομένων· οὐκ οἶδ' ὅπως αὐτὴ δι' αὐτῆς εἰς τὰς ψυχὰς εἰσδύεται τῶν ἀνθρώπων· καὶ ποτὲ μὲν παραχρῆμα δείκνυσι τὴν αὐτῆς δύναμιν, ποτὲ δὲ πολὺν χρόνον ἐπισκοτισθεῖσα, τέλος αὐτὴ δι' ἑαυτῆς ἐπικρατεῖ, καὶ καταγωνίζεται τὸ ψεῦδος.

✻ ✻ ✻

Damocles.

Δαμοκλῆς, ὁ μετὰ Πυθίωνος πεμφθεὶς κατάσκοπος πρὸς Ῥωμαίους, ὑπηρετικὸν ἦν σκεῦος εὐφυὲς, καὶ πολλὰς ἔχων ἀφορμὰς εἰς πραγμάτων εἰκονομίαν.

III.

✻ ✻ ✻

Equidem existimo, naturam mortalibus *Veritatem* deam constituisse maximam, maximamque illi vim adtribuisse. Nam hæc licet ab omnibus oppugnetur, atque etiam omnes nonnumquam verisimiles conjecturæ a mendacio stent; ipsa tamen per se nescio quomodo in animos hominum sese insinuat, & modo e vestigio illam suam vim exserit, modo, tenebris obtecta longo tempore, ad extremum suapte vi vincit obtinetque, & de mendacio triumphat. (*Excerpt. Antiq. ex Lib.* XIII. *Cap.* 3.)

✻ ✻ ✻

Erat *Damocles* industrius minister, & ad res tractandas apprime utilis. Is tum una cum *Pythione* ad speculanda *Romanorum* consilia fuerat missus. (*Excerpt. Valesian.*)

III.

Digitized by Google

III.

A.V.550.

NABIS, TYRANNVS LACEDÆMONIORVM.

VI. Nabis succedit Machanidæ.

Ὁ δὲ τῶν Λακεδαιμονίων τύραννος Νάβις, ἔτος ἤδη τρίτον ἔχων τὴν ἀρχήν, ὁλοσχερὲς μὲν οὐδὲν ἐπεβάλλετο πράττειν, οὐδὲ τολμᾶν, διὰ τὸ πρόσφατον εἶναι τὴν ὑπὸ τῶν Ἀχαιῶν ἧτταν τοῦ Μαχανίδου· καταβολὴν δ' ἐποιεῖτο, καὶ θεμέλιον ὑπεβάλλετο πολυχρονίου καὶ βαρείας τυραννίδος. Διέφθειρε γὰρ τοὺς λοιποὺς ἄρδην ἐκ τῆς Σπάρτης, ἐφυγάδευε δὲ τοὺς κατὰ πλέον πλούτῳ διαφέροντας· ἢ δόξῃ προγονικῇ, τὰς δὲ τούτων οὐσίας καὶ γυναῖκας διεδίδου τῶν ἄλλων τοῖς ἐπιφανεστάτοις καὶ τοῖς μισθοφόροις. οὗτοι δ' ἦσαν ἀνδροφόνοι, καὶ παρασχίσται, λωποδύται, τοιχωρύχοι. καθόλου γὰρ τοῦτο τὸ γένος ἠθροίζετο πρὸς αὐτὸν ἐπιμελῶς ἐκ τῆς οἰκου-

Sævit Lacedæmone.

VI. 4. παρασχίσται correxi. παρασεχῶται Vrb. παρασχίται edd. cum ceteris codicibus. ῥαχίσται vel ῥαχίται voluit Toup.

III.

Excerpt. Antiq. ex Lib. XIII. *Cap.* 4. 5.

6. *Nabis*, Lacedæmoniorum tyrannus, qui tertium jam annum rerum potiebatur, nihil ille quidem majoris rei adgredi vel moliri audebat, quod recens adhuc effet memoria devicti ab Achæis *Machanidæ:* sed manſuræ diutius ac duræ tyrannidis principia ponebat, & fundamenta jaciebat. Reliquias enim nominis Spartani funditus delebat; eosque, qui opibus aut gloria majorum ceteris præſtabant, ſolum vertere cogebat; horumque fortunas & uxores iis, qui inter reliquos eminebant, & mercenario militi dividebat. Hi autem erant homicidæ, effractores, prædones nocturni, murorum effoſſores. Nam hoc dumtaxat genus hominum, quibus propter impia facinora & ſcelera pedem in patria

Digitized by Google

Ol. 143. 4. Nabis saevit Lacedæmone.

οἰκουμένης, οἷς ἄβατος ἦν ἡ θρέψασα δι' ἀσέβειαν καὶ παρανομίαν. Ὧν προστάτην καὶ βασιλέα αὐτὸν ἀναδείξας, καὶ χρώμενος δορυφόροις καὶ σωματοφύλαξι τούτοις, δῆλον ὅτι ἔμελλε πολυχρόνιον ἕξειν τὴν ἐπ' ἀσεβείᾳ φήμην καὶ δυναστείαν. ὅς γε, χωρὶς τῶν προειρημένων, οὐκ ἐξηρκεῖτο φυγαδεύων τοὺς πολίτας· ἀλλ' οὐδὲ τοῖς φεύγουσιν οὐδεὶς τόπος ἦν ἀσφαλὴς, οὐδὲ καταφυγὴ βέβαιος. τοὺς μὲν γὰρ ἐν ταῖς ὁδοῖς, ἐπαποστέλλων, ἀνῄρει· τοὺς δ' ἐκ τῶν τόπων ἐπαναγαγόντας ἐφόνευε. τὸ δὲ τελευταῖον, ἐν ταῖς πόλεσι ταῖς σύνεγγυς οἰκίας, ὅπου τις τυγχάνοι κατοικῶν τῶν φυγάδων, μισθούμενος δι' ἀνυποπτήτων ἀνθρώπων, εἰς ταύτας εἰσέπεμπε Κρῆτας, οἵ τινες ῥήγματα ποιοῦντες ἐν τοῖς τοίχοις, καὶ διὰ τῶν ὑπαρχουσῶν θυρίδων τοξεύοντες, τοὺς μὲν ἑστῶτας τῶν φυγάδων, τοὺς δ' ἀνακειμένους ἐν ταῖς

5. δῆλον ὅτι. δῆλος ἦν malim. Conjunct. ὅτι ex conject. adjecit Casaubonus. 6. ὅς γε ex conject. scripsi, pro vulgato ὥστε. Ibid. Φυγαδεύων Casaub. ex conj. edidit, cum φυγαδεύειν darent libri.

patria sua ponere non licebat, sedulo *Nabis* toto undique ex orbe terrarum ad se arcessebat. Horum ille patronum & regem quum se constituisset, stipatoresque & satellites eos sibi junxisset; in longum videlicet tempus istorum ope & impietatis suæ famam & dominationem erat extensurus. Quin &, præter illa quæ jam diximus, cives in exilium pellere non contentus, id operam dabat, ne quis exsulibus locus esset tutus, ne ullum perfugium securum. Alios enim, percussoribus submissis, per vias occidebat; alios ab exilio revocatos trucidabat. Postremo in iis urbibus, quas habitabant exsules, conductis per homines nullo modo suspectos vicinis domibus iis, quas ipsi incolerent, Cretenses eo mittebat, qui, parietibus intergerinis effractis, per apertas fenestras exsulum alios stantes, alios decumbentes in

Digitized by Google

9 ταῖς ἰδίαις οἰκίαις διέφθειρον· ὥστε μήτε τόπον εἶναι A.V.550.
μηδένα φεύξιμον, μήτε καιρὸν ἀσφαλῆ τοῖς ταλαι-
10 πώροις Λακεδαιμονίοις. Καὶ δὴ τῷ τοιούτῳ τρόπῳ
τοὺς μὲν πλείστους αὐτῶν ἠφάνισε.

Κατεσκευάσατο δὲ καί τινα μηχανὴν, εἰ μηχα- VII. Novum tormenti genus.
2 νὴν ταύτην χρὴ λέγειν. Ἦν γὰρ εἴδωλον γυναικεῖον, πολυτελέσιν ἱματίοις ἠμφιεσμένον, κατὰ δὲ τὴν μορ-
φὴν εἰς ὁμοιότητα τῇ τοῦ Νάβιδος γυναικὶ διαφό-
3 ρως ἀπειργασμένον. ὁπότε δέ τινας τῶν πολιτικῶν
ἀναπαλέσαιτο, βουλόμενος εἰσπρᾶξαι χρήματα·
τὰς μὲν ἀρχὰς διετίθετο λόγους πλείονας καὶ φιλ-
4 ανθρώπους· ὑποδεικνύων μὲν τὸν ὑπὸ τῶν Ἀχαιῶν
ἐπικρεμάμενον τῇ χώρᾳ καὶ τῇ πόλει φόβον, δια-
σαφῶν δὲ τὸ πλῆθος τῶν μισθοφόρων, τὸ τρεφόμε-
νον τῆς ἐκείνων ἀσφαλείας χάριν, ἔτι δὲ τὰς εἰς
τοὺς θεοὺς καὶ τὰς κοινὰς τῆς πόλεως δαπάνας.

 εἰ μὲν

VII. 2. διαφόρως ἀπειργασμ. Forsan διαφερόντως ἐξειργασμένον.

in ſuis ædibus, ſagittis configebant & necabant; ut miſeris Lacedæmoniis nullus ad perfugium locus ſatis tutus pateret, nullum tempus a periculo eſſet immune. Atque hac ſane ratione plurimos eorum e medio ſuſtulit.

7. Idem *Nabis* machinam quoque, ſi tamen ea machina eſt dicenda, talem ſtruxerat. *Simulacrum muliebre* erat, pretioſis veſtibus adornatum, formæ ſimilitudine Nabidis uxorem arte eximia referens. Quoties civium aliquos tyrannus ad ſe vocabat, ut pecuniis eos emungeret; principio longa oratione eaque perbenigna ipſos compellabat; periculum, quod regioni & urbi ab Achæis immineret, ipſis ob oculos ponebat; quantum ſtipendiariorum numerum ſalutis ipſorum cauſſa aleret, ſignificabat; quantos in ſacris procurandis, aut publicis negotiis, ſumtus

Digitized by Google

Ol.143.4. εἰ μὲν οὖν ἐντρέποιντο διὰ τῶν τοιούτων λόγων, εἶχεν 5 ἀποχρώντως αὐτῷ πρὸς τὸ προκείμενον. Εἰ δέ τι- 6 νες ἐξαρνούμενοι διωθοῖντο τὴν ἐπιταγήν, ἐπεφθέγ-
Apega, Nabidis uxor. γετο λόγον τοιοῦτον· Ἴσως ἐγὼ μὲν οὐ δύναμαί σε πείθειν, Ἀπῆγαν μέντοι ταύτην δοκῶ σε πείσειν. τοῦτο δ' ἦν ὄνομα τῇ γυναικὶ τοῦ Νάβιδος. καὶ τοῦτ' 7 ἔλεγε, καὶ παρῆν, ὃ μικρῷ πρότερον ἔλεγον, εἴδωλον. καὶ δεξιωσάμενος, ἐπειδὰν ἐκ τῆς καθέδρας ἀνέστησε 8 τὴν γυναῖκα, καὶ περιέπτυξε ταῖς χερσὶ, προσήγε-το κατὰ βραχὺ πρὸς τὰ στέρνα. τοὺς δὲ πήχεις 9 εἶχε καὶ τὰς χεῖρας πλήρεις σιδηρῶν γόμφων ὑπὸ τοῖς ἱματίοις, ὁμοίως καὶ κατὰ τοὺς μαστούς. ὅταν 10 οὖν προσήρεισε ταῖς χερσὶ πρὸς τὰ νῶτα τῆς γυ-

ναικὸς,

8 & seqq. *Loco turbato nullum subsidium praestant libri.* προσήγετο *ex conject. scripsit Casaub.* προσηγᾶτο *Herv. cum mestis. Mihi* προσῆγε τῷ κατὰ βραχὺ *videtur legendum.* 10. ὅταν οὖν. *Particulam* οὖν *adjecit idem; &* προσήρεισε *scripsit pro* προσήρισε, *quod est in libris. Versionem latinam ex conject. equidem concinnavi, tamquam esset* Ὅταν οὖν προσήρεισε τὰς χεῖρας τῆς γυναικὸς πρὸς τὰ νῶτα τἀνθρώπου. *Verba* κατ' ἐλάχιστον, *quae vulgo cum seqq. copulantur, ad praecedentia retuli. Non placet autem indicativus verborum modus post* ἐπειδὰν v. 8. *&* post ὅταν v. 10.

tus faceret. Ejusmodi ſermonibus ſi commoverentur, ad deſtinata exſequenda hoc illi ſatis erat. Sin aliqui eſſent, qui, negantes eſſe ſibi opes, detrectarent juſſa; in hæc tum verba tyrannus erumpebat: *Equidem fortaſſe, quod cupio, perſuadere tibi non valeo; Apegam vero hanc* (id nomen Nabidis conjux habebat) *puto tibi perſuaſuram.* Simul hæc ille dicebat, & ſtatim aderat ſimulacrum, de quo ſumus locuti. Tum tyrannus, poſtquam dextra prehenſam mulierem de ſede excitaſſet, & manibus ejus complexus eſſet hominem, paullatim hunc ad pectus mulieris admovebat. Erant autem illi brachia & manus ferreis clavis plena, quos veſtis occultabat: ſimiliter etiam in mammis infixos habuit clavos. Igitur poſtquam manus mulieris in dorſum hominis

Digitized by Google

ναικὸς, κἄπειτα διὰ τῶν ὀργάνων ἑλκόμενον ἐπέτεινε, καὶ προσῆγε πρὸς τοὺς μαστοὺς κατ' ἐλάχιστον, πᾶσαν ἠνάγκαζε φωνὴν προΐεσθαι τὸν πιεζόμενον. 11 Καὶ πολλοὺς δή τινας τῷ τοιούτῳ τρόπῳ διέφθειρε τῶν ἐξαιρουμένων. A.V. 550.

VIII. Nabidis latrocinia.

Καὶ τὰ λοιπὰ δ' ἦν τούτοις ὅμοια καὶ σύστοιχα ἁπάντα τὴν ἀρχήν. Ἐκοινώνει μὲν γὰρ τοῖς Κρησὶ τῶν κατὰ θάλατταν λῃστειῶν· εἶχε δὲ καθ' ὅλην τὴν Πελοπόννησον ἱεροσύλους, ὁδοιδόκους, φονέας, οἷς μερίτης γενόμενος τῶν ἐκ τῆς ῥᾳδιουργίας λυσιτελῶν, ὁρμητήριον καὶ καταφυγὴν παρείχετο τούτοις τὴν Σπάρτην. Πλὴν κατά γε τοὺς καιροὺς τούτους ξένοι τῶν ἀπὸ τῆς Βοιωτίας εἰς τὴν Λακεδαίμονα παρεπιδημήσαντες ἐψυχαγώγησάν τινα τῶν τοῦ Νάβιδος ἱπποκόμων, ὥστε συναποχωρῆσαι μεθ' ἑαυτῶν, ἔχοντα λευκὸν ἵππον, ὃς ἐδόκει γενναιόταOrigo belli cum Achæis.

minis infixiſſet, & organis deinde, quibus inſtructa machina erat, attractum intentumque ſenſim ſenſimque minimis momentis ad mammas mulieris admoviſſet; eum, qui ita premebatur, omnem vocem emittere [omnia aperire] cogebat. Atque hoc modo multos eorum ſuſtulit, qui pecunias dare recuſaverant.

(*Excerpt. Valeſian.*)

8. Reliqua vero erant in ejus imperio his ſimilia ac conſentanea. Maritimarum enim prædationum ſocietatem cum *Cretenſibus* inierat; ac per univerſam Peloponneſum ſacrilegos, latrones & ſicarios ſparſos habebat; quibus ipſe, particeps lucri ſcelere hujusmodi parti, arcem ac refugium Spartam præbebat. Forte iis temporibus peregrini quidam, ex Bœotia Lacedæmonem profecti, quemdam ex Nabidis *equiſonibus* ſollicitaverant, ut cum ipſis una iter faceret, ſumto ſecum equo albo,

Digitized by Google

Ol. 143. 4. Origo belli cum Achæis.

τος εἶναι τῶν ἐκ τῆς τυραννικῆς ἱπποστάσεως. τούτου δὲ πειθέντος καὶ πράξαντος τὸ προειρημένον, καταδιώξαντες οἱ παρὰ τοῦ Νάβιδος εἰς τὴν Μεγάλην Πόλιν, καὶ καταλαβόντες, τὸν μὲν ἵππον εὐθὺς ἀπῆγον καὶ τὸν ἱπποκόμον, οὐδενὸς ἀντιποιουμένου, μετὰ δὲ ταῦτα καὶ τοῖς ξένοις ἐπέβαλον τὰς χεῖρας. οἱ δὲ Βοιωτοὶ τὸ μὲν πρῶτον ἠξίουν ἄγειν αὐτοὺς ἐπὶ τὴν ἀρχήν· οὐδενὸς δὲ προσέχοντος, ἀνεβόα τις τῶν ξένων, Βοήθει. συνδραμόντων δὲ τῶν ἐγχωρίων καὶ μαρτυραμένων τοὺς ἄνδρας ἐπανάγειν ἐπὶ τὴν ἀρχήν, ἠναγκάσθησαν προϊέμενοι τοὺς ἀνθρώπους οἱ παρὰ τοῦ Νάβιδος ἀπελθεῖν. Ὁ δὲ, πάλαι ζητῶν ἀφορμὰς ἐγκλημάτων καὶ πρόφασιν εὔλογον διαφορᾶς, τότε λαβόμενος ταύτης, εὐθέως ἤλαυνε τὰ Προαγόρου θρέμματα καὶ τινων ἑτέρων. ἐξ ὧν ἐγένετο ἀρχὴ τοῦ πολέμου.

IV.

VIII. 7. *πάλαι ex Valesii conject. scripsi, pro vulgato πάλιν.*

albo, qui totius regii ſtabuli generoſiſſimus habebatur. Cum adſenſiſſet equiſo, atque ita feciſſet, miſſi a Nabide ſatellites comprehenſum Megalopoli equiſonem cum equo abduxere, nemine refragante; poſt hæc autem peregrinis etiam manus injecere. At Bœoti initio quidem poſtulabant, ut ad urbis magiſtratum ducerentur: ſed cum nemo commoveretur, quidam ex illis civium fidem implorare contenta voce cœpit. Concurſu repente incolarum facto, cum ad magiſtratum ducendos eſſe omnibus placeret; miſſi a Nabide ſatellites, dimiſſis peregrinis, abſcedere ſunt coacti. At *Nabis*, qui criminandi cauſſas ac ſpecioſum belli prætextum jam pridem quærebat, hunc tum nactus, continuo *Proagoræ* aliorumque armenta abegit: quod principium belli fuit.

IV.

Digitized by Google

IV.

A.V.550.

RES ANTIOCHI IN ARABIA.

1 Χαττηνία, χώρα τρίτη Γερραίων. Πολύβιος ιγ'. Ἔστι δ' ἡ Χαττηνία τἆλλα μὲν λυπρά, κώμαις δὲ καὶ πύργοις διεσκευάσται διὰ τὸ εὔκαιρον τῶν Γερραίων· οὗτοι γὰρ αὐτὴν νέμονται. Ἔστι δὲ τῆς Ἐρυθρᾶς θαλάσσης. IX. Gerræis libertatem concedit Antiochus.

2 Λάβα πόλις, ὡς Σάβα, Χαττηνίας πόλις. Πολύβιος τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν Λαβαῖος, ὡς Σαβαῖος. τῆς αὐτῆς χώρας ἀμφότεραι· ἡ γὰρ Χαττηνία, τῶν Γερραίων ἐστὶ χώρα.

3 Οἱ δὲ Γερραῖοι ἀξιοῦσι τὸν βασιλέα, μὴ καταλύειν τὰ παρὰ τῶν θεῶν αὐτοῖς δεδομένα, τοῦτ' ἔστιν, ἀίδιον εἰρήνην καὶ ἐλευθερίαν. Ὁ δὲ, ἑρμηνευ-

IX. 1. τὸ εὔκαιρον. *τὴν εὐκαιρον dant scripti libri: ex quo pariter τὴν εὐκαιρίαν poterat effici.*

IV.

Ex Stephano Byzantino & Suida.

9. *Chattenia*, regio tertia *Gerræorum*. Polybius XIII. Habet autem Chattenia ceteroquin sterile solum: vicis vero & turribus instructa est, propter Gerræorum, qui eam incolunt, opulentiam. Est autem maris Erythræi. (*Steph. Byz. in* Χαττηνία.)

Labæ oppidum, ut Sabæ; oppidum Chatteniæ. Polybius XIII. Gentile Labæus, ut Sabæus. Ejusdem regionis utrumque est oppidum: nam Chattenia regio est Gerræorum. (*Steph. Byz. in* Λάβα.)

Gerræi vero Regem rogant, ne res a Diis sibi tributas (æternam pacem dicebant, & libertatem) everteret. Ille vero, per interpretem sibi explicata epistola,

Digitized by Google

Ol. 143. 4. Gerræis libertatem concedit Antiochus.

νευθείσης οἱ τῆς ἐπιστολῆς, ἔφη συγχωρεῖν τοῖς ἀξιουμένοις.

✻ ✻ ✻

Αὐτὸς μὲν παρήγγειλε, φείδεσθαι τῆς τῶν Χατ-4 τηνῶν χώρας.

✻ ✻ ✻

Κυρωθείσης δὲ τῆς ἐλευθερίας τοῖς Γερραίοις, 5 ἐστεφάνωσαν παραχρῆμα τὸν Ἀντίοχον τὸν βασιλέα πεντακοσίοις ἀργυρίου ταλάντοις, χιλίοις δὲ λιβανωτοῦ, καὶ διακοσίοις τῆς λεγομένης στακτῆς. Καὶ ἐποίει τὸν πλοῦν ὡς ἐπὶ Τύλον τὴν νῆσον, καὶ ἐποίει τὸν ἀπόπλουν ἐπὶ Σελευκείας. Ἦσαν δὲ τὰ ἀρώματα ἐν τῇ Ἐρυθρᾷ θαλάττῃ.

V.

FRAGMENTA GEOGRAPHICA.

✻

X. Loca Italiæ.

Βάδιζα, πόλις τῆς Βρεττίας. Πολύβιος τρισκαιδε-1 κάτῳ. τὸ ἐθνικὸν Βαδιζαῖος.

Λαμ-

5. πεντακοσίοις ἀργυρίου. *Ante hæc verba intercidisse videtur* auri *mentio.*

X. 1. τῆς Βρεττίας *ex conject. correxi. Vulgo* τῆς Βρεττανίας.

la, respondit, se postulatis eorum annuere. (*Suidas in* Ἀβρούδ.)

✻ ✻ ✻

Iussit ipse, ut parceretur Chattenorum regioni. (*Steph. Byz. in* Χατηνία.)

✻ ✻ ✻

Libertate *Gerræis* confirmata, *Antiochum* regem illi quingentis argenti talentis, thuris mille, guttæ autem, quam *Stacten* vocant, ducentis donarunt, coronæ nomine. Rex vero inde in *Tylum* insulam navigavit; unde Seleuciam navibus est reversus. Erant autem illa *aromata* ad Erythræum mare. (*Suidas in* Στακτή.)

V.

Ex Stephano Byzantino.

✻

10. *Badiza*, oppidum Bruttiorum. Polybius XIII. Gentile Badizæus.

Lam-

Digitized by Google

A.V.550.

2 Λαμπέτεια, πόλις Βρεττίας. Πολύβιος τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν Λαμπετειάτης, ἢ Λαμπετειανός.

3 Μελίτουσσα, πόλις Ἰλλυρίας. Πολύβιος τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν Μελιτουσσαῖος, ἢ Μελιτούσσιος. Illyria.

4 Ἰλατ͂λία, πόλις Κρήτης. Πολύβιος τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν Ἰλάτ͂λιος. Creta.

5 Σίβυρτος, πόλις Κρήτης. Τὸ ἐθνικὸν Σιβύρτιος, ὡς Πολύβιος ἐν τρισκαιδεκάτῳ.

6 Ἀδρεάνη, πόλις Θρακικὴ. Πολύβιος δὲ διὰ τοῦ η τὴν μέσην λέγει, ἐν τρισκαιδεκάτῃ, Ἀδρήνη. τὸ ἐθνικὸν Ἀδρηνήτης. Thracia.

6. Ἀδρηνήτης. *Forf.* Ἀδρηνίτης.

Lampetia [aliâs *Clampetia*], Bruttiorum oppidum. Polybius XIII. Gentile Lampetiates aut Lampetianus.

Melitussa, urbs Illyriæ: de qua Polybius libro XIII. Gentile Melituſſæus vel Melituſſius.

Ilattia, oppidum Cretæ. Polybius XIII. Gentile Ilattius.

Sibyrtus, Cretæ oppidum. Gentile Sibyrtius, ut apud Polybium libro XIII.

Adrane, urbs Thracica. Polybius vero lib. XIII. mediam ſyllabam per *e* longum effert, *Adrene*. Gentile Adrenites.

Martius

Digitized by Google

Ol.143.4.

Ἄρειον πεδίον. Ἔστι καὶ Θρᾴκης ἔρημον πεδίον, χαμαιπετῆ δένδρα ἔχον, ὡς Πολύβιος τρισκαιδεκάτῳ.

Δίγηροι, ἔθνος Θρᾴκιον. Πολύβιος γ'.

Καβύλη, πόλις Θρᾴκης, οὐ πόρρω τῆς τῶν Ἀστῶν χώρας. Πολύβιος τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν Καβιληνός.

Martius campus. Eſt hoc nomine in Thracia quoque campus incultus, in quo arbores humiles ac puſillæ ſunt, auctore Polybio lib. XIII.

Digeri, populus Thracicus. Polybius XIII.

Cabyla, urbs Thraciæ, non longe ab *Aſtarum* regione. Polybius lib. XIII. Gentile Cabilenus.

ΤΗΣ

Digitized by Google

ΤΗΣ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΗΣ ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.

SCIPIO IN AFRICA.

Ol.144.1. A.V.551.

I. Vticam obſidet.

1 Οἱ μὲν οὖν ἄλλοι πάντες περὶ ταύτας ἐγίγνοντο τὰς πράξεις. Ὁ δὲ Πόπλιος ἐν τῇ Λιβύῃ κατὰ τὴν παραχείμασίαν πυνθανόμενος, ἐξαρτύειν στόλον τοὺς Καρχηδονίους, ἐγίγνετο μὲν καὶ περὶ ταύτην τὴν παρασκευήν, οὐχ ἧττον δὲ καὶ περὶ τὴν τῆς

2 Ἰτύκης πολιορκίαν. Οὐ μὴν οὐδὲ τῆς κατὰ τὸν Σύφακα τελέως ἐλπίδος ἀφίστατο· διεπέμπετο δὲ συνε-

Syphacem reconciliare ſperat.

Cap. I. 1. ἐγίγνοντο. ἐγένοντο *Reg. G. & Aug. ex pr. ſcriptura.* 2. ἐγίγνετο *ex Reg. E. adſcivi. Ceteri vulgo* ἐγένετο. 3. Σύφακα. Σόφακα *Herv. conſentientibus omnibus mſtis. Et ſic iſti conſtanter* Σόφ. *non* Σύφ.

LIBRI DECIMI QVARTI HISTORIARVM POLYBII RELIQVIAE.

I.

Excerpt. Antiq. ex Lib. XIV. *Cap.* 1-10.

1. Dum Conſules in his occupantur: interim *P. Scipio*, in Africa hibernans, ubi cognovit *Carthaginienſes* claſſem parare, ad curam rei nauticæ ipſe quoque ſe convertit, ſic tamen, ut in *obſidionem Vticæ* non minus incumberet. Sed nec de *Syphace* ſpem abjecerat: quin

Digitized by Google

Ol.144.1. συνεχῶς, διὰ τὸ μὴ πολὺ ἀφεστάναι τὰς δυνάμεις ἀλλήλων, πεπεισμένος, μετακαλέσειν αὐτὸν ἀπὸ τῆς τῶν Καρχηδονίων συμμαχίας. οὐ γὰρ ἀπεγίνωσκε, καὶ τῆς παιδίσκης αὐτὸν ἤδη κόρον ἔχειν, δι' ἣν εἵλετο τὰ Καρχηδονίων, καὶ καθόλου τῆς πρὸς τοὺς Φοίνικας φιλίας, διά τε τὴν φυσικὴν τῶν Νομάδων ἀψικορίαν, καὶ διὰ τὴν πρός τε τοὺς θεοὺς καὶ τοὺς ἀνθρώπους ἀθεσίαν. Ὧν δὲ περὶ πολλὰ τῇ διανοίᾳ, καὶ ποικίλας ἔχων ἐλπίδας ὑπὲρ τοῦ μέλλοντος, διὰ τὸ κατορρωδεῖν τὸν ἔξω κίνδυνον, τῷ πολλαπλασίους εἶναι τοὺς ὑπεναντίους, ἐπελάβετό τινος ἀφορμῆς τοιαύτης. Τῶν γὰρ διαπεμπομένων πρὸς τὸν Σύφακά τινες ἀνήγγειλαν αὐτῷ, διότι συμβαίνει, τοὺς μὲν Καρχηδονίους ἐκ παντοδαπῶν ξύλων καὶ φυλλάδος ἄνευ γῆς ἐν τῇ παραχειμασίᾳ κατεσκευακέναι τὰς σκηνάς· τῶν δὲ Νομάδων τοὺς μὲν ἐξ ἀρχῆς ἐκ καλάμων, τοὺς δὲ συναγομένους ἐκ τῶν πόλεων

Castra hostium explorat.

7. τοὺς δὲ συναγομ. Forsan τοὺς δ' ἐπισυναγομένους, ut monuit Gron.

quin potius, quia amborum copiæ haud procul invicem distabant, adfidue cum eo per nuncios agebat; persuasus, se posse ipsum a Pœnorum societate revocare. Nam quum solita sint Numidarum ingenia cito fastidire quæ cupide adpetierant, & fidem diis pariter atque hominibus facile mutare; non desperabat Scipio, posse fieri, ut & puellæ, propter quam Carthaginiensibus se adjunxerat, & omnino amicitiæ Pœnorum satietas eum cepisset. Quum autem in varias partes animum versaret, & ancipites de futuro spes haberet, dimicationem in patentibus campis refugiens, eo quod multis partibus plures erant Pœni, oblatam sibi occasionem hujusmodi adripuit. Renunciaverant ei quidam ex iis, quos ad Syphacem miserat, Carthaginienses hibernacula sua ex lignea omnis generis materia, & frondis congerie, nulla terra immista, exædificasse; Numidarum vero illos, qui eo loci primi constiterant, ex arundinibus, illos,

Digitized by Google

πόλεων κατὰ τὸ παρὸν ἐξ αὐτῆς τῆς Φυλλάδος σκη- A.V.551.
νοποιεῖσθαι, τοὺς μὲν ἐντὸς, τοὺς δὲ πλείους αὐτῶν
8 ἐκτὸς τῆς τάφρου καὶ τοῦ χάρακος. Νομίσας οὖν
ὁ Πόπλιος, παραδοξοτάτην μὲν τοῖς πολεμίοις,
πραγματικωτάτην δὲ σφίσιν εἶναι τὴν διὰ τοῦ πυ-
ρὸς ἐπιβολὴν, ἐγένετο περὶ ταύτην τὴν κατασκευήν.
9 Ὁ δὲ Σύφαξ ἐν ταῖς πρὸς τὸν Πόπλιον διαποστο- Syphacem legationibus ludit.
λαῖς ἀεί πως ἐπὶ ταύτην κατήνταν τὴν γνώμην, ὅτι
δέοι Καρχηδονίους μὲν ἐκ τῆς Ἰταλίας ἀπαλλάτ-
τεσθαι, Ῥωμαίους δὲ παραπλησίως ἐκ τῆς Λιβύης,
τὰ δὲ μεταξὺ τούτων ἔχειν ἀμφοτέρους, ὧν τότε
10 κατεῖχον. Ὧν ὁ Πόπλιος ἀκούων, ἐν τοῖς πρὸ τοῦ
χρόνοις οὐδαμῶς ἀνείχετο· τότε δὲ τῷ Νομάδι βρα-
χεῖαν ἔμφασιν ἐποιήσατο διὰ τῶν ἀποστελλομένων,
ὡς οὐκ ἀδυνάτου τῆς ἐπιβολῆς οὔσης, ἧς ἐπιβάλλε-
11 ται. δι' οὗ συνέβη, τὸν Σύφακα κουφισθέντα πολλα-
12 πλασίως ἐπιῤῥωσθῆναι πρὸς τὴν ἐπιπλοκήν. οὗ γιγνο-
μένου,

illos, qui nunc demum ex urbibus eodem conveniebant, e fola fronde tentoria ſtructa habere, partim intra, majorem vero partem extra foſſam vallumque. Ratus itaque *Scipio*, nihil tentari a ſe poſſe, neque magis improviſum hoſti, neque magis conducibile ſuis rationibus, quam ſi igne hoſtes adgrederetur, ad hoc inceptum totus ſe convertit. *Syphax*, quum ad Publium ſæpius mitteret, eo ſemper revolvebatur, ut diceret, *Pœnis Italia, pariterque Romanis Africa eſſe excedendum: quod ad illa, quæ in medio eſſent ſita, permittendam utrique populo poſſeſſionem eorum, quæ uterque jam obtineret.* Quas conditiones *Publius* initio ne auribus quidem admittebat ullo modo: ſed tunc per eos, quos ad *Syphacem* mittebat, levem aliquam ſpem ipſi faciebat, rem poſſe ita, ut ipſe proponebat, convenire. Ita factum, ut Numida, qua fuit levitate, libertatem commeandi ultro citroque multo adhuc libentius, quam ante, & incautius

Digitized by Google

Ol.144.1. μένου, πλείους ἦσαν οἱ διαπεμπόμενοι καὶ πλεονάκις· ἔστι δ' ὅτε καί τινας ἡμέρας ἔμενον παρ' ἀλλήλοις ἀπαρατηρήτως. ἐν αἷς ὁ Πόπλιος ἀεί τινας 13
μὲν τῶν πραγματικῶν, οὓς δὲ καὶ στρατιωτικῶν, ὑποπτῶντας καὶ ταπεινοὺς εἰς δουλικὰς ἐσθῆτας διασκευάζων, μετὰ τῶν ἀποστελλομένων ἐξέπεμπε, χάριν τοῦ τὰς προόδους καὶ τὰς εἰσόδους τὰς εἰς ἑκατέραν τὴν παρεμβολὴν ἀσφαλῶς ἐξερευνῆσαι καὶ κατοπτεῦσαι. Δύο γὰρ ἦσαν στρατοπεδεῖαι, 14
Castra Asdrubalis & Syphacis. μία μέν, ἣν Ἀσδρούβας εἶχε μετὰ πεζῶν τρισμυρίων καὶ τρισχιλίων ἱππέων· ἄλλη δὲ περὶ δέκα σταδίους ἀφεστῶσα ταύτης, ἡ τῶν Νομάδων, ἱππεῖς μὲν εἰς μυρίους ἔχουσα, πεζοὺς δὲ περὶ πεντακισμυρίους. ἡ δὴ καὶ μᾶλλον εὐέφοδος ἦν, καὶ τὰς σκη- 15
νὰς εἶχε τελέως εὐφυεῖς πρὸς ἐμπυρισμόν, διὰ τὸ τοὺς Νομάδας, ὡς ἄρτι εἶπον, μὴ διὰ ξύλων, μηδὲ διὰ

13. προόδους. *Forsan* προσόδους. Ibid. ἐξερευνῆσαι *correxi cum Reisk. Vulgo omnes* ἐξερευνῆσαι.

tius permitteret. Idcirco etiam, dum hæc aguntur, & plures & sæpius ultro citroque sunt missi: interdum vero & dies aliquot alteri in alterorum castris sine ulla cautione habitarunt. Quo tempore *Scipio* cum legatis, quos mitteret, semper aliquos partim spectatæ prudentiæ viros, partim etiam milites, sordido humilique habitu & ad instar servorum concinnatos, proficisci jubebat; qui exitus atque aditus utrorumque castrorum tuto explorarent ac specularentur. Erant enim gemina castra: altera habuit *Asdrubal* cum peditum triginta, equitum tribus millibus: altera castra, decem inde circiter stadia sejuncta, Numidæ habebant, in quibus erant equitum ad decem millia, peditum vero circiter millia quinquaginta. Eratque nempe ad hæc castra facilior aditus quam ad altera, & tabernacula accensu admodum facilia erant; quoniam, ut modo dicebamus, ad tentoria sua exstruenda Numidæ neque ligneam materiam,

Digitized by Google

διὰ γῆς, ἁπλῶς δὲ κάνναις καὶ καλάμοις χρῆσθαι A.V.551.
πρὸς σκηνοποιΐας.

Ἐπειδὴ δὲ τὰ μὲν τῆς ἐαρινῆς ὥρας ὑπέφαινεν II. Molitionem adv. Vticam simulat Scipio.
ἤδη, τῷ δὲ Σκιπίωνι πάντα διηρεύνητο πρὸς τὴν προειρημένην ἐπιβολὴν τὰ κατὰ τοὺς ὑπεναντίους· 2τὰς μὲν νῆας καθεῖλκε, καὶ μηχανὰς κατεσκεύαζε ταύτας, ὡς πολιορκήσων ἐκ θαλάττης τὴν Ἰτύκην· 3τοῖς δὲ πεζοῖς, οὗσιν ὡς δισχιλίοις, κατελάβετο πάλιν τὸν ὑπὲρ τὴν πόλιν κείμενον λόφον, καὶ τοῦ-4τον ὠχυροῦτο καὶ διετάφρευε πολυτίμως· τοῖς μὲν ὑπεναντίοις ποιῶν φαντασίαν, ὡς τοῦτο πράττων τῆς πολιορκίας ἕνεκα, τῇ δ' ἀληθείᾳ βουλόμενος ἐφεδρεύειν τοῖς κατὰ τὸν [illegible] πράξεως καιρὸν, ἵνα μὴ, τῶν στρατοπέδων ἐκ τῆς παρεμβολῆς χωρισθέντων, οἱ τὴν Ἰτύκην παραφυλάττοντες στρατιῶται τολμήσαιεν ἐξελθεῖν ἐκ τῆς πόλεως, ἐγχειρεῖν τε τῷ χάρακι διὰ τὸ σύνεγγυς εἶναι, καὶ πολιορκεῖν τοὺς

II. 2. ταύτας, ὡς πολιορκ. ὡς ταύτας πολιορκ. *volunt Reisk.* 3. πολυτίμως. πολυτελῶς *aut* φιλοτίμως *malim cum eodem Reiskio.*

teriam, neque terram adhibent, sed cannas dumtaxat, sive stoream, & arundines.

2. Posteaquam & ver jam adpetebat, & *Scipio* abunde omnia exploraverat de hostibus, quæ ad id, quod parabat, scire ipsum oporteret; deductas in mare naves machinis instruit, velut ab ea parte *Vticam* oppugnaturus; & duo millia militum ad capiendum, quem antea tenuerat, tumulum super Vticam mittit, eumque impensiore studio munit fossaque præcingit: in speciem, ut hosti persuaderet, ad oppugnationem Vticæ illa se facere; re vera, ut præsidium suis in tempus, quo destinata exsequeretur, prospiceret, ne, ubi legiones castris eduxisset, milites Vticam præsidio tenentes, eruptione facta ex urbe, castra Romana, adeo præsertim Vticæ propinqua, adgredi auderent, & relictas ibi ad custodiam cohortes oppugnarent. Simu

Digitized by Google

Ol. 144. 1. Simul per legatos cum Syphace agit.

τοὺς φυλάττοντας. Ταῦτα δὲ παρασκευαζόμενος, ἅμα διεπέμπετο πρὸς τὸν Σύφακα, πυνθανόμενος, ἐὰν συγχωρῇ τοῖς παρακαλουμένοις, εἰ καὶ Καρχηδονίοις ἔσται ταὐτὰ κατὰ νοῦν, καὶ μὴ πάλιν ἐκεῖνοι φήσουσι βουλεύεσθαι περὶ τῶν συγχωρουμένων. ἅμα δὲ τούτοις προσενετείλατο τοῖς πρεσβευταῖς, μὴ πρότερον ὡς αὐτὸν ἀπιέναι, πρὶν ἢ λαβεῖν ἀπόκρισιν ὑπὲρ τούτων. Ὧν ἀφικομένων, διακούσας ὁ Νομὰς ἐπείθη, διότι πρὸς τὸ συντελεῖν ἐστι τὰς διαλύσεις ὁ Σκιπίων, ἔκ τε τοῦ φάναι τοὺς πρέσβεις, μὴ πρότερον ἀπαλλαγήσεσθαι, πρὶν ἢ λαβεῖν παρ' αὐτοῦ τὰς ἀποκρίσεις, ἔκ τε τοῦ διευλαβεῖσθαι τὴν τῶν Καρχηδονίων συγκατάθεσιν. Διὸ καὶ πρὸς μὲν τὸν Ἀσδρούβαν ἐξαυτῆς ἔπεμπε, διασαφῶν τὰ γιγνόμενα, καὶ παρακαλῶν δέχεσθαι τὴν εἰρήνην· αὐτὸς δὲ ῥᾳθύμως διῆγε, καὶ τοὺς ἐπισυναγομένους Νομάδας ἐκτὸς εἶα τῆς παρεμβολῆς αὐτοῦ κατασκηνοῦν.

5. βουλεύεσθαι. βουλεύσασθαι *Vrb.*

mul hæc parabat *Scipio*, simul legatos ad Syphacem mittebat, qui ex eo quærerent, *si ipse postulatis ejus consentiret, ecquid Pœni etiam forent adsensuri, an rursus de eis, quæ inter ipsos convenisset, deliberare se velle, essent dicturi.* Simul vero Scipio legatos suos ad se prius reverti vetuerat, quam certum responsum esset datum. Qui quum advenissent, *Syphax*, legatione eorum audita, in animum sibi induxit, id studere Cornelium, ut pax conveniret; partim quod negarent illi, se prius redituros, quam responsum ab eo accepissent; partim quod Romanus imperator de consensu Pœnorum esset sollicitus. Igitur, missis legatis qui Asdrubalem omnia edocerent, & simul hortarentur, ut pacem acciperet; ipse interim negligenter & incaute agebat, & subinde recens advenientes Numidas extra castra tendere sinebat.

Publius

Digitized by Google

9 σκηνοῦν. Ὁ δὲ Πόπλιος κατὰ μὲν τὴν ἐπίφασιν A.V.551.
ἐποίει τὸ παραπλήσιον, κατὰ δὲ τὴν ἀλήθειαν ἐν
10 τοῖς μάλιστα περὶ τὰς παρασκευὰς ἦν. Ἐπειδὴ
δὲ παρὰ μὲν τῶν Καρχηδονίων τῷ Σύφακι διεσαφή-
θη, συντελεῖν τὰ κατὰ τὰς συνθήκας, ὁ δὲ Νομὰς,
περιχαρὴς ὤν, εἶπε τοῖς πρεσβευταῖς ὑπὲρ τούτων·
εὐθέως οἱ πρέσβεις ἀπῆεσαν εἰς τὴν ἰδίαν παρεμβο-
λὴν, μηνύσοντες τῷ Ποπλίῳ τὰ πραχθέντα παρὰ
11 τοῦ βασιλέως. Ὧν ἀκούσας ὁ τῶν Ῥωμαίων στρα- Abrumpit legationes.
τηγὸς, αὖθις ἐκ ποδὸς ἔπεμπε πρέσβεις, δηλώσον-
τας τῷ Σύφακι, διότι συμβαίνει, τὸν μὲν Πόπλιον
εὐδοκεῖν καὶ σπουδάζειν ὑπὲρ τῆς εἰρήνης, τοὺς δ' ἐν
τῷ συνεδρίῳ διαφέρεσθαι, καὶ φάναι διαμένειν ἐπὶ τῶν
12 ὑποκειμένων. οἱ καὶ παραγενόμενοι διεσάφησαν ταῦ-
13 τα τῷ Νομάδι. Τὴν δὲ ἀποστολὴν ταύτην ὁ Σκι-
πίων ἐποιήσατο, χάριν τοῦ μὴ δόξαι παρασπονδεῖν,
ἐὰν, ἔτι μενούσης τῆς ὑπὲρ τῶν διαλύσεων ἐπικηρυ-
κείας πρὸς ἀλλήλους, πράξῃ τι τῶν πολεμικῶν ἔρ-
γων.

9. ἐν τοῖς μάλιστα. τοῖς μάλιστα *Herv. cum mstis. Præpositionem ex conj. adjeci. Casaubonus* τὰ μάλιστα *ex conj. edidit.*

Publius interim, quum similis negligentiæ simulatione uteretur, reapse tamen necessaria incepto cum maxime adparabat. Vbi Syphaci renunciatum est a Pœnis, *ut inchoatum pacis negotium ad effectum perduceret*, atque ille, gestiens lætitia, ejus rei certiores legatos fecit; e vestigio illi ad castra Romana, ut regis mandata ad Scipionem perferrent, revertuntur. Quibus acceptis, extemplo imperator retro commeare ad Syphacem legatos jubet, qui dicerent, *Publio quidem conditiones probari, eumque studio pacis duci; sed diversam concilii sententiam esse, cui placeat, in eodem res statu, ac prius erant, manere.* Veniunt legati, &, quod fuerant jussi, Numidæ significant. Propterea autem hos remiserat *Scipio*, ne, si manentibus adhuc induciis, quæ pacis caussa factæ fuerant, hostile aliquid tentaret, fidem violasse

Ol.144.1. γων. γενομένης δὲ τῆς ἀποῤῥήσεως ταύτης, ἅπαν 14
τὸ γιγνόμενον ἀνεπίληπτον ἔξειν ὑπέλαβε τὴν
προαίρεσιν.

III. Syphax deliberat cum Asdrubale. Ὁ δὲ Σύφαξ, ταῦτα διακούσας, ἔφερε μὲν δυσ-
χερῶς, διὰ τὸ προκατηλπικέναι περὶ τῶν διαλύσεων·
συνήει δὲ πρὸς τὸν Ἀσδρούβαν εἰς λόγους, καὶ διε-
σάφει τὰ παρὰ τῶν Ῥωμαίων αὐτῷ προσαγγελ-
μένα. περὶ ὧν πολλὰ διαπορήσαντες ἐβουλεύοντο, 2
πῶς σφίσι καθήκει χρῆσθαι τοῖς ἔξῆς πράγμασι,
πλεῖστον ἀπέχοντες ταῖς ἐννοίαις καὶ ταῖς ἐπιβο-
λαῖς τοῦ μέλλοντος. περὶ φυλακῆς μὲν γὰρ, ἢ τοῦ 3
πείσεσθαί τι δεινὸν, οὐδ' ἠντινοῦν εἶχον πρόληψιν·
περὶ δὲ τοῦ δράσαι τι, καὶ προκαλέσασθαι τοὺς πο-
λεμίους εἰς ὁμαλὸν τόπον, πολλή τις ἦν αὐτῶν ὁρμὴ
καὶ προθυμία. Πόπλιος δὲ κατὰ τὸν καιρὸν τοῦ- 4
Dolum parat Scipio. τον τοῖς μὲν πολλοῖς ὑπεδείκνυε διά τε τῆς παρα-
σκευῆς,

14. ἀποῤῥήσεως ab Vrſino recepit Caſaub. ἐπιῤῥήσεως Herv. cum mſtis.
III. 3. εἰς ὁμαλὸν. εἰς ἰσόμαλον Herv. cum Aug. Med. Reg. F. G. Tubing. & Veſont. εἰς ἰσόμαλον Vrb. Reg. E. Vnde Caſaub. effecit εἰς ἴσον καὶ ὁμαλὸν.

laſſe poſſet videri. Poſt iſtam namque denunciationem liberam ſibi fore quidvis faciendi poteſtatem, neque ulli obnoxiam calumniæ, exiſtimabat.

3. Cum moleſtia *Syphax* hæc accepit, ut qui de pace certam jam ſpem præcepiſſet: ceterum ad colloquendum cum *Aſdrubale* profectus, quem acceperat a Romanis nuncium, illi communicat. Habita eſt inter ipſos ſuper ea re longa conſultatio, qua id unum agitabant, quid deinceps ſibi eſſet faciendum: in qua ſane deliberatione longe illis inita conſilia ab eo, quod erat futurum, aberrarunt. Nam de adhibenda cautione, & de periculis, quæ imminere poſſent, ne minime quidem cogitarunt: quo pacto agerent aliquid, & in planum locum provocarent hoſtem, in id unum magno ſtudio erant intenti. Quæ dum aguntur, *Scipio* ex iis, quæ adparabat, quæque imperabat, multitudinis animis hanc

Digitized by Google

σκευῆς, καὶ τῶν παραγγελμάτων, ὡς κατὰ τῆς A.V.551.
5 Ἰτύκης ἔχων πρᾶξιν· τῶν δὲ χιλιάρχων τοὺς ἐπιτηδειοτάτους καὶ πιστοτάτους καλέσας περὶ μέσον ἡμέρας, ἐξέθηκε τὴν ἐπιβολήν· καὶ παρήγγειλε, δειπνοποιησαμένους καθ' ὥραν ἐξάγειν τὰ στρατόπεδα πρὸ τοῦ χάρακος, ἐπειδὰν κατὰ τὸν ἐθισμὸν οἱ
6 σαλπιγκταὶ σημαίνωσιν ἅμα πάντες. Ἔστι γὰρ Vesperi signa concinunt apud Romanos. ἔθος Ῥωμαίοις, κατὰ τὸν τοῦ δείπνου καιρὸν τοὺς βυκανητὰς καὶ σαλπιγκτὰς πάντας σημαίνειν παρὰ τὴν τοῦ στρατηγοῦ σκηνὴν, χάριν τοῦ τὰς νυκτερινὰς φυλακὰς κατὰ τὸν καιρὸν τοῦτον ἴστασθαι
7 κατὰ τοὺς ἰδίους τόπους. Μετὰ δὲ ταῦτα τοὺς κατασκόπους ἀνακαλεσάμενος, οὓς ἐτύγχανε διαπεμπόμενος εἰς τὰ τῶν πολεμίων στρατόπεδα, συνέκρινε καὶ διηρεύνα τὰ λεγόμενα περί τε τῶν προσβολῶν καὶ τῶν εἰσόδων τῶν εἰς τὰς παρεμβολάς·

6. *βυκανητὰς.* Correxi vulgatum βυκανίτας. Poterat & βυκανιστὰς scribi. 7. προσβολῶν ex conject. posui. πρεσβειῶν Herv. cum mss.tis; quod in πορειῶν mutavit Casaub.

hanc opinionem ingenerabat, quasi capiendæ per proditionem Vticæ spem haberet: at tribunis militum, quos maxime idoneos putabat, & quibus plurimum fidebat, circa meridiem convocatis, suum consilium aperuit; eisque edixit, ut tempori cœnarent, & copias dein extra vallum educerent, ubi signum pro more æneatores simul omnes dedissent. Est enim hæc *Romanis consuetudo*, ut hora cœnæ buccinatores omnes & tubicines juxta prætorium concinant, ad id, ut eo tempore nocturnæ vigiliæ in suis quæque locis & stationibus collocentur. Secundum hæc exploratoribus ad se vocatis, quos in castra Punica sæpius miserat, quæ ab ipsis referebantur de aditibus & de portis castrorum, adcurate inquirebat, & inter se contendebat; in omnibus, quæ diceren-

Digitized by Google

Ol.144.1. χρώμενος ἐπικριτῇ τῶν λεγομένων καὶ συμβούλῳ τῷ Μασσανάσσῃ, διὰ τὴν τῶν τόπων ἐμπειρίαν.

IV. Castra hostium incendit Scipio. Ἐπειδὴ δὲ πάντ' ἦν εὐτρεπῆ τὰ πρὸς τὴν χρείαν αὐτῷ τὴν ἐνεστῶσαν, ἀπολιπὼν τοὺς ἱκανοὺς καὶ τοὺς ἐπιτηδείους ἐπὶ τῆς παρεμβολῆς, ἀναλαβὼν τὰς δυνάμεις, προῆγεν, ἄρτι ληγούσης τῆς πρώτης φυλακῆς· περὶ γὰρ ἑξήκοντα σταδίους ἀπεῖχον οἱ πολέμιοι. συνεγίσας δὲ τοῖς πολεμίοις περὶ τὴν τρίτην φυλακὴν λήγουσαν, Γαΐῳ μὲν Λαιλίῳ καὶ Μασσανάσσῃ τοὺς ἡμίσεις ἀπονείμας τῶν στρατιωτῶν, καὶ πάντας τοὺς Νομάδας, ἐπέταξε, ποιεῖσθαι τὴν προσβολὴν πρὸς τὸν τοῦ Σύφακος χάρακα· παρακαλέσας, ἄνδρας ἀγαθοὺς γενέσθαι, καὶ μηδὲν εἰκῇ πράττειν, σαφῶς εἰδότας, ὅτι, καθ' ὅσον ἐμποδίζει καὶ κωλύει τὰ τῆς ὁράσεως τὸ σκότος, κατὰ τοσοῦτον δεῖ συνεκπληροῦν τῇ διανοίᾳ καὶ τῇ τόλμῃ τὰς νυκτερινὰς ἐπιβολάς. Αὐτὸς δὲ, τὴν λοιπὴν στρατιὰν ἀναλαβὼν, ἐποιεῖτο τὴν ὁρμὴν ἐπὶ τὸν

7. Μασσανάσσῃ. Μασσανασσῇ *dant plerique codd. & b. l. & deinde.*

cerentur, judicium & consilium adhibens *Massanissæ*, utpote illorum locorum periti.

4. Vbi omnia fuerunt expedita, quæ ad ipsius inceptum pertinebant; relicto in castris idoneo selectorum militum præsidio, exeunte prima vigilia cum copiis in hostes, stadia inde sexaginta distantes, ire pergit. Desinente vigilia tertia ad hostes perventum est. Ibi *Scipio* partem alteram copiarum, cum omnibus Numidis, *Lælio* & *Massanissæ* adtribuit, & *castra Syphacis* jussit *invadere;* utrumque prius obtestatus, ut *viros fortes se præberent, nihil temere facerent, meminissent etiam atque etiam, in nocturnis adgressionibus quantum oculis impedimenti & obstaculi ad res gerendas nox adferat, tantum mente & virtute esse explendum.* Ipse reliquum exercitum sumit, & adversus *Asdrubalem* ducit. Erat

au em

τὸν Ἀσδρούβαν. ἦν δὲ αὐτῷ συλλελογισμένον, μὴ πρότερον ἐγχειρεῖν, ἕως ἂν οἱ περὶ τὸν Λαίλιον πρῶτοι τὸ πῦρ ἐμβάλωσι τοῖς πολεμίοις. Οὗτος μὲν, τοιαύτας ἔχων ἐπινοίας, βάδην ἐποιεῖτο τὴν πορείαν· οἱ δὲ περὶ τὸν Λαίλιον, εἰς δύο μέρη σφᾶς αὐτοὺς διελόντες, ἅμα προσέβαλλον τοῖς πολεμίοις. τῆς δὲ τῶν σκηνῶν διαθέσεως οἷον ἐπίτηδες πρὸς ἐμπυρισμὸν κατεσκευασμένης, καθάπερ ἀνώτερον εἶπον· ὡς οἱ προηγούμενοι τὸ πῦρ ἐνέβαλλον, κατανεμηθὲν εἰς τὰς πρώτας σκηνὰς, εὐθέως ἀβοήθητον ἐποίει τὸ κακὸν, διά τε τὴν συνέχειαν τῶν σκηνῶν, καὶ διὰ τὸ πλῆθος τῆς ὑποκειμένης ὕλης. Ὁ μὲν οὖν Λαίλιος, ἔχων ἐφεδρείας τάξιν, ἔμενεν· ὁ δὲ Μασσανάσσης, εἰδὼς τοὺς τόπους, καθ' οὓς ἔμελλον οἱ φεύγοντες τὸ πῦρ ποιήσασθαι τὴν ἀποχώρησιν, ἐν τούτοις ἐπέστησε τοὺς αὐτοῦ στρατιώτας. Τῶν δὲ Νομάδων οὐδεὶς ἁπλῶς συνυπώπτευσε τὸ γεγονὸς, οὐδ'

A.V.551. Castra hostium incendit Scipio.

Gg 3

IV. 4. ἐμβάλωσι. ἐμβάλλωσι *Aug. Reg. F. Vef.* ἐμβάλλουσι *Reg. E.* 5. *Poſt* Οὗτος μὲν *inſerit* γὰρ *Med.* οὖν *malim.* 7. Φεύγοντες. Φεύξοντες *Med.*

autem illi conſtitutum, non prius manum operi admovere, quam Lælius in caſtra hoſtium ignem jam conjeciſſet. Hæc Publius cogitans, preſſo incedebat gradu. *Lælius* & *Maſſaniſſa*, copias inter ſe partiti, hoſtes ſimul ſunt adgreſſi. Quum autem tabernacula eſſent ita confecta, quod ante dicebamus, quaſi de induſtria incendio eſſent præparata; ubi ſemel, qui in primo erant agmine, ignem conjeciſſent, conflagrantibus ſtatim primis tentoriis, cum quod erant tabernacula continua, tum propter ſubjectæ materiæ copiam, nullum prorſus remedium malo poterat adferri. Et *Lælius* quidem, velut ſubſidio relictus, ſubſtiterat: *Maſſaniſſa* vero, qui nota haberet itinera, per quæ evaſuri eſſent qui ignem fugiebant, ſuos milites ad illa loca diſpoſuit. Nemini penitus Numidarum, ac ne *Syphaci* quidem, ulla ſuſpicio ejus,

Digitized by Google

Ol. 144. 1. Castra hostium incendit Scipio.

οὐδ' αὐτὸς ὁ Σύφαξ, ἀλλ' ὡς αὐτομάτως ἐμπεπρησμένου τοῦ χάρακος, ταύτην ἔσχον τὴν διάληψιν. ὅθεν ἀνυποπτήτως οἱ μὲν ἐκ τῶν ὕπνων, οἱ δ' ἀκμὴν ἔτι μεθυσκόμενοι καὶ πίνοντες, ἐξεπήδων ἐκ τῶν σκηνῶν. καὶ πολλοὶ μὲν ὑφ' αὑτῶν περὶ τὰς τοῦ χάρακος ἐξόδους συνεπατήθησαν· πολλοὶ δὲ περικαταληφθέντες ὑπὸ τῆς φλογὸς κατεπρήσθησαν· οἱ δὲ καὶ διαφυγόντες τὴν φλόγα, πάντες εἰς τοὺς πολεμίους ἐμπίπτοντες, οὔθ' ὃ πάσχουσιν, οὔθ' ὃ ποιοῦσι γινώσκοντες, διεφθείροντο.

V. Κατὰ δὲ τὸν καιρὸν τοῦτον οἱ Καρχηδόνιοι, θεωροῦντες τὸ πλῆθος τοῦ πυρὸς καὶ τὸ μέγεθος τῆς ἐξαιρομένης φλογὸς, ὑπολαβόντες αὐτομάτως ἀνῆφθαι τὸν τῶν Νομάδων χάρακα, τινὲς μὲν ἐβοήθουν ἐξαυτῆς· οἱ δὲ λοιποὶ πάντες, ἐκτρέχοντες ἐκ τῆς παρεμβολῆς, ἄνοπλοι συνίσταντο πρὸ τῆς ἰδίας στρατοπεδείας, ἐκπλαγεῖς ὄντες ἐπὶ τοῖς γεγονόσιν.

V. 1. ἐξαιρομένης *correxi. Vulgo omnes* ἐξαιρουμένης.

ejus, quod agebatur, est suborta; sed, vallum sua sponte incensum esse, omnes putabant. Idcirco, ut quibus nihil hostile suspectum esset, pars e cubilibus semisomnes, pars a compotationibus, quibus etiam tum operam dabant, e tabernaculis exsiliebant. Multi, dum extra vallum præcipiti fuga ruunt, a suismet sunt obtriti; multos ab igne correptos flamma hausit: qui flammam effugerant, in hostem incidentes, priusquam scirent, quid paterentur, aut quid agerent, obtruncabantur.

5. Eo tempore Carthaginienses, ignium multitudinem conspicati, & flammæ sursum se attollentis magnitudinem, sua sponte incendium ortum in Numidarum castris quum putarent, partim ad ferendam opem adcurrerunt; reliqui omnes, e castris facto concursu progressi, inermes pro vallo constiterunt, miraculo inopinati

Digitized by Google

3 νοις. Ὁ δὲ Σκιπίων, τῶν πραγμάτων ὡσανεὶ κατ' εὐχὴν αὐτῷ προχωρησάντων, ἐπιπεσὼν τοῖς ἐξελη- A.V.551. Castra hostium incendit Scipio.
λυθόσιν, οὓς μὲν ἐφόνευεν, οὓς δὲ καταδιώκων ἅμα
4 τὸ πῦρ ἐνέβαλλε τοῖς σκηναῖς. Οὗ γενομένου, παραπλήσια συνέβαινε πάσχειν τοὺς Φοίνικας ὑπὸ τοῦ
πυρὸς καὶ τῆς ὅλης περιστάσεως τοῖς ἄρτι ῥηθεῖσι
5 περὶ τῶν Νομάδων. Οἱ δὲ περὶ τὸν Ἀσδρούβαν τοῦ μὲν τῷ πυρὶ βοηθεῖν αὐτόθεν εὐθέως ἀπέστησαν, γνόντες ἐκ τοῦ συμβαίνοντος, ὅτι καὶ περὶ τοὺς Νομάδας οὐκ αὐτομάτως, καθάπερ ὑπέλαβον, ἀλλ' ἐκ τῆς τῶν πολεμίων ἐπιβουλῆς καὶ τόλμης ἐγεγό-
6 νει τὸ δεινόν· ἐγίγνοντο δὲ περὶ τὸ σώζειν ἑαυτούς, βραχείας σφίσι καὶ περὶ τοῦτο τὸ μέρος ἐλπίδος
7 ἔτι καταλειπομένης. Τό τε γὰρ πῦρ ταχέως ἐπενέμετο, καὶ περιελάμβανε πάντας τοὺς τόπους· αἵ τε ὁδοὶ πλήρεις ἦσαν ἵππων, ὑποζυγίων, ἀνδρῶν, τῶν μὲν ἡμιθνήτων καὶ διεφθαρμένων ὑπὸ τοῦ πυρὸς,

7. πλήρεις ἦσαν ἵππων. Correxi cum Reisk. Vulgo ἱππέων.

pinati casus defixi. Tum vero *Scipio*, rebus ipsi quasi ex voto succedentibus, in egressos irruens, alios trucidat, alios persequitur fugientes, eademque opera tentoriis ignem injicit. Quod ut factum, & incendii & universæ hujus calamitatis mala non leviora Pœni sunt experti, quam Numidæ, de quibus modo dicebamus. *Asdrubal*, qui ex rebus ipsis ducta conjectura cognoscebat, non temere neque suis, neque Numidicis castris hunc accidisse casum, sed dolo atque audacia hostium ortum esse incendium, omissa statim opis ferendæ cura, saluti suæ consuluit, quum tenuis jam ejus quoque rei spes ipsi esset relicta. Nam & flamma, velociter per continua serpens, omnia loca occupabat; & omnia itinera strage erant obruta equorum jumentorumque, tum virorum, quorum alii ambusti & semianimes, alii pavore conster-

Ol.144.1. τῶν δὲ ἐξεπτοημένων καὶ παρεστώτων ταῖς διανοίαις· ὥστε καὶ τοῖς ἀνδραγαθεῖν προαιρουμένοις ἐμπόδια ταῦτα γίγνεσθαι, καὶ διὰ τὴν ταραχὴν καὶ σύγχυσιν ἀνέλπιστον εἶναι τὴν σωτηρίαν. Παραπλήσια δὲ τούτοις ἦν καὶ τὰ περὶ τὸν Σύφακα καὶ τοὺς ἄλλους ἡγεμόνας. πλὴν οὗτοι μὲν ἀμφότεροι μετ' ὀλίγων ἱππέων ἐξέσωσαν αὑτούς. αἱ δὲ λοιπαὶ μυριάδες ἀνδρῶν, ἵππων, ὑποζυγίων, ἀτυχῶς μὲν καὶ ἐλεεινῶς ὑπὸ τοῦ πυρὸς ἀπώλυντο· αἰσχρῶς δὲ καὶ ἐπονειδίστως ἔνιοι τῶν ἀνδρῶν, τὴν τοῦ πυρὸς βίαν φεύγοντες, ὑπὸ τῶν πολεμίων διεφθείροντο, γυμνοὶ οὐ μόνον τῶν ὅπλων, ἀλλὰ καὶ τῶν ἱματίων, γυμνοὶ φονευόμενοι. καθόλου δὲ πᾶς ἦν ὁ τόπος οἰμωγῆς, βοῆς ἀτάκτου, φόβου, ψόφου παρηλλαγμένου, σὺν δὲ τούτοις πυρὸς ἐνεργοῦ καὶ φλογὸς ὑπερβαλλούσης πλήθης· ὧν ἓν ἱκανὸν ὂν ἐκπλῆξαι τὴν ἀνθρωπίνην φύσιν,

Cum paucis effugiunt Syphax & Asdrubal.

9. ἐξέσωσαν αὐτούς. αὐτοὺς Casaub. invitis libris. 13. ἱκανὸν ὂν ἱκανὸν ἦν malim.

consternati erant & mentibus alienati; ita quidem, ut etiam, si qui exserendæ virtutis impetum sumerent, ipse tamen tumultus & rerum omnium perturbatio impedimento esset, quo minus sperare salutem possent. Similia his & Syphaci evenerunt & reliquis ducibus. Ceterum *Syphax* & *Asdrubal* periculo sese ambo cum paucis equitibus eripuerunt: cetera vero tot millia virorum, equorum, & jumentorum, infeliciter & miserabiliter sunt igne absumta. Nonnulli, quum turpi atque ignominioso habitu incendium fugerent, manibus hostium periere; qui eos, non solum armis, verum etiam vestimentis nudatos, trucidabant. Omninoque totus locus ejulatu, clamore incondito, metu, immani fragore, ad hæc ignibus late grassantibus & flammarum ingentibus globis erat refertus: quarum rerum vel unica, nedum omnes ita repente ex inopinato obortæ, ad humani

Digitized by Google

Φύσιν, μηδ' ὅτι καὶ πάνθ' ὁμοῦ συγκυρήσαντα πα- A.V.551.
14 ραδόξως. Διὸ καὶ τὸ γεγονὸς οὐδὲ καθ' ὑπερβολὴν εἰκάσαι δυνατὸν οὐδενὶ τῶν ὄντων ἐστίν· οὕτως ὑπερεπεπαίκει τῇ δεινότητι πάσας τὰς προειρημένας
15 πράξεις. ἢ καὶ πολλῶν καὶ καλῶν διειργασμένων Σκιπίωνι, κάλλιστον εἶναί μοι δοκεῖ τοῦτο τοὔργον καὶ παραβολώτατον τῶν ἐκείνῳ πεπραγμένων.

* * *

Οὐ μὴν, ἀλλὰ τῆς ἡμέρας ἐπιγενομένης, καὶ τῶν VI. Victor Scipio in castra redit.
πολεμίων τῶν μὲν ἀπολωλότων, τῶν δὲ προτροπάδην πεφευγότων, παρακαλέσας τοὺς χιλιάρχους,
2 ἐκ ποδὸς ἐπηκολούθει. τὰς μὲν οὖν ἀρχὰς ὁ Καρχηδόνιος ὑπέμενε, καίπερ αὐτῷ προσαγγελίας γενομένης· τοῦτο δ' ἐποίει πιστεύων τῇ τῆς πόλεως ὀχυ-

Gg 5 ρότητι.

14. ὑπερεπεπαίκει *correxit Casaub.* ὑπερπεπαίκει *Vrb. Aug. Reg. E.* ὑπὲρ αἰεὶ πεπαίκει *Herv. cum ceteris mss.* 15. ἢ *cum Reisk. correxi. Mendose vulgo* εἰ καὶ.

humani ingenii conſternationem fuerit ſatis. Itaque ne imagine quidem ulla exprimere id, quod tunc accidit, mortalium quisquam queat, licet omnia ſibi ob oculos ponat, quæ terribilia præ ceteris cenſentur: adeo facinus illud ſpecie quadam horrifica res omnes hactenus commemoratas ſuperat. Quare licet multa præclare facta a Scipione ſint edita; mihi tamen facinus iſtud ex omnibus præclariſſimum, & inſignis cujusdam præ ceteris audaciæ, videtur fuiſſe.

* * *

Ceterum ubi illuxit, *Publius*, hoſtibus partim exſtinctis, partim in effuſam verſis fugam, tribunos militum cohortatus, e veſtigio perſequi reliquias inſtitit. Pœnus venientem initio exſpectavit, etiam poſt acceptum de ejus adventu nuncium: faciebat enim illi animos oppidum, in quo erat, egregie munitum. Sed deinde,

Digitized by Google

Ol.144.1. ρότητι. μετὰ δὲ ταῦτα, συνθεωρήσας τοὺς ἐγχω-3
ρίους στασιάζοντας, καταπλαγεὶς τὴν ἔφοδον τοῦ
Σκιπίωνος, ἔφυγε μετὰ τῶν διασεσωσμένων. οὗτοι
δ' ἦσαν ἱππεῖς μὲν οὐκ ἐλάττους πεντακοσίων, πε-
ζοὶ δὲ περὶ δισχιλίους. Οἱ δ' ἐγχώριοι συμφρονή-4
σαντες, ἐπέτρεψαν περὶ σφῶν αὐτῶν τοῖς Ῥωμαίοις.
ὁ δὲ Πόπλιος τούτων μὲν ἐφείσατο, δύο δὲ τὰς πα-5
ρακειμένας πόλεις ἀφῆκε τοῖς στρατοπέδοις διαρ-
πάζειν· καὶ ταῦτα διαπραξάμενος, αὖθις ἐπὶ τὴν
Consternatio Pœnorum in urbe. ἐξ ἀρχῆς ἐπανήκει παρεμβολήν. Οἱ δὲ Καρχηδό-6
νιοι, παλιντρόπου τῆς ἐλπίδος αὐτοῖς ἀποβαινούσης
πρὸς τὰς ἐξ ἀρχῆς ἐπιβολάς, βαρέως ἔφερον τὸ
γεγενός. ἐλπίσαντες γὰρ πολιορκήσειν τοὺς Ῥω-7
μαίους, συγκλείσαντες εἰς τὴν ἄκραν τὴν πρὸς ἕω
οὖσαν τῆς Ἰτύκης, ἐν ᾗ τὴν παραχειμασίαν ἐποιοῦν-
το, κατὰ γῆν μὲν τοῖς πεζοῖς στρατεύμασι, κατὰ
θάλατ-

VI. 3. οὐκ ἐλάττους. Ant ἐλάττους absque partic. negante, aut οὐ πλείους utique videtur scribendum. 5. ἐπανήκει. ἐπανῄει, ἐπανῆκε aut ἐπανῆγε scribendum monuit Reiskius. 7. πρὸς ἕω οὖσαν. Conjecturam Reiskii expressi. Vulgo omnes τὴν προσοῦσαν.

de, cives res novas moliri conſpicatus, metu imminentis jamjam Scipionis territus, cum ceteris, qui eodem ſeſe e fuga receperant, aufugit: erant autem hi equites fere quingenti, pedites circiter bis mille. Moxque oppidani communi conſenſu Romanis ſeſe dediderunt. Quibus benigne receptis, proximas duas urbes militi diripiendas *Scipio* conceſſit: atque his rebus confectis, ad ſua caſtra, unde profectus erat, eſt reverſus. Carthaginienſes, quibus ſuæ ſpes omnes adeo in contrarium vertebant, & plane ſecus atque ipſi initio ſibi propoſuerant, cladem hanc graviter admodum tulerunt. Sperabant illi, ſe Romanum exercitum in promontorio, quod ab oriente Vticæ eſt, ubi hiberna caſtra habebat, incluſuros oppugnaturosque, a terra quidem terreſtribus, a mari

Digitized by Google

θάλατταν δὲ ταῖς ναυτικαῖς δυνάμεσι, καὶ πρὸς τού- A.V.551.
στοις πάσας ἡτοιμακότες τὰς παρασκευάς· ἅμα
τῷ μὴ μόνον τῶν ὑπαίθρων οὕτως ἀλόγως καὶ πα-
ραδόξως ἐκχωρῆσαι τοῖς ὑπεναντίοις, ἀλλὰ καὶ τὸν
περὶ σφῶν αὐτῶν καὶ τῆς πατρίδος ὅσον οὐκ ἤδη
προσδοκᾶν κίνδυνον, τελέως ἐκπλαγεῖς ἦσαν καὶ πε-
ριφοβοι ταῖς ψυχαῖς. Οὐ μὴν, ἀλλὰ τῶν πραγμά- Delibe-
των ἀναγκαζόντων ποιεῖσθαι πρόνοιαν καὶ βουλὴν rant
ὑπὲρ τοῦ μέλλοντος, ἦν τὸ συνέδριον ἀπορίας καὶ Pœni.
ποικίλων καὶ τεταραγμένων ἐπινοημάτων πλῆρες.
οἱ μὲν γὰρ ἔφασαν, δεῖν πέμπειν ἐπὶ τὸν Ἀννίβαν,
καὶ καλεῖν ἐκ τῆς Ἰταλίας, ὡς μιᾶς ἔτι καταλει-
πομένης ἐλπίδος τῆς ἐν ἐκείνῳ τῷ στρατηγῷ, καὶ
ταῖς μετ' ἐκείνου δυνάμεσιν· οἱ δὲ, διαπρεσβεύεσθαι
πρὸς τὸν Πόπλιον ὑπὲρ ἀνοχῶν, καὶ λαλεῖν ὑπὲρ
διαλύσεων καὶ συνθηκῶν· ἕτεροι δὲ, θαῤῥεῖν καὶ συν-
άγειν τὰς δυνάμεις, καὶ διαπέμπεσθαι πρὸς τὸν Σύ-
φακα.

7. πρὸς τούτοις. πρὸς τοῦτο malim cum Reisk.

a mari vero nauticis copiis, ſuosque omnes adparatus ad hoc inceptum retulerant: nunc vero adeo præter omnem rationem & cunctorum opinionem in tecta e locis apertis concedere compulſi, & hoc amplius, de ſua & patriæ ſuæ ſalute jamjam ſe periclitaturos nihil dubitantes, metu penitus perculſi, animis conſternabantur. Et quum ipſa rerum neceſſitate adacti proſpicere in poſterum, ac quid eſſet facto opus conſultare conarentur; ſenatus inopia conſilii hærebat, & variis perturbatisque conſiliis diſtringebatur. Erant, qui cenſerent, *ad Hannibalem mittendum, eumque ex Italia eſſe arceſſendum, ceu ſpe illa unica relicta, quam in eo imperatore & in ejus exercitu ponerent.* Alii, *petendas a Scipione induciias per legatos*, dicebant, *& cum eo eſſe agendum de finiendo bello ac pace facienda.* Nec vero deerant, qui *bono animo eſſe omnes* juberent, *exercitum conſcribi* decernerent, *&*

ad

Digitized by Google

Ol. 144. 1. Abba oppidum.

φακα. καὶ γὰρ πλησίον αὐτὸν εἰς τὴν Ἄββαν ἀπο- 12
κεχωρηκέναι, συναθροίζειν δὲ τοὺς ἀπὸ τοῦ κινδύνου
διαφυγόντας. καὶ δὴ καὶ τέλος αὕτη τῶν γνωμῶν
ἐπεκράτησεν. Οὗτοι μὲν οὖν τάς τε δυνάμεις ἠθροι- 13
ζον, ἐκπέμψαντες τὸν Ἀσδρούβαν· καὶ διεπέμψαντο
πρὸς τὸν Σύφακα, δεόμενοι σφίσι βοηθεῖν, καὶ
μένειν ἐπὶ τῶν ὑποκειμένων κατὰ τὴν ἐξ ἀρχῆς πρό-
θεσιν, ὡς αὐτίκα μάλα τοῦ στρατηγοῦ μετὰ τῶν
δυνάμεων πρὸς αὐτὸν συνάψοντος.

VII. Pœni reparant vires.

Ὁ δὲ τῶν Ῥωμαίων στρατηγὸς ἐγίγνετο μὲν καὶ
περὶ τὴν τῆς Ἰτύκης πολιορκίαν· τὸ δὲ πλεῖον,
ἀκούων ἐπιμένειν τὸν Σύφακα, καὶ τοὺς Καρχηδο-
νίους πάλιν ἀθροίζειν στρατιάν, ἐξῆγε τὰς δυνάμεις,
καὶ παρενέβαλε πρὸ τῆς Ἰτύκης. ἅμα δὲ καὶ νέμεσι
τὰ τῶν λαφύρων, τοὺς ἐμπόρους ἐξαπέστειλε λυσι-
τελῶς.

12. πλησίον ex Vrſini conjectura adſciviť Caſaub. πλεῖστον αὐτὸν mendoſe Herv. cum mss. tis.

VII. 2. τὰ τῶν λαφύρων. Articulum τὰ, quem ignorant codices, ex conject. adjecit Caſaub. Ibid. Hervagius, conſentientibus libris omnibus, dat τοὺς μὲν ἐμπόρους ἐξαπ. unde probabile ſit intercidiſſe nonnihil in iſta regione. Particulam μὲν ejecit Caſaub.

ad Syphacem legatos mitti. Hunc namque haud procul in urbem Abbam ſe recepiſſe, ibique amiſſorum exercituum reliquias colligere. Atque hæc demum vicit ſententia. Ita igitur Carthaginienſes, emiſſo *Aſdrubale*, copias reparabant; ſimulque *Syphacem* per legatos orarunt, ut ferre ipſis opem vellet, maneretque in eodem propoſito, quod initio ſuſceperat, nec dubitaret, imperatorem ſuum mox ſeſe illi cum copiis fore conjuncturum.

7. Per id tempus dux Romanorum non intermiſit quidem Vticæ obſidionem; ſed, cognito, Syphacem ſubſtitiſſe, & Pœnos exercitum denuo cogere, illud magis etiam ex uſu judicavit, ut, eductis legionibus, ante Vticam juſta caſtra locaret. Simul capta ſpolia militi partitus, * mercatores cum lucro

Digitized by Google

3τελῶς. καλῆς γὰρ τῆς ὑπὲρ τῶν ὅλων ἐλπίδος ὑπο- A.V.551.
γραφομένης ἐκ τοῦ γεγονότος εὐτυχήματος, ἑτοίμως
τὴν παροῦσαν ὠφέλειαν οἱ στρατιῶται παρ' οὐδὲν
4ποιούμενοι διετίθεντο τοῖς ἐμπόροις. Τῷ δὲ βασιλεῖ
τῶν Νομάδων καὶ τοῖς φίλοις τὸ μὲν πρῶτον ἐδόκει
κατὰ τὸ συνεχὲς εἰς τὴν οἰκείαν ποιεῖσθαι τὴν ἀνα-
5χώρησιν· τῶν δὲ Κελτιβήρων αὐτοῖς ἀπαντησάντων Celtiberi
περὶ τὴν Ἄββαν, οἵτινες ἐτύγχανον ὑπὸ τῶν Καρ- opportune advenient.
χηδονίων ἐξενολογημένοι, πλείους ὄντες τῶν τετρα-
κισχιλίων, πιστεύοντες ταῖς χερσὶ ταύταις, οὕτως
ἐπέστησαν, καὶ βραχύ τι ταῖς ψυχαῖς ἐθάρρησαν.
6Σὺν δὲ τούτοις ἅμα καὶ τῆς παιδίσκης, ἥτις ἦν θυ-
γάτηρ μὲν Ἀσδρούβου τοῦ στρατηγοῦ, γυνὴ δὲ τοῦ
Σύφακος, καθάπερ ἐπάνω προεῖπον, δεομένης καὶ
λιπαρούσης μένειν, καὶ μὴ καταλιπεῖν ἐν τοιούτοις
καιροῖς τοὺς Καρχηδονίους· ἐπείθη, καὶ προσέσχε
7τοῖς παρακαλουμένοις ὁ Νομάς. Οὐ μικρὰ δὲ καὶ
τοὺς

6. λιπαρούσης μένειν. *Posterius verbum Vrsini ingenio debetur, quum οἶμαι darent libri omnes: quod servari poterat, deleta particula καὶ quæ sequitur.*

cro dimisit: nam quia prospero prælio paullo ante pugnatum erat, in bonam spem de summæ rei victoria adducti milites, prædam modo partam haud magni facientes, mercatoribus libenter divendebant. Regi Numidarum, cum amicis deliberanti, initio quidem placuerat, in itinere inchoato pergere, & domum se recipere. Sed quum circa urbem Abbam *Celtiberi* ei occurriffent, quos Carthaginiensium conquisitores conduxerant, supra millia hominum quatuor; eo auxilio Numidæ confisi, animis aliquantulum receptis, substiterunt. Accessere simul *Sophonisbæ* preces, quæ, ut supra dixi, Asdrubalis filia erat, Syphacis uxor. Hæc maritum obsecrans, multumque obtestans, ut maneret, neque Carthaginienses necessario ipsorum tempore desereret, pervicit tandem, &, quod petebat, a Numida impetravit. *Celtiberi*

Digitized by Google

Ol. 144. 1. Celtiberi opportune adveniunt.

τοὺς Καρχηδονίους ἐλπίζειν παρεσκεύασαν οἱ Κελτίβηρες· ἀντὶ μὲν γὰρ τῶν τετρακισχιλίων μυρίους αὐτοὺς ἀπήγγελλον εἶναι, κατὰ δὲ τοὺς κινδύνους ἀνυποστάτους ὑπάρχειν καὶ ταῖς ψυχαῖς καὶ τοῖς καθοπλισμοῖς. Ἐκ δὲ ταύτης τῆς φήμης καὶ τῆς χυδαίου καὶ πανδήμου λαλιᾶς μετεωριζόντες οἱ Καρχηδόνιοι, διπλασίως ἐπερρώσθησαν πρὸς τὸ πάλιν ἀντιποιήσασθαι τῶν ὑπαίθρων. καὶ τέλος ἐν ἡμέραις τριάκοντα περὶ τὰ Μεγάλα πεδία καλούμενα βαλλόμενοι χάρακα, συνεστρατοπέδευον ἐμοῦ τοῖς Νομάσι καὶ τοῖς Κελτίβηρσιν, ὄντες οὐκ ἐλάττους οἱ πάντες τρισμυρίων.

Magni campi.

VIII. Scipio obviam it hostibus.

Ὧν διασαφηθέντων εἰς τὸ τῶν Ῥωμαίων στρατόπεδον, εὐθέως ὁ Πόπλιος ἐγίγνετο περὶ τὴν ἔξοδον, καὶ συντάξας τοῖς πολιορκοῦσι τὴν Ἰτύκην ἃ δέον ἦν πράττειν, καὶ τοῖς κατὰ θάλατταν, ἐξώρμησε, τὸ στράτευμα πᾶν ἔχων εὔζωνον. ἀφικόμενος δὲ

7. ἀπήγγελλον ex *Aug. Vulgo alii* ἀπήγγελον.

tiberi quoque non mediocri ſpe Carthaginienſes implebant; quorum non quatuor, ſed decem adveniſſe millia nunciabatur; eos porro animos in prælia ipſos adferre, id genus armorum, nemo ut vim ipſorum poſſit ſuſtinere. Ad hanc famam ſermonesque vulgo per plebem ſparſos erecti Pœni, duplo animoſiores evaſere ad prodeundum rurſus in loca aperta. Trigeſimo denique die in *Magnis*, ita vocant, *campis* caſtra fecerunt, conjuncti Numidis & Celtiberis, non minus triginta in univerſum millia hominum.

8. Cujus rei nuncius poſtquam in caſtra Romana eſt perlatus, protinus *Scipio* ad educendas legiones ſe comparavit. Vbi igitur Vticam obſidentibus & claſſis præfectis de iis, quæ fieri vellet, edixiſſet; cum reliquo omni exercitu, ſine ullis impedimentis, ire ad hoſtes pergit. Quintis

Digitized by Google

δὲ πεμπταῖος ἐπὶ τὰ Μεγάλα πεδία, καὶ συνεγεί- A.V.551.
σας τοῖς πολεμίοις, τὴν μὲν πρώτην ἡμέραν ἐπί τι-
νος λόφου κατεστρατοπέδευσε, περὶ τριάκοντα στα-
3δίους ἀποσχὼν τῶν πολεμίων· τῇ δ' ἑξῆς καταβὰς
εἰς τὰ πεδία, καὶ προθέμενος τοὺς ἱππέας, ἐν ἑπτὰ
4σταδίοις παρενέβαλε. Δύο δὲ τὰς κατὰ πόδας
ἡμέρας μείναντες, καὶ βραχέα διὰ τῶν ἀκροβολισ-
μῶν καταπειράσαντες ἀλλήλων, τῇ τετάρτῃ κατὰ
πρόθεσιν ἐξῆγον ἀμφότεροι, καὶ παρενέβαλλον τὰς
5δυνάμεις. Ὁ μὲν οὖν Πόπλιος ἁπλῶς κατὰ τὸ Prælio vincit in Magnis campis.
παρ' αὐτοῖς ἔθος ἔθηκε πρῶτον μὲν τὰς τῶν ἀστά-
των σημαίας, ἐπὶ δὲ ταύταις τὰς τῶν πρεγκίπων,
τελευταίας δ' ἐπέστησε κατόπιν τὰς τῶν τριαρίων.
6τῶν δ' ἱππέων τοὺς μὲν Ἰταλικοὺς ἐπὶ τὸ δεξιὸν
ἔθηκε, τοὺς δὲ Νομάδας καὶ Μασσαναάσσην ἐπὶ τὸ
7λαιόν. Οἱ δὲ περὶ τὸν Σύφακα καὶ τὸν Ἀσδρούβαν
τοὺς μὲν Κελτίβηρας μέσους ἔταξαν ἀντίους ταῖς
τῶν

VIII. 2. τριάκ. σταδίους correxi cum Reisk. Vulgo τριάκ. σταδίων. 5. ταύταις τὰς ex conj. correxi. ἐπὶ δὲ ταύταις τῶν πρηγκ. edd. cum mstis: sed ἐπὶ δὲ ταύτῃς τῶν πρ. Reg. E.

Quintis castris ad *Magnos campos* est perventum, unde non longe hostes aberant. Primo die in tumulo, triginta ferme stadia distante a Punicis castris, consedit. Postero die in campos e tumulo degressus, equitatu hosti objecto, intra septimum ab hostibus stadium castra locavit. Per insequens deinde biduum quum ibidem utrique mansissent, ac levibus præliis sese invicem lacessissent; quarto die, destinato utrimque eductis copiis, in aciem descensum est. *Publius* in acie instruenda Romanæ militiæ consuetudinem simpliciter servans, in prima acie signa hastatorum locavit, deinde principum, postremos omnium in subsidiis triarios. Equitatum Italicum a dextro cornu, ab lævo Numidas Massanissamque constituit. *Syphax* & *Asdrubal*, Numidis in sinistro locatis, Cartha-

Digitized by Google

Ol. 144. 1. Prælio vincit Scipio in Magnis campis.

τῶν Ῥωμαίων σπείρεως, τοὺς δὲ Νομάδας ἐξ εὐωνύμου, τοὺς δὲ Καρχηδονίους ἐκ τῶν δεξιῶν. Ἅμα δὲ τῷ γενέσθαι τὴν πρώτην ἔφοδον, εὐθέως οἱ Νομάδες ἐνέκλιναν τοὺς Ἰταλικοὺς ἱππεῖς, οἵ τε Καρχηδόνιοι τοὺς περὶ τὸν Μασσανάσσην, ἅτε πλεοναάκις ἤδη προεπῃρημένοι ταῖς ψυχαῖς. Οἱ δὲ Κελτίβηρες ἐμάχοντο γενναίως, συστάντες τοῖς Ῥωμαίοις. οὔτε γὰρ φεύγοντες ἐλπίδα σωτηρίας εἶχον, διὰ τὴν ἀπειρίαν τῶν τόπων, οὐδὲ ζωγρείᾳ κρατηθέντες, διὰ τὴν ἀθεσίαν τὴν εἰς τὸν Πόπλιον. οὐδὲν γὰρ πολέμιον πεπονθότες ὑπ' αὐτοῦ κατὰ τὰς ἐν Ἰβηρίᾳ πράξεις, ἀδίκως ἐφαίνοντο καὶ παρασπόνδως ἥκειν κατὰ Ῥωμαίων συμμαχήσοντες τοῖς Καρχηδονίοις. οὐ μὴν, ἀλλ' ἅμα τῷ κλῖναι τοὺς ἀπὸ τῶν κεράτων, ταχέως κυκλωθέντες ὑπὸ τῶν περιγιγνομένων καὶ τριαρίων, αὐτοῦ κατεκόπησαν πάντες, πλὴν τελέως ὀλίγων. Οἱ μὲν οὖν Κελτίβηρες τοῦτον τὸν τρόπον ἀπώ-

Celtiberi omnes pereunt.

10. τὸν Πόπλιον *scripsi, monente Reiskio, pro mendoso* τὸν πόλεμον.

Carthaginienſibus in dextro, Celtiberos in mediam aciem ex adverſo cohortium Romanarum receperunt. Ita inſtructi concurrunt. Primo autem impetu Numidæ ab Italicis equitibus pelluntur, Carthaginienſes a Maſſaniſſa, utpote qui animos tot prioribus cladibus fractos habebant. *Celtiberi* vero, cum Romanis congreſſi, fortiter dimicabant; quod nec in fuga ſalus ulla oſtendebatur, locis ignotis, neque ſpes veniæ ab Scipione erat, ſi vivi caperentur, propter perfidiam, qua in ipſum erant uſi. Nam quum hoſtile nihil ab eo, res in Hiſpania gerente, paſſi eſſent; nefarie violata fide mercenariis armis oppugnatum Romanos pro Carthaginienſibus veniſſe exiſtimabantur. Ceterum, nudata utrimque cornibus acie, circumfuſis undique principibus & triariis, omnes, paucis admodum exceptis, in ipſo pugnæ loco ſunt cæſi. Atque ita quidem Celtiberi perierunt, quorum

ἀπώλοντο, μεγάλην παρασχόμενοι χρείαν τοῖς Καρ- A. V. 551.
χηδονίοις, οὐ μόνον κατὰ τὴν μάχην, ἀλλὰ καὶ κατὰ Prælio vincit
13 τὴν φυγήν. εἰ μὴ γὰρ τοῦτ' ἐμπόδιον ἐγένετο τοῖς Scipio in Magnis campis.
Ῥωμαίοις, ἀλλ' εὐθέως ἐκ ποδὸς ἠκολούθησαν τοῖς
φεύγουσι, παντελῶς ἂν ὀλίγοι ἔφυγον τῶν ὑπεναν-
14 τίων. νῦν δὲ περὶ τούτους γενομένης ἐπιστάσεως, οἵ
τε περὶ τὸν Σύφακα μετὰ τῶν ἱππέων ἀσφαλῶς
ἐποιήσαντο τὴν ἀποχώρησιν εἰς τὴν οἰκείαν, οἵ τε
περὶ τὸν Ἀσδρούβαν μετὰ τῶν διασωζομένων εἰς τὴν
Καρχηδόνα.

Ὁ δὲ στρατηγὸς τῶν Ῥωμαίων, ἐπεὶ τὰ σκύλα IX.
καὶ τοὺς αἰχμαλώτους εὐτρεπεῖς ἔθετο, συγκαλέ- Lælius & Massanissa per-
σας τὸ συνέδριον, ἐβουλεύετο περὶ τῶν ἑξῆς, τί δέον sequuntur Syphacem.
2 ἦν ποιεῖν. ἔδοξεν οὖν αὐτοῖς, τὸν μὲν στρατηγὸν Πό-
πλιον καὶ μέρος τι τῆς δυνάμεως μένειν, ἐπιπορευό-
μενον τὰς πόλεις· τὸν δὲ Λαίλιον καὶ τὸν Μασσα-
νάσσην,

12. *Post* μεγάλην *Hervag. & codd. omnes addunt verba* παρ' ὅλην, *quæ cum Visino delevit Casaub. Intelligi posse nomen* πρᾶξιν *putavit Reisk.*

IX. 2. δυνάμεως μένειν *ex Reiskii conject. Mendose vulgo* δυνάμεως, τὸν μὲν ἐπιπορ.

quorum opera magno Carthaginienſibus fuit uſui, non ſolum in pugna, verum etiam in fuga. Nam ſi Romanorum impetum nihil Celtiberi eſſent remorati, atque illi ſtatim Pœnos fugientes e veſtigio eſſent perſecuti; pauci omnino ex hoſtibus manus illorum effugiſſent. Nunc per eam moram, quam iſti adtulerunt, & *Syphax* cum ſuo equitatu ſine diſcrimine in regnum ſeſe recepit ſuum, & *Aſdrubal* cum ſuperſtitibus Pœnis Carthaginem pervenit.

9. Romanus imperator, omnibus ordinatis, quæ ad ſpolia & ad captivos ſpectabant, concilium convocat, &, quid porro eſſet agendum, conſultat. Placuit deliberantibus hæc ſententia, ut imperator cum parte exercitus in propinquo maneret, oppidaque circumcirca obiret; *Lælius* vero & *Maſſaniſſa*,

Ol. 144. 1. νάσσην, λαβόντας τούς τε Νομάδας καὶ μέρος τῶν Ῥωμαίων στρατοπέδων, ἔπεσθαι τοῖς περὶ τὸν Σύφακα, καὶ μὴ δοῦναι χρόνον εἰς ἐπίστασιν καὶ παρασκευήν. Οὗτοι μὲν, ταῦτα βουλευσάμενοι, διεχωρίσθησαν, οἱ μὲν ἐπὶ τὸν Σύφακα μετὰ τῶν προειρημένων στρατιωτῶν, ὁ δὲ στρατηγὸς ἐπὶ τὰς πόλεις. ὧν αἱ μὲν ἐθελοντὶ προσετίθεντο τοῖς Ῥωμαίοις, διὰ τὸν φόβον· ἃς δὲ πολιορκῶν, ἐξ ἐφόδου κατὰ κράτος ᾕρει. πάντα δ' ἦν οἰκεῖα μεταβολῆς τὰ κατὰ τὴν χώραν, ἅτε συνεχῶς ἐγκείμενα ταῖς κακοπαθείαις καὶ ταῖς εἰσφοραῖς, διὰ τὸ πολυχρονίους γεγονέναι τοὺς κατὰ τὴν Ἰβηρίαν πολέμους. Ἐν δὲ τῇ Καρχηδόνι μεγάλης καὶ πρότερον ὑπαρχούσης ἀκαταστασίας, ἔτι μείζω τότε συνέβαινε γίγνεσθαι τὴν ταραχὴν, ὡς ἂν ἐκ δευτέρου τηλικαύτῃ πληγῇ περιπεπτωκότων ἤδη,

Scipio subigit oppida.

Extrema consilia Pœnorum.

4. ἐθελοντὶ. Sic Reg. E. ἐθελοντῇ Herv. cum ceteris mstis. Hinc ἐθελοντὴν Casaub. Ibid. ᾕρει. Correxi vulgatum ᾗρει vel ᾖρει. 5. συνεχῶς. Vulgo omnes συνεχῶς τε. Delevi copulam. 6. περιπεπτωκότων. Sic correxi vulgatum πεπτωκότων.

nissa, Numidis adsumtis & Romanarum legionum parte, Syphacem persequerentur, neque ullum ei ad deliberandum de suis rebus & ad vires reparandas tempus concederent. Hoc inito consilio, in diversa duces sunt profecti: illi adversus Syphacem cum iis, quos diximus, militibus; imperator ad oppida domanda. Et harum quidem aliæ præ metu in voluntariam deditionem venerunt, alias *Scipio* per vim oppugnavit & primo impetu cepit. Erant sane tunc in Africæ regione omnia ad mutationem prona; quod propter longa & diuturna bella, quæ in Hispania Pœni gesserant, continuis ærumnis & tributorum pensionibus supra modum vexati fuerant populi. Carthagine vero quum jam ante ingentis trepidationis essent plena omnia; major etiam tunc temporis rerum cunctarum perturbatio est coorta, quum iterato jam tantam cladem essent perpessi, & spem omnem,

Digitized by Google

ἤδη, καὶ ἀπειπόντων τὰς ἐν αὐτοῖς ἐλπίδας. Οὐ μὴν, A.V.551.
ἀλλ' οἱ μὲν ἀνδρωδέστατοι δοκοῦντες εἶναι τῶν συμ- Extrema consilia Pœnorum.
βούλων, ταῖς μὲν ναυσὶν ἐκέλευον ἤδη πλεῖν ἐπὶ τοὺς
τὴν Ἰτύκην πολιορκοῦντας, καὶ τήν τε πολιορκίαν πει-
ρᾶσθαι λύειν, καὶ ναυμαχεῖν τοῖς ὑπεναντίοις, ἀπα-
ρασκεύοις οὖσι πρὸς τοῦτο τὸ μέρος· ἐπί τε τὸν Ἀν-
νίβαν πέμπειν ἠξίουν, καὶ μηδεμίαν ὑπερβολὴν ποιη-
σαμένους ἐξελέγχειν καὶ ταύτην τὴν ἐλπίδα. μεγά-
λας γὰρ ἀμφοτέρωθεν εἶναι ταῖς ἐπιβολαῖς ἐκ τῶν κα-
τὰ λόγον ἀφορμὰς πρὸς σωτηρίαν. Τινὲς δὲ ταύ-
τας μὲν ἔφασαν μηκέτι φέρειν τοὺς καιροὺς, τὴν δὲ
πόλιν ὀχυροῦν, καὶ παρασκευάζεσθαι πρὸς πολιορ-
κίαν. πολλὰς γὰρ δώσειν ἀφορμὰς τὸ αὐτόματον,
ἂν ὁμονοῶσιν. ἅμα δὲ βουλεύεσθαι περὶ διαλύσεως
καὶ συνθηκῶν παρῄνουν, ἐπὶ τίσι, καὶ πῶς ἂν λύσιν
ποιήσαιντο τῶν ἐνεστώτων κακῶν. Γενομένων δὲ καὶ

8. ταῖς ἐπιβ. ἐν ταῖς ἐπιβολαῖς putem scribendum.

omnem, quæ in ipsis esset posita, abjecissent. Verumtamen, qui in publico concilio plus animi sibi esse videri volebant, *classem adversus eos, qui Vticam obsiderent, mitti* jubebant; *ut & obsidionem, si fieri posset, solverent, & navali prælio cum hostibus, ab ea parte imparatis, decertarent. Ad Hannibalem quoque* iidem *legatos* decernebant, *ut, iis sine ulla mora missis, hanc quoque spem civitas tentaret. Vtrique enim huic incepto magnas inesse opportunitates ad salutem, rationes probabiles suadere.* Disputabant alii, *in occasione tam præcipiti nullum amplius ejusmodi consiliis esse locum; sed ipsam urbem esse muniendam, & ad sustinendam obsidionem omnia comparanda: multas namque rei bene gerendæ occasiones fortunam, si concordes invicem manerent, ultro fore oblaturam.* Simul vero etiam *de pace & de fœderis conditionibus ut deliberaretur*, iidem auctores erant, *quibus legibus & qua ratione liberari a præsentibus malis possent.* Quibus de rebus quum plures essent dictæ

Ol.144.1. πλειόνων λόγων περὶ ταῦτα, πάσας ἐκύρωσαν ἅμα τὰς γνώμας.

X. Tunetem occupat Scipio. Κριθέντων δὲ τούτων, οἱ μὲν εἰς τὴν Ἰταλίαν μέλλοντες πλεῖν εὐθέως ἐκ τοῦ βουλευτηρίου προῆγον ἐπὶ θάλατταν, ὁ δὲ ναύαρχος ἐπὶ τὰς ναῦς· οἱ δὲ λοιποὶ περί τε τῆς κατὰ τὴν πόλιν ἀσφαλείας προεγνοοῦντο, καὶ περὶ τῶν κατὰ μέρος ἐβουλεύοντο συνεχῶς. Καὶ ὁ Πόπλιος, καταγέμοντος ἤδη τοῦ στρα- 2
τοπέδου τῆς λείας, διὰ τὸ μηδένα ἀντιπράττειν, ἀλλὰ πάντας εἴκειν τοῖς ἐπιβολαῖς, ἔκρινε, τὸ μὲν τῶν λαφύρων πλεῖον εἰς τὴν ἐξ ἀρχῆς παραπέμψαι παρασκευὴν, αὐτὸς δὲ τὴν στρατείαν ἀναλαβὼν εὔζωνον, 3
καταλαβέσθαι τὸν ἐπὶ Τύνητι χάρακα, καὶ καταστρατοπεδεῦσαι τοῖς Καρχηδονίοις ἐν συνόψει· μάλιστα γὰρ οὕτως ἐκφοβήσειν ὑπελάμβανε καὶ καταπλήξειν αὐτούς. Οἱ μὲν οὖν Καρχηδόνιοι, μετ' 4
ὀλίγας ἡμέρας τά τε πληρώματα καὶ τὰς σιταρ-

χίας

X. 3. καταστρατοπεδεῦσαι *Suidas dedit. Libri omnes vulgo* στρατοπεδεῦσαι.

dictæ ſententiæ, omnes ſimul a concilio ſunt probatæ.

10. Atque his ita decretis, qui in Italiam erant profecturi, a curia recta ad mare ſe contulerunt; qui præerat claſſi, ad naves. Ceteri vero ſimiliter partim ſecuritati urbis proſpiciebant, partim alia pro ſe quisque miniſteria ſine intermiſſione obibant. At *Scipio*, gravem jam ſpoliis exercitum trahens, quod nemo illi reſiſteret, ſed ejus inceptis omnes concederent, partem prædæ majorem in vetera caſtra, ubi adparatus erant militares, decrevit mittendam. Ipſe cum expedito jam exercitu ad munitionem occupandam *Tuneti* imminentem contendit, ut in conſpectu Carthaginienſium ſigna conſtitueret; ratus, hoc pacto plurimum illis ſe timoris atque terroris incuſſurum. Poſt dies paucos, ubi jam Pœni naves ſuas defenſoribus & remigio atque commeatu inſtruxiſſent, ad deducen-

Digitized by Google

χίας ἑτοίμας ἔχοντες ἐν ταῖς ναυσὶν, ἐγίγνοντο πρὸς A.V.551.
ἀναγωγῇ καὶ τοῖς προκειμένοις· ὁ δὲ Πόπλιος ἦκε
πρὸς τὸν Τύνητα, καὶ, φυγόντων τὴν ἔφοδον αὐτοῦ
5 τῶν παραφυλαττόντων, κατέλαβε τὸν τόπον. Ὁ δὲ
Τύνης ἀπέχει μὲν τῆς Καρχηδόνος ὡς ἑκατὸν εἴκοσι
σταδίους, ἔστι δὲ σύνοπτος σχεδὸν ἐξ ὅλης τῆς πό-
λεως, διαφέρει δ' ὀχυρότητι καὶ φυσικῇ καὶ χειρο-
6 ποιήτῳ, καθάπερ καὶ πρότερον ἡμῖν εἴρηται. Τῶν Poeni ad-
δὲ Ῥωμαίων ἄρτι κατεστρατοπεδευκότων, ἀνήγοντο gredun-
ταῖς ναυσὶν οἱ Καρχηδόνιοι, ποιούμενοι τὸν πλοῦν εἰς tur clas-
7 τὴν Ἰτύκην. Ὁ δὲ Πόπλιος, ὁρῶν τὸν ἀνάπλουν sem Sci-
τῶν ὑπεναντίων, καὶ δεδιὼς, μή τι περὶ τὸ σφέτερον pionis.
αὐτῶν ναυτικὸν συμβῇ, διεταράσσετο, πάντων ἀνυ-
ποπτήτως διακειμένων καὶ ἀπαρασκεύως πρὸς τὸ
8 μέλλον. αὖθις δ' ἐκ μεταβολῆς ἀναστρατοπεδεύσας,
9 ἠπείγετο βοηθήσων τοῖς ἰδίοις πράγμασι. Κατα-
λαβὼν δὲ τὰς καταφράκτους ναῦς, πρὸς μὲν τὰς

4. πρὸς ἀναγωγῇ ex conj. scripsi. Vulgo omnes πρὸς ἀναγωγὴν. 7. περὶ τὸ σφέτερον αὐτῶν. Articulum τὸ, quem ignorant libri, adjecit Casaub. αὐτῶν ex conjecit. scripsi pro vulgato αὐτῷ.

ducendas naves ipsi quidem se accinxerunt, & ad ea, quæ modo dicebamus, exsequenda; Publius vero Tunetem ducit, eumque locum, relictum fuga custodum, occupat. *Tunes* Carthagine abest stadia ferme cxx. locus cum operibus, tum suapte natura, sicut jam ante ostendimus, tutus, quique ex omni fere parte Carthaginis potest conspici. Vix dum satis eo loci Romanus confederat, cum Carthaginienses sublatis ancoris classe *Vticam* petere adgrediuntur. Quam eorum molitionem conspicatus *Scipio*, conturbari animus illi cœpit, metu ne quid ea res detrimenti Romanæ classi importaret, nemine ibi quidquam hostilis suspicante, & rebus omnibus ad imminens certamen imparatis. Igitur motis rursus castris, retro converso agmine ad ferendam suis opem adcurrit. Vbi quum naves rostratas offendisset ad erigendas quidem

Ol. 144. 1. Pœni adgrediuntur classem Scipionis.

ἐξαιρέσεις καὶ προσαγωγὰς τῶν ὀργάνων, καὶ καθόλου πρὸς πολιορκίαν, εὖ καὶ δεόντως ἐξηρτυμένας, πρὸς δὲ ναυμαχίαν ἥκιστα παρεσκευασμένας, τὸν δὲ τῶν ὑπεναντίων στόλον, ἐξ ὅλου τοῦ χειμῶνος πρὸς αὐτὸ τοῦτο κατηρτισμένον· τὸ μὲν ἀντανάγεσθαι καὶ ναυμαχεῖν ἀπογνοὺς, συνορμήσας δὲ τὰς καταφράκτους νῆας, περιέστησε ταύταις τὰς φορτηγοὺς ἐπὶ τρεῖς καὶ τέτταρας τὸ βάθος· κἄπειτα καθελόμενος τοὺς ἱστοὺς καὶ τὰς κεραίας, ἔζευξε τούτοις αὐτὰς βιαίως. * * *

II.

PTOLEMÆVS PHILOPATOR, REX ÆGYPTI.

XI. Agathocles adsentator Ptol. Philop.

Πολύβιος ἐν τῇ τεσσαρεσκαιδεκάτῃ φησὶ, Ἀγαθοκλέους τοῦ Οἰνάνθης υἱοῦ, ἑταίρου δὲ τοῦ Φιλοπάτορος βασιλέως, κόλακα γενέσθαι Φίλωνα.

Πολύ-

κἄπειτα καθελόμενος τοὺς ἱστοὺς &c. *In vocabulo* κἄπειτα *subito desinunt libri omnes Polybiani: reliqua verba ex Suida, monente Gronovio, adjeci.*

quidem admovendasque machinas, & omnino ad obsidionis usus rite ac convenienter comparatas, ad prælium vero navale minime omnium adcommodatas, quum e contrario in eum usum per totam hiemem classis hostilis fuisset aptata; damnata spe prodeundi in altum, & cum hostibus classe decertandi, rostratas naves subduxit, & onerariarum triplicem aut etiam quadruplicem ordinem eis circumdedit. Deinde demissis malis atque antennis, firmiter his naves colligavit. * * *

II.

Excerpt. Valesian.

11. Polybius Libro XIV scribit, *Agathocli*, Oenanthes filio, *Philopatoris* regis sodali, assentatorem fuisse *Philonem*. (*Athenæus Deipnosoph. Lib.* VI. *cap.* 13.)

Poly-

Digitized by Google

A.V.551. Cleino, Ptolemæi Philad. amica.

2 Πολύβιος, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Ἱστοριῶν, Κλεινοῦς, φησὶ, τῆς οἰνοχοούσης αὐτῷ [Πτολεμαίῳ τῷ Φιλαδέλφῳ] εἰκόνας πολλὰς ἀνακεῖσθαι κατὰ τὴν Ἀλεξάνδρειαν μονοχίτωνας, καὶ ῥυτὸν 3 ἐχούσας ἐν ταῖς χερσίν. Αἱ δὲ κάλλιστα τῶν οἰκιῶν, φησὶν, οὐ Μυρτίου, καὶ Μνησίδος, καὶ Ποθεινῆς 4 προσαγορεύονται; καί τοι Μνῆσις μὲν ἦν αὐλητρὶς, καὶ Ποθεινή· Μύρτιον δὲ μία τῶν ἀποδεδεγμένων 5 καὶ κοινῶν δεικτηριάδων. Τοῦ δὲ Φιλοπάτορος βασιλέως Πτολεμαίου οὐκ Ἀγαθόκλεια ἡ ἑταίρα ἐκράτει, ἢ καὶ πᾶσαν ἀναθρέψασα τὴν βασιλείαν;

Agathocles, Philopatoris.

* * *

XII. Res Aegypti plurium annorum hoc lib. complexus est auctor.

Εἶεν δέ τινες ἐπαποροῦντες, πῶς ἡμεῖς τὰς ἄλλας πράξεις ἀπάσας κατ' ἐνιαυτὸν γράφοντες τὰς παραλλήλους, περὶ μόνων τῶν κατ' Αἴγυπτον ἐν καιρῷ τῷ νῦν ἐκ πλείονος χρόνου πεποιήμεθα τὴν ἐξήγησιν. ἡμεῖς

XI. 4. *δεικτηριάδων. Ante Casaubonum edebatur* δεικασιάδων.

XII. 1. Εἶεν *ex Valesii conject. edidi. Vulgo* Ὅσῳ δέ τινες. Ibid. τῷ νῦν *correxi cum Reisk. Mendose vulgo* ἐν καιρῷ τῷ σὺν. τόσην *suspicatus erat Valesius.*

* * *

Polybius Historiarum libro XIV scribit, *Cleinûs*, quæ illi (*Ptolemæo Philadelpho*) a poculis fuit, statuas Alexandriæ multas erectas, indutas simplici tunica, & poculum in manibus tenentes. Splendidissimæ autem domus, ait, nonne *Myrtii* aut *Mnesidis* aut *Potheines* adpellatione insigniuntur? quamquam fuerunt tibicinæ Mnesis & Potheine, Myrtium vero una ex publice constitutis prostibulis. *Philopator* vero *Ptolemæus* rex nonne sub potestate atque imperio *Agathocleæ* fuit meretricis, quæ etiam totum regnum ejus evertit? (*Idem, libro* XIII. *cap.* 5.)

* * *

12. Ne quis autem forte miretur, cur, cum singulis annis res omnes eodem anno gestas conjunctim scribere soleamus, in solis Aegypti rebus commemorandis tanto a tempore repetitam narrationem instituamus; velim

Digitized by Google

Ol. 144. 1. A. V. 551. Res Aegypti plurium annorum.

ἡμεῖς δὲ τοῦτο πεποιήκαμεν διά τινας τοιαύτας αἰτίας. 2 Πτολεμαῖος ὁ βασιλεὺς, περὶ οὗ νῦν ὁ λόγος, ὁ Φιλοπά- 3 τωρ, μετὰ τὸ συντελεσθῆναι τὸν περὶ Κοίλην Συρίαν πό- λεμον, ἀποστὰς πάντων τῶν καλῶν, ἐτράπη πρὸς βίον ἄσωτον καὶ τοιοῦτον, οἷον ἀρτίως διεληλύθαμεν. ὀψὲ 4 δέ ποτε βιασθεὶς ὑπὸ τῶν πραγμάτων, ἐνέπεσεν εἰς τὸν νῦν δεδηλωμένον πόλεμον· ὃς, χωρὶς τῆς εἰς ἀλλήλους ὠμότητος καὶ παρανομίας, οὔτε παράταξιν, οὔτε ναυ- μαχίαν, οὔτε πολιορκίαν, οὐδ' ἕτερον οὐδὲν ἔσχε μνήμης ἄξιον. Διόπερ ὑπέδραμεν, οὕτω καμοὶ τῷ γράφοντι ῥᾳδίαν ἔσεσθαι, καὶ τοῖς ἀναγινώσκουσιν, εὐμαθεστέραν τὴν διήγησιν, εἰ μὴ κατ' ἐνιαυτὸν ἐπιψαύων μικρῶν καὶ οὐκ ἀξίων ἐπιστάσεως πραγμάτων ἀποδιδοίην τὸν λό- γον· ἀλλ' εἰσάπαξ οἱονεὶ σωματοειδῆ ποιήσας τὴν τοῦ βασιλέως προαίρεσιν ἀπαγγείλαιμι περὶ αὐτῆς.

[Ζήτει. ἐνέλιπε γὰρ φύλλα μή. ἐν οἷς περὶ τοῦ Πτολεμαίου ἐνε- φέρετο καὶ Ἀρσινόης.]

3. *Post* διεληλύθαμεν *vulgo inſtruuntur verba illa:* Ζήτει *&c. quae (monente Valeſio) ad finem reieci; quae tamen ad initium potius hujus capitis ſpectare videntur.* 5. ῥᾳδίαν. *Commodius erat* ῥᾳδιωτέραν, *quod maluerat Valeſ.*

lim is sciat, hujusmodi ratio- nibus nos maxime eo adduc- tos esse. *Ptolemæus* rex, de quo hic sermo est, cognomento *Philopator*, confecto in Cœlesyria bello, a studio rerum omnium honestarum ad luxuriosum ac perditum vivendi genus se contulit, ut proxime a nobis osten- sum est. Sero tandem rerum necessitate compulsus in id bellum incidit, de quo nunc differuimus: quo quidem in bello, præter mutuam cru- delitatem atque perfidiam, nullum pedestre, nullum na- vale prælium, nulla obsi- dio, nihil denique quidquam memoria dignum exstitit. Quamobrem cum scribenti mihi, tum legentibus, faci- liorem & planiorem fore narrationem existimavi, si non per singulos annos mi- nima quæque nec observatu digna carpens atque delibans exponerem; sed simul ac se- mel quasi uno corpore com- plexus hujus regis studia ac mores aperirem.

[*Reliqua quærenda. Decerpti enim XLVIII folia, in quibus de Ptolemæo & Arsinoë agebatur.*]

THΣ

Digitized by Google

ΤΗΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΗΣ ΤΩΝ ΠΟΛΥΒΙΟΥ ΙΣΤΟΡΙΩΝ ΤΑ ΣΩΖΟΜΕΝΑ.

I.

SCIPIO IN AFRICA

vincit Hannibalem, & bello finem imponit.

Ol. 144. 2. A.V. 552.

Ὁ δὲ Πόπλιος Βαρέως μὲν ἔφερεν ἐπὶ τῷ μὴ μόνον σφίσι παρεῆσθαι τὴν χορηγίαν, ἀλλὰ καὶ τοῖς ἐχθροῖς παρεσκευάσθαι δαψίλειαν τῶν ἀναγκαίων· ἔτι δὲ βαρύτερον ἐπὶ τῷ παραβεβηκέναι τοὺς ὅρκους καὶ τὰς συνθήκας τοὺς Καρχηδονίους, καὶ πάλιν ἐξ ἀδήλης ἀρχῆς ἐγείρεσθαι τὸν πόλεμον. Διὸ καὶ

I. Romanis Pœni annonam intercipiunt.

LIBRI DECIMI QVINTI HISTORIARVM POLYBII RELIQVIAE.

I.

Excerpt. Antiq. ex Lib. XV. *Cap.* 1 - 19.

Etsi moleste ferebat *Scipio*, non solum *periisse Romanis tantum commeatuum*, sed etiam hostibus jam esse illo casu partam rerum omnium necessariarum copiam; multo tamen erat illi gravius, quod, jusjurandum & pactas inducias quum violassent Carthaginienses, novum inde belli initium esset oriturum. Propterea dele-

Digitized by Google

Ol. 144. 2. Legati Scipionis ad Pœnos.

καὶ παραυτίκα προχειρισάμενος πρεσβευτὰς, Λεύκιον Σέργιον, καὶ Λεύκιον Βαίβιον, καὶ Λεύκιον Φάβιον, ἐξαπέστειλε, διαλεξομένους τοῖς Καρχηδονίοις ὑπὲρ τῶν γεγονότων, ἅμα δὲ καὶ δηλώσοντας, ὅτι κεκύρωκε τὰς συνθήκας ὁ δῆμος τῶν Ῥωμαίων. ἔρτι γὰρ ἦκε τῷ Ποπλίῳ γράμματα, διασαφοῦντα περὶ τῶν προειρημένων. Οἱ δὲ, παραγενηθέντες εἰς τὴν Καρχηδόνα, τὸ μὲν πρῶτον εἰς τὴν σύγκλητον, μετὰ δὲ ταῦτα πάλιν ἐπὶ τοὺς πολλοὺς ἀναχθέντες, ἔλεγον ὑπὲρ τῶν ἐνεστώτων μετὰ παῤῥησίας· πρῶτον μὲν ἀναμιμνήσκοντες, ὡς οἱ παρ' ἐκείνων πρεσβευταὶ, παραγενηθέντες εἰς Τύνητα πρὸς σφᾶς, καὶ παρελθόντες εἰς τὸ συνέδριον, οὐ μόνον τοῖς θεοῖς σπείσαντο, καὶ τὴν γῆν προσκυνήσαιεν, καθάπερ ἔστιν ἔθος τοῖς ἄλλοις ἀνθρώποις· ἀλλὰ καὶ πεσόντες ἐπὶ τὴν γῆν ἀγεννῶς τοὺς πόδας καταφιλεῖν τῶν ἐν τῷ συνεδρίῳ, μετὰ δὲ ταῦτα πάλιν ἀναστάντες,

Cap. I. 3. Σέργιον. *Aut hoc, aut* Σερουΐλιον, *fuit ex Livio reſtituendum.* Σερούιον *Med.* Σερούϊον *edd. cum ceteris codd.* Ibid. Βαίβιον *ex Livio adſcivi.* Σείτιον *edd. cum Ang. pmo & Med.* & *Vrb.* Σάτιον *Reg. F.* Σήτιον *Reg. G.* Σάτιον *Reg. E.* Σέντιον *ſuſpicatus eſt Gronov.*

delectos e veſtigio legatos *L. Sergium*, [ſive, *Servilium*,] *L. Bæbium* & *L. Fabium*, Carthaginem proficiſci jubet, qui injuriam acceptam cum Pœnis expoſtularent, ſimulque ſignificarent, *populum Romanum pacis conditiones probaſſe.* Commodum enim per id tempus Publio redditæ erant literæ, quibus id ipſum nunciabatur. *Carthaginem* ut venerunt *legati*, producti primo in curia, mox ad populum, magna cum libertate de rebus præſentibus diſſeruerunt. Ante omnia commemorarunt, quomodo *legati Punici Tunetem ad ſe veniſſent, ibique in concilium admiſſi, non ſolum tellure adorata diis libaſſent, qui mos eſt etiam aliorum hominum; ſed hoc amplius humili atque abjecto animo in terram procubuiſſent, & eorum, qui in concilio ſedebant, pedes eſſent oſcu-*

Digitized by Google

στάντες, ὡς κατηγορήσαιεν σφῶν αὐτῶν, διότι καὶ τὰς ἐξ ἀρχῆς γενομένας συνθήκας Ῥωμαίοις καὶ Καρχηδονίοις ἀθετήσαιεν αὐτοί. διόπερ ἔφασαν οὐκ ἀγνοεῖν, ὅτι πᾶν εἰκότως ἂν πάθοιεν ὑπὸ Ῥωμαίων· ἀλλὰ τῆς τύχης ἕνεκα τῶν ἀνθρώπων ἐδέοντο, μηδὲν παθεῖν ἀνήκεστον· ἔσεσθαι γὰρ τὴν σφετέραν ἀβουλίαν ἀπόδειξιν τῆς Ῥωμαίων καλοκἀγαθίας. Ὧν μνημονεύοντα τὸν στρατηγὸν ἔφασαν τὸν αὐτὸν οἱ πρέσβεις, καὶ τοὺς ἐν τῷ συνεδρίῳ τότε γεγονότας, ἐκπλήττεσθαι, τίνι ποτὲ πιστεύοντες ἐπελανθάνοντο μὲν τῶν τότε ῥηθέντων, ἀθετεῖν δὲ τολμῶσι τοὺς ὅρκους καὶ τὰς συνθήκας. Σχεδὸν δὲ τοῦτ' εἶναι δῆλον, ὡς Ἀννίβᾳ πεποιθότες, καὶ ταῖς μετὰ τούτου παρούσαις δυνάμεσι, ταῦτα τολμῶσι ποιεῖν καὶ κακῶς φρονοῦντες. σαφῶς γὰρ εἰδέναι πάντας, ὅτι ἐκεῖνοι, δεύτερον ἔτος ἤδη φεύγοντες ἐκ πάσης Ἰταλίας A.V.552. Legati Scipionis ad Pœnos.

osculati; deinde, ubi se humo erexissent, quomodo sese accusavissent ipsi, quod pacem, quæ erat Carthaginiensibus cum Romanis, ipsi principio violassent: proinde professi essent, non negare se, quin digni essent omnia pati, quæ Romani vellent; orare tamen per communem hominum fortunam, ne quid in se durius populus Romanus consuleret: futuram enim Pœnorum imprudentiam benignitatis & moderationis Romanorum posteris documentum. Horum sermonum memorem imperatorem eundem, ceterosque qui tunc interfuissent concilio, demirari satis non posse, quo tandem præsidio freti Carthaginienses, eorum, quæ tunc sunt dicta, obliti, jusjurandum & fidem induciarum violarint. Fere tamen liquido constare hoc hominibus, eo audaciæ ipsos perveniſſe ob eam fiduciam, quam in Hannibale ponerent, & eo exercitu, quem ille in Africam adduxisset. Sed enim errare ipsos vehementer. Quem enim fugeret, Hannibalem cum suis copiis, postquam tota Italia cedere esset coactus, alterum ipsum annum

Ol. 144. 2. Legati Scipionis ad Poenos.

λίας εἰς τοὺς περὶ Λακίνιον τόπους, κἀκεῖ συγκλεισμένοι, καὶ μονονοὺ πολιορκούμενοι, μόλις ἑαυτοὺς ἐκσεσωκότες ἥκουσι νῦν. Οὐ μὴν, ἀλλὰ, εἰ καὶ νενικηκότες τοὺς ἐκεῖ παρῆσαν, καὶ πρὸς ἡμᾶς ἔμελλον διακινδυνεύειν, τοὺς δυσὶ μάχαις ἐξῆς ὑμᾶς ἤδη νενικηκότας, ὅμως ἀμφιδόξους ἔχειν ἔδει τὰς ἐλπίδας ὑπὲρ τοῦ μέλλοντος, καὶ μὴ μόνον τοῦ νικᾶν ἔννοιαν λαμβάνειν, ἀλλὰ καὶ τοῦ σφαλῆναι πάλιν. οὐ συμβάντος, ποίους ἐπικαλέσεσθε, ἔφη, θεούς; ποίοις δὲ χρώμενοι λόγοις τὸν ἐκ τῶν κρατούντων ἔλεον ἐπισπάσεσθε πρὸς τὰς ἑαυτῶν συμφοράς; Πάσης εἰκὸς ὑμᾶς ἐλπίδος ἀποκλεισθήσεσθαι, καὶ παρὰ θεῶν, καὶ παρ' ἀνθρώπων, διὰ τὴν ἀθεσίαν καὶ τὴν ἀβουλίαν.

II. Legati violantur in reditu.

Οἱ μὲν οὖν πρέσβεις, τοιαῦτα διαλεχθέντες, ἀνεχώρησαν. Τῶν δὲ Καρχηδονίων ὀλίγοι μὲν ἦσαν οἱ συναινοῦντες, μὴ παραβαίνειν τὰς ὁμολογίας· οἱ δὲ

13. συμβάντος. συμβαίνοντος *Reg. F. G. Vesont. Tub.*

II. 2. *Post* συναινοῦντες *nescio an exciderit* καὶ παρακαλοῦντες.

unum circa Lacinium haesisse, eoque fuisse conclusum, ac tantum non obsessum, ut vix inde eripere sese potuerit, ut huc veniret? Atqui, etiamsi victor ex Italia Hannibal excessisset; quia tamen nobiscum acie est illi confligendum, qui duas continuas victorias de vobis reportavimus; spes de futuro incertas habere vos par erat, neque victoriam dumtaxat animo praecipere debebatis, sed etiam illud cogitare, vinci denuo vos posse. Quod si accidat, quos opem poscetis deos? quibus verbis victores convenietis, ut illos ad vestrarum calamitatum commiserationem adducatis? Merito sane vobis, quae vestra est levitas atque imprudentia, spes omnes & divinae & humanae opis fuerint praecluſae.

2. Hæc legati quum dixissent, curia excesserunt. *Carthaginiensium* pauci omnino fuere, qui fœderis servandi essent auctores. Pars

οἱ δὲ πλείους καὶ τῶν πολιτευομένων καὶ τῶν βουλευομένων βαρέως μὲν ἔφερον τὰς ἐν ταῖς συνθήκαις ἐπιταγάς, δυσχερῶς δ' ἀνείχοντο τὴν τῶν πρεσβευτῶν παῤῥησίαν, πρὸς δὲ τούτοις οὐχ οἷοί τ' ἦσαν προέσθαι τὰ κατηγμένα πλοῖα, καὶ τὰς ἐκ τούτων χορηγίας. τὸ δὲ συνέχον, οὐ μικρὰς, ἀλλὰ μεγάλας εἶχον ἐλπίδας, νικήσειν διὰ τῶν περὶ τὸν Ἀννίβαν. Τοῖς μὲν οὖν πολλοῖς ἔδοξε, τοὺς πρέσβεις ἀναπορρίτους ἐξαποστέλλειν· τῶν δὲ πολιτευομένων οἷς ἦν προκείμενον, ἐκ παντὸς τρόπου συγχέαι πάλιν τὸν πόλεμον, οὗτοι συνεδρεύσαντες μηχανῶνταί τι τοιοῦτον. Ἔφασαν, δεῖν πρόνοιαν ποιήσασθαι τῶν πρεσβευτῶν, ἵνα μετ' ἀσφαλείας ἀνακομισθῶσιν εἰς τὴν ἰδίαν παρεμβολήν. καὶ παραυτίκα τούτοις μὲν ἡτοίμαζον δύο τριήρεις παραπόμπους· πρὸς δὲ τὸν ναύαρχον Ἀσδρούβαν διεπέμψαντο, παρακαλοῦντες, ἐτοι-

A.V.552. Legati violantur in reditu.

2. πολιτευομένων. *Mendose* πορευομένων *Aug. Regii tres, Vesont. Tubing.*

Pars major eorum, qui rempublicam gerebant, quique intererant concilio, & impositas leges conditionibus pacis gravabantur, & dicendi libertatem Romanorum legatorum iniquo ferebant animo: ad hæc, ut deductas in portum onerarias & commeatus, qui in eis erant, dimitterent de manibus, non poterant adduci. Quod vero caput continebat cauſſæ: non levem aliquam, ſed ingentem ſpem habebant per *Hannibalem* vincendi. Igitur multitudini placebat, ut ſine reſponſo legati dimitterentur. At principes civitatis, quibus erat propoſitum, quo bellum iterum accenderent, miſcere omnia, in unum congregati, dolum hujusmodi commoliuntur. Securitati Romanorum legatorum proſpiciendum dixerunt, ut ad ſua caſtra tuto revehantur: ac ſtatim duas iis triremes præpararunt, quæ ipſos proſequerentur. Ad *Aſdrubalem* vero imperatorem Pœnum miſerunt, qui

Ol.144.2. Legati Rom. violantur.

ἑτοιμάσαι πλοῖα μὴ μακρὰν τῆς τῶν Ῥωμαίων παρεμβολῆς, ἵν', ἐπειδὰν αἱ παραπέμπουσαι νῆες ἀπολείπωσι τοὺς Ῥωμαίους, ἐπαναχθέντα ταῦτα καταφθάσῃ τοὺς πρεσβευτάς· ἐφώρμει γὰρ αὐτοῖς τὸ ναυτικὸν κατὰ τοὺς πρὸ τῆς Ἰτύκης ἐγκειμένους τόπους. Οὗτοι μὲν οὖν, ταῦτα διαταξάμενοι πρὸς τὸν Ἀσδρούβαν, ἐξέπεμπον τοὺς Ῥωμαίους, ἐντειλάμενοι τοῖς ἐπὶ τῶν τριήρων, ἐὰν παρελάσωσι τὸν Βάκραν ποταμὸν, αὖθις ἀπολιπόντας ἀποπλεῖν ἐν τῷ ὄρῳ τοὺς πρεσβευτάς. καὶ γὰρ ἦν ἐκ τούτων τῶν τόπων συνορᾶν ἤδη τὴν τῶν ὑπεναντίων παρεμβολήν. Οἱ δὲ παραπέμποντες, ἐπεὶ κατὰ τὸ συνταχθὲν παρήλαξαν τὸν ποταμὸν, ἀσπασάμενοι τοὺς Ῥωμαίους, αὖθις ἐπανέπλεον. Οἱ δὲ περὶ τὸν Λεύκιον ἄλλο μὲν οὐδὲν ὑφεωρῶντο δεινόν· νομίσαντες δὲ, τοὺς παραπέμποντας δι' ὀλιγωρίαν αὐτοὺς

6. ἐπαναχθέντα. ἐπαναχθέντας Herv. cum Reg. F G. & Vesont. 8. ἐὰν παραλλ. ὡς ἐὰν Herv. cum initio. Ibid. Βάκραν correxi. Forsan Βαπράν scripsit Polyb. Sed h. l. libri omnes Μάκραν scribunt, & μακρὰν Herv. 11. Λεύκιον. Λούκιον h. l. Aug. Regii tres, Vesont. Tubing.

qui cum ipso agerent, ut *non procul a Romanis castris milites in navibus teneret paratos, qui legatos populi Romani, simulac a prosequente ipsos præsidio fuerint relicti, invadant, eosque submergant.* Classis namque Punica in locis ad *Vticam* prominentibus stationem habebat. Et hi quidem, datis in hanc sententiam mandatis ad Asdrubalem, Romanos dimittunt, præfectisque triremium præcipiunt, ut, postquam [*Macra*, sive] *Bagradæ* fluminis ostium superaverint, deductos eatenus legatos ibi relinquant, & Carthaginem redeant: nam ex eo loco hostium castra jam conspici poterant. Qui prosequebantur, simulac prædictum amnem superaverant, pro eo ut jussi fuerant, Romanis valedicunt, & retro vela vertunt. Offendit nonnihil ea res Lucium & ceteros legatos; non quo mali quidquam suspicarentur, sed quod incuria & contemtu deducentium fieri putarent, ut citius

τοὺς προαποπλεῖν, ἐπὶ ποσὸν ἐδυσχέραινον. Ἅμα δὲ τῷ μονωθέντας αὐτοὺς πλεῖν, ἐπανάγονται τρισὶ τριήρεσιν ἐξ ὑποβολῆς οἱ Καρχηδόνιοι, καὶ παραβαλόντες τῇ Ῥωμαϊκῇ πεντήρει, τρῶσαι μὲν οὐχ οἷοί τ' ἦσαν, ὑποχωρούσης τῆς νεὼς, οὐδὲ τοῦ καταστρώματος ἐπιβῆναι, διὰ τὸ γενναίως ἀμύνεσθαι τοὺς ἄνδρας· ἐκ παραβολῆς δὲ καὶ πέριξ προσμαχόμενοι, κατετίτρωσκον τοὺς ἐπιβάτας, καὶ διέφθειρον πολλοὺς αὐτῶν· ἕως οὗ κατιδόντες οἱ Ῥωμαῖοι τοὺς προνομεύοντας τὴν παχέλειαν ἀπὸ τῆς ἰδίας στρατοπεδείας παραβοηθοῦντας ἐπὶ τὸν αἰγιαλὸν, ἐξέβαλον τὴν ναῦν εἰς τὴν γῆν. Τῶν μὲν οὖν ἐπιβατῶν οἱ πλεῖστοι διεφθάρησαν, οἱ δὲ πρεσβευταὶ παραδόξως ἐξεσώθησαν.

A.V.552. Legati Rom. violantur.

Γενομένων δὲ τούτων, αὖθις ὁ πόλεμος ἄλλην ἀρχὴν εἴληφε βαρυτέραν τῆς πρόσθεν, καὶ δυσμενικωτέραν.

III. Novum belli initium.

12. ἐξ ὑποβολῆς. ἐξ ὑπερβολῆς Vrb. Ang. Vrſin. Regii tres, Veſont. Tubing. 15. ἐξεσώθησαν. Vulgo ἐξεσώθησαν.

tius, quam conveniret, ab iis relinquerentur. Verum ubi ſoli jam Romani cœperunt navigare; ſubito Carthaginienſes tribus triremibus ex inſidiis in eos invehuntur, & Romanam quinqueremem ſunt adgreſſi. Quam etſi roſtro ferire celeritate ſubterlabentem non potuerunt, neque in tabulatum ejus inſilire, militibus, qui ibi ſtabant, fortiter eos repellentibus; tamen comminus commiſſa pugna, & omni ex parte impetu facto, vulneribus defenſores adfecerunt, multosque eorum interemerunt: donec Romani, ſuos, e caſtris in oram pabulatum egreſſos, opis ſibi ferendæ gratia ad littus adcurrentes conſpicati, navim in terram ejecerunt. Periit propugnatorum pars maxima, legati præter ſpem opinionemque evaſerunt.

3. His ita factis, novum belli principium exſtitit, & quidem gravius quam ante, atque ex acrioribus odiis. Nam

Digitized by Google

Ol.144.2. κωτέραν. Οἵ τε γὰρ Ῥωμαῖοι, δοκοῦντες παρεσπον-
δῆθαι, φιλοτίμως διέκειντο πρὸς τὸ περιγενέθαι τῶν
Καρχηδονίων· οἵ τε Καρχηδόνιοι, συνιδόντες σφίσι
τὰ πεπραγμένα, πρὸς πᾶν ἑτοίμως εἶχον, πρὸς τὸ
μὴ τοῖς ἐχθροῖς ὑποχείριοι γενηθῆναι. Τοιαύτης δὲ
τῆς ἐξ ἀμφοῖν παραστάσεως ὑπαρχούσης, προφα-
νὲς ἦν, ὅτι δεήσει μάχῃ κρίνεσθαι περὶ τῶν ἐνεστώ-
των. ἐξ οὗ συνέβαινε, μὴ μόνον τοὺς κατὰ τὴν Ἰτα-
λίαν καὶ Λιβύην πάντας, ἀλλὰ καὶ τοὺς κατὰ τὴν
Ἰβηρίαν καὶ Σικελίαν καὶ Σαρδόνα μετεώρους εἶναι
καὶ περισπᾶσθαι ταῖς διανοίαις, παραδοκοῦντας τὸ
Hannibal in Africa. συμβησόμενον. Κατὰ δὲ τὸν καιρὸν τοῦτον Ἀννίβας,
Tychæus Numida. ἐλλείπων τοῖς ἱππικοῖς, διέπεμπε πρός τινα Νομάδα
Τυχαῖον, ὃς ἦν μὲν οἰκεῖος Σύφακος, ἱππεῖς δὲ μα-
χιμωτάτους ἔχειν ἐδόκει τῶν κατὰ τὴν Λιβύην·
παρακαλῶν αὐτὸν, βοηθεῖν, καὶ συνεπιλαμβάνεσθαι
τοῦ

III. 2. συνιδόντες. Sic Vrb. Aug. Reg. E. συνοιδόντες Harv. Reg. F. G. Veſont. quod in συνοιδότες mutavit Caſaub. συνειδότες malim. 5. Σύφακος. Σόφακος, per o, conſtanter codd.

Nam & Romani, quod fidem ſibi violatam dicerent, omne ſtudium atque operam, ut Carthaginienſes devincerent, adhibuerunt: & Carthaginienſes, ſceleris quod admiſerant ſibi conſcii, quidvis facere aut pati erant parati, quo ne in poteſtatem hoſtium venirent. Quum igitur utriusque populi hic eſſet impetus & ardor animi; nemo erat, qui dubitaret, fore opus, ut tam vehemens diſceptatio ferro cerneretur. Quæ res faciebat, ut non ſolum Italiæ populi & Africæ, verum etiam Hiſpaniæ, Siciliæ, & Sardiniæ, in ſpem rerum novarum erigerentur, & ad exſpectationem rerum futurarum intenti, ancipites cogitationes animis agitarent. Eodem tempore *Hannibal*, qui equitatu deficiebatur, ad Numidam *Tychæum*, e Syphacis familiaribus, & qui unus ex omnibus Afris aptiſſimos ad pugnam equos habere perhibebatur, legatos miſit, qui auxilium ab eo peterent, rogarent.

Digitized by Google

τοῦ καιροῦ, σαφῶς γινώσκοντα, διότι, Καρχηδονίων A.V.552.
κρατησάντων, δύναται διαφυλάττειν τὴν ἀρχὴν,
Ῥωμαίων δ' ἐκνικησάντων, καὶ τῷ βίῳ κινδυνεύσει
7διὰ τὴν Μασσανάσσου φιλαρχίαν. Οὗτος οὖν πει-
θεὶς τοῖς παρακαλουμένοις, ἦκε μετὰ δισχιλίων
ἱππέων πρὸς τὸν Ἀννίβαν.

Πόπλιος δὲ, τὰ περὶ τὴν ναυτικὴν δύναμιν IV.
ἀσφαλισάμενος, καὶ καταλιπὼν Βαίβιον ἀντιστρά- Oppida
2τηγον, αὐτὸς μὲν ἐπεπορεύετο τὰς πόλεις· οὐκέτι subigit Scipio.
παραλαμβάνων εἰς τὴν πίστιν τοὺς ἐθελοντὴν σφᾶς
ἐγχειρίζοντας, ἀλλὰ μετὰ βίας ἀνδραποδιζόμενος,
καὶ φανερὰν ποιῶν τὴν ὀργὴν, ἣν εἶχε πρὸς τοὺς
πολεμίους διὰ τὴν Καρχηδονίων παράσπόνδησιν·
3πρὸς δὲ Μασσανάσσην διεπέμπετο συνεχῶς, ἀπο- Massa-
δηλῶν αὐτῷ, τίνα τρόπον παραβεβηκότες εἶεν οἱ nissam revocat.
Φοίνικες τὰς σπονδὰς, καὶ παρακαλῶν, ἀθροίζειν
ὡς

IV. 1. Βαίβιον. Βαίβιαν *h. l. scribunt codd. noſtri & Hervag. Et mox deinde* ὁ Βαίβιας. Ibid. ἐπεπορεύετο. *Perperam libri* ἐποφεύετο. *Correxit Caſaub.* 2. σφᾶς. σφᾶς αὐτοὺς *Med.*

garentque, ut *præſentem occaſionem ne dimitteret; verum ita ſibi perſuaderet, ſtare ſuum imperium ita demum poſſe, ſi penes Carthaginienſes victoria ſtetiſſet; ſin Romani viciſſent, etiam de vita ipſum, propter Maſſaniſſæ cupiditatem dominandi, periclitaturum.* Hac cohortatione inductus *Tychæus*, cum duobus millibus equitum ad Hannibalem venit.

4. *Publius* ubi ſecuritati claſſis proſpexiſſet, *Bæbium* ſummæ rei præfectum vicem ſuam in caſtris relinquens, ipſe cum exercitu profectus, quacumque incederet, urbes adgrediebatur: non jam, ut ante, voluntate ſua dedentes ſe in fidem recipiens, ſed per vim expugnans, & ſub jugum omnes mittens; quanta in hoſtes incitatus eſſet ira propter Carthaginienſium perfidiam, præ ſe ferens. Idem & ad *Maſſaniſſam* nuncios ſubinde mittebat, ſignificans, quo pacto ſcelere Pœnorum ruptæ eſſent induciæ; hortansque, ut

Ol.144.2. ὡς πλείστην δύναμιν, καὶ συνάπτειν αὐτῷ κατὰ σπουδήν. Ὁ γὰρ Μασσανάσσης ἅμα τῷ γενέσθαι τὰς συνθήκας, καθάπερ εἴρηται πρότερον, εὐθέως ἀφώρμησε μετὰ τῆς ἰδίας δυνάμεως, προσλαβὼν δέκα σημαίας Ῥωμαϊκὰς ἱππέων καὶ πεζῶν, καὶ πρεσβευτὰς παρὰ τοῦ στρατηγοῦ, χάριν τοῦ μὴ μόνον τὴν πατρῴαν ἀρχὴν ἀπολαβεῖν, ἀλλὰ καὶ τὴν τοῦ Σύφακος προσκατακτήσασθαι διὰ τῆς Ῥωμαίων ἐπικουρίας. ὃ καὶ συνέβη γενέσθαι. Συνέτυχε δὲ καὶ τοὺς ἐκ Ῥώμης πρεσβευτὰς περὶ τοὺς αὐτοὺς καιροὺς εἰς τὸν ναυτικὸν χάρακα τῶν Ῥωμαίων καταπλεῦσαι. τοὺς μὲν οὖν παρ' αὐτῶν ὁ Βαίβιος παραχρῆμα πρὸς τὸν Πόπλιον ἐξέπεμψε, τοὺς δὲ τῶν Καρχηδονίων παρακατεῖχε, τά τε λοιπὰ δυθύμως διακειμένους, καὶ νομίζοντας ἐν τοῖς μεγίστοις εἶναι κινδύνοις. πυθόμενοι γὰρ τὴν γεγενημένην ἐκ τῶν Καρχηδονίων ἀσέβειαν πρὸς τοὺς τῶν Ῥωμαίων πρέσβεις, πρόδη-

Legati Romani redeunt.

4. ἀφώρμησε ex conject. scripsi cum Reisk. Vulgo omnes ἀφορμήσας.

ut coacto quanto maximo posset exercitu ad se quam primum veniret. Massanissa namque statim post pactas inducias, quod ante ostendimus, ab exercitu Romano cum suis copiis discessérat, signaque etiam decem qua equitum qua peditum e legionibus Romanis legatosque ab imperatore acceperat, eo consilio, ut Romanorum ope adjutus non solum regnum paternum reciperet, sed etiam Syphacis imperium suo adjiceret: quod etiam factum est. Eodem quoque accidit tempore, ut *ab Roma legati* ad navalia castra Romanorum adpellerent. Bæbius igitur, Romanis ad imperatorem extemplo missis, Carthaginienses legatos penes se detinuit, qui & aliis curis anxii erant, & in summis periculis sese versari existimabant. Audito enim scelere in Romanos legatos admisso, quo se se Carthaginienses impiaverant, ne dubitandum quidem illis videbatur, Romanos

Digitized by Google

πρόδηλον ἐδόκουν εἶναι σφίσι τὴν ἐκ τούτων τιμωρίαν. A.V.552.
8 Ὁ δὲ Πόπλιος, διακούσας τῶν παραγεγονότων, ὅτι προθύμως ἥ τε σύγκλητος ὅ τε δῆμος ἀποδέξαιντο τὰς γενομένας δι' αὐτοῦ συνθήκας πρὸς τοὺς Καρχηδονίους, καὶ διότι πρὸς πᾶν τὸ παρακαλούμενον ἑτοίμως ἔχοιεν, ἐπὶ μὲν τούτοις ἔχαιρε μεγάλως·
9 τοὺς δὲ τῶν Καρχηδονίων πρεσβεύτας πρωτάξε τῷ Βαιβίῳ μετὰ πάσης φιλανθρωπίας ἀποπέμπειν εἰς τὴν οἰκείαν· πάνυ καλῶς βουλευσάμενος, ὡς γε μοι δοκεῖ, καὶ
10 φρονίμως. Θεωρῶν γὰρ τὴν σφετέραν πατρίδα περὶ πλείστου ποιουμένην τὴν περὶ τοὺς πρεσβευτὰς πίστιν, ἐσκοπεῖτο, παρ' αὐτῷ συλλογιζόμενος, οὐχ οὕτω τί δέον παθεῖν Καρχηδονίους, ὡς τί δέον ἦν
11 πρᾶξαι Ῥωμαίους. Διὸ παρακατασχὼν τὸν ἴδιον θυμὸν, καὶ τὴν ἐπὶ τοῖς γεγονόσι πικρίαν, ἐπειράθη διαφυλάξαι, κατὰ τὴν παροιμίαν, πατέρων εὖ κει-
12 μενα ἔργα. τοιγαροῦν καὶ τοὺς ἐν τῇ Καρχηδόνι

Pœnorum legatos incolumes dimittit Scipio.

Ii 2 πάντας

10. Θεωρῶν γ' ἀρ. Conjunctionem ex conject. adjecit Casaub.

nos hanc immanitatem in se ulturos. *Scipio*, ut ab iis, qui venerant, accepit, senatum populumque Romanum pacis a se pactæ cum Carthaginiensibus conditiones magno cum studio probasse, & ad omnia, quæ postulasset, faciles se præbuisse; eo nuncio vehementer lætatus, *Bæbio* mandavit, ut Carthaginiensium legatis nullum non humanitatis comitatisque genus exhiberet, eosque Carthaginem dimitteret. Ac mihi videtur *Scipio*, qui sciret, populum Romanum nihil habere antiquius fide erga legatos, sapientissimo ac prudentissimo consilio hoc fecisse, qui, rem eam apud se reputans, non tam cogitavit, *quid dignè essent pati Carthaginienses*, quam *Romanis quid facere conveniret*. Is igitur, iracundiæ suæ moderatus & cupiditati, qua flagrabat, scelus admissum ulciscendi, conatus est, ut veteri verbo dicitur, *majorum præclara exempla tueri*. Itaque & eorum,

Ol. 144. 2. πάντας ἤτλησε ταῖς ψυχαῖς, καὶ τὸν Ἀννίβαν αὐτὸν, ὑπερθέμενος τῇ καλοκἀγαθίᾳ τὴν ἐκείνων ἄνοιαν.

V. Zamam abit Hannibal.

Οἱ δὲ Καρχηδόνιοι, θεωροῦντες τὰς πόλεις ἐκπορθουμένας, ἔπεμπον πρὸς τὸν Ἀννίβαν, δεόμενοι μὴ μέλλειν, ἀλλὰ προσπελάζειν τοῖς πολεμίοις, καὶ κρίνειν τὰ πράγματα διὰ μάχης. Ὁ δὲ, διακού-2 σας, τοῖς μὲν παροῦσιν ἀπεκρίθη τἄλλα σκοπεῖν, περὶ δὲ τούτου ῥᾳθυμεῖν, διαλήψεσθαι γὰρ τὸν καιρὸν αὐτός. Μετὰ δέ τινας ἡμέρας ἀναζεύξας ἐκ3 τῶν παρὰ τὸν Ἀδρύμητα τόπων, προῆλθε, καὶ κατεστρατοπέδευσε περὶ Ζάμαν. αὕτη δ' ἔστι πόλις, ἀπέχουσα Καρχηδόνος ὡς πρὸς τὰς δύσεις ὁδὸν ἡμερῶν πέντε. κἀκεῖθεν ἐξέπεμψε τρεῖς κατασκό-4 πους, βουλόμενος ἐπιγνῶναι, ποῦ στρατοπεδεύουσι, καὶ πῶς χαρίζεται τὰ κατὰ τὰς παρεμβολάς. Ὁ δὲ

V. 2. περὶ δὲ τούτου correxi cum Reisk. Vulgo omnes περὶ δὲ τοῦ ῥᾳθ. Tum ibid. διαλήψεσθαι γὰρ ex conjecł. scripsi. Vulgo διαλήψεται abique ćonjunct. 4. χαρίζεται Casaubonus ex conjecł. edidit. χειρί-

rum, qui Carthagine erant, & ipsius Hannibalis, quorum amentiam virtute & probitate sua superaverat, mirum in modum hoc facinore infregit animos.

5. Carthaginienses enimvero, cum vident urbes capi, & omni clade belli adfici, ad *Hannibalem* mittunt, orant, moram omnem ut tollat, hostibus adpropinquet, atque acie cum iis decernat. Quæ ille mandata ut accepit, iis, qui advenerant, respondit: *ceteris rebus ipse prospiciant; de hoc quidem non laborent: tempus enim agendi quod adtinet, de eo se ipsum apud se statuturum.* Post dies paucos motis castris e locis circa *Adrumetum*, pergit ire, & circa *Zamam* oppidum castra locavit, quod quinque dierum itinere occasum versus ab Carthagine abest. Inde tres speculatores ab eo missi, quorum opera cognosceret, ubi Scipio castra metaretur, & quo pacto cuncta in castris administrarentur. Qui

5 Ὁ δὲ τῶν Ῥωμαίων στρατηγὸς Πόπλιος, ἐπαναχθέν- A.V.552.
τῶν ὡς αὐτὸν τῶν κατασκόπων, τοσοῦτον ἀπέσχε Speculatores Hannibali remittit Scipio.
τοῦ κολάζειν τοὺς ἁλωκότας, καθάπερ ἔθος ἐστὶ
τοῖς ἄλλοις, ὡς τοὐναντίον, συστήσας αὐτοῖς χιλίαρ-
χον, ἐπέταξε, πάντα καθαρίως ὑποδεῖξαι τὰ κατὰ
6 τὴν παρεμβολήν. Γενομένου δὲ τούτου, προσεπύθε-
το τῶν ἀνθρώπων, εἰ πάντα φιλοτίμως αὐτοῖς ὑπο-
7 δέδειχεν ὁ συσταθείς. τῶν δὲ φησάντων, δοὺς ἐφό-
δια καὶ παραπομπὴν ἐξαπέστειλε, προστάξας, ἐπι-
μελῶς Ἀννίβα διασαφεῖν περὶ τῶν ἀπηντημένων αὐ-
8 τοῖς. Ὧν παραγενηθέντων, θαυμάσας ὁ Ἀννίβας
τὴν μεγαλοψυχίαν καὶ τόλμαν τἀνδρὸς, οὐκ οἶδ'
ὅπως εἰς ὁρμὴν ἔπεσε τοῦ βούλεσθαι συνελθεῖν εἰς Colloqui cum Scipione cupit Hannibal.
9 λόγους τῷ Ποπλίῳ. κρίνας δὲ τοῦτο, διεπέμψατο
κήρυκα, φάσκων βούλεσθαι κοινολογηθῆναι πρὸς αὐ-
10 τὸν ὑπὲρ τῶν ὅλων. Ὁ δὲ Πόπλιος, ἀκούσας ταῦ-

χειρίζει dant libri omnes. χειρίζουσι malim: sed ad στρατοπεδεύουσι excidisse videtur nominativus οἱ ὑπεναντίοι vel οἱ Ῥωμαῖοι.

Qui ad Romanum imperatorem quum essent deducti, tantum abfuit, ut de captis supplicium sumeret, quod facere alii solent, ut contra e tribunis militum unum eis adtribuerit, jussum, omnia ipsis bona fide ostendere, quæ essent in castris. Quod ubi factum erat, ab iisdem percunctatus est, *satisne accurate omnia ipsis ostendisset is, qui comes eis fuerat datus?* Quumque dixissent speculatores, *ita esse factum;* viatico donatos, datis qui prosequerentur, retro ad Hannibalem dimisit, jussitque, ut *cuncta Hannibali, quæ sibi accidissent, aut quæ cognovissent, diligenter renunciarent.* Post reditum speculatorum *Hannibal*, magnitudinem animi & fiduciam Scipionis demirans, impetum nescio quomodo sumsit cum illo colloquendi. Deinde, ut sedit ejus animo hæc sententia, præconem ad *Scipionem* misit, qui diceret, *velle se cum ipso de summa rerum colloqui.* Publius, audito

Digitized by Google

Ol.144.2. τας τοῦ κήρυκος, συγκατετίθεντο τοῖς παρακαλουμένοις· ἔφη δὲ, πέμπειν πρὸς αὐτὸν, ὃν σαφῶν, ἐπειδὰν μέλλῃ συμπορεύεσθαι, τὸν τόπον καὶ τὸν καιρόν. ταῦτα μὲν οὖν ἀκούσας ὁ κήρυξ, ἐπανῆλθε 11 πάλιν εἰς τὴν ἰδίαν παρεμβολήν. Τῇ δ' ἐπαύριον 12 ἦκε Μασσανάσσης, ἔχων πεζοὺς μὲν εἰς ἑξακισχιλίους, ἱππεῖς δὲ περὶ τετρακισχιλίους. ὃν ἀποδε- 13 ξάμενος ὁ Πόπλιος φιλανθρώπως, καὶ συγχαρεὶς ἐπὶ τῷ πάντας ὑπηκόους πεποιῆθαι τοὺς πρότερον Σύφακι πειθομένους, ἀνέζευξε· καὶ παραγενηθεὶς 14 πρὸς πόλιν Ναράγαρα, κατεστρατοπέδευσε, πρός τε τὰ ἄλλα τόπον εὐφυῆ καταλαβόμενος, καὶ τὴν ὑδρείαν ἐντὸς βέλους ποιησάμενος.

Castra ad Naragaram.

VI. Καὐτεῦθεν ἐξέπεμψε πρὸς τὸν τῶν Καρχηδονίων στρατηγὸν, φάσκων, ἕτοιμος εἶναι συμπορεύεσθαι πρὸς αὐτὸν εἰς λόγους. ὧν ἀκούσας Ἀννίβας, ἀνέ- 2 ζευξε, καὶ συνεγίσας, ὥστε μὴ πλεῖον ἀπέχειν τριάκοντα

10. πέμπειν. πέμψειν Reisk. 12. τετρακισχιλίους ex Livio correxi. Vulgo omnes περὶ ἑξακισχιλίους. 14. Ναράγαρα ex eodem Livio adscivi, pro mendoso Μάργαρον.

dito præconis nuncio, potestatem ejus, quod postulabat, Pœno facit, *missurum etiam se ad illum dixit, qui locum & tempus indicaret, ubi convenire Hannibalem constituisset.* His auditis in castra Punica redit præco. Postridie ejus diei *Massasissa* cum sex millibus peditum, quatuor equitum, venit. Quem ubi comiter excepisset *Scipio*, gratulatus ei, quod populos omnes, qui Syphaci prius paruerant, sui juris feciſſet, castra inde movit. Ventum est ad [Margarum, five] *Naragaram* urbem, ibi Scipio consedit, capto loco cum ad cetera opportuno, tum quod aquatio intra teli conjectum erat.

6. Eo ex loco nuncium ad Carthaginiensem imperatorem misit, *paratum se esse* significans *ad conveniendum ipsum colloquii causſa.* Hannibal, eo accepto nuncio, castra movet. Postquam propius ventum, ut jam triginta

κοντα σταδίων, κατεστρατοπέδευσε πρός τινα λό- A.V.552.
φον, ὃς τὰ μὲν λοιπὰ πρὸς τὸν παρόντα καιρὸν ὀρ-
θῶς ἔχειν ἐδόκει, τὴν δ' ὑδρείαν ἀποτέρω μικρὸν
ἄχε· καὶ πολλὴν ταλαιπωρίαν ὑπέμενον οἱ στρατιῶ-
ται περὶ τοῦτο τὸ μέρος. Κατὰ δὲ τὴν ἑξῆς ἡμέ- Colle-
ραν προῆλθον ἀπὸ τῆς ἰδίας παρεμβολῆς ἀμφότε- quium
ροι μετ' ὀλίγων ἱππέων· κἄπειτα χωρισθέντες ἀπὸ Hannibalis cum Scipione.
τούτων, αὐτοὶ συνῆλθον εἰς τὸ μέσον, ἔχοντες ἑρμη-
νέα μεθ' ἑαυτῶν. Δεξιωσάμενος δὲ πρῶτος Ἀννί- Hannibalis oratio.
βας, ἤρξατο λέγειν· ὡς „Εἰ βούλετο μὲν ἄν, μήτε
Ῥωμαίους ἐπιθυμῆσαι μηδέποτε μηδενὸς τῶν ἐκτὸς
Ἰταλίας, μήτε Καρχηδονίους τῶν ἐκτὸς Λιβύης.
ἀμφοτέροις γὰρ ἔναι ταύτας καὶ καλλίστας δυνα-
στείας, καὶ συλλήβδην ὡσανεὶ περιωρισμένας ὑπὸ
τῆς φύσεως. Ἐπεὶ δὲ πρῶτον μὲν ὑπὲρ τῶν κατὰ
Σικελίαν ἀμφισβητήσαντες ἐξεπολεμήσαμεν ἀλλή-

 λους,

VI. 4. τῶν ἐκτὸς Λιβύης ab Vrsino recepit Casaub. τῶν ἐκ τῆς Λιβύης Herv. cum Med. τῶν τῆς Λιβ. Vrb. Aug. Reg. E. F. Ves. Tub. τῶν Λιβ. Reg. G.

ta non amplius ſtadia in medio eſſent; in tumulo Pœnus conſedit, commodo alioquin ad inſtitutum negotium, niſi quod longinquioris paullo aquationis erat, ita ut ejus milites in aquando laboris plurimum ſuſtinerent. Poſtero die imperatores ambo e ſuis caſtris, equitibus paucis comitati, progrediuntur: deinde ſoli, ſubmotis comitibus, cum ſingulis interpretibus in medium procedunt. Tum HANNIBAL prior, poſt ſalutationem, ita cœpit loqui. *Si jam eſſet integrum, optaturum ſe fore, ut neque Romani quidquam umquam eorum, quæ ſunt extra Italiam, concupiſſent; neque Carthaginienſes eorum, quæ extra Africam. Vtriusque enim populi hæc propria eſſe, eaque pulcerrima imperia, denique a natura ipſa ſuis finibus quaſi circumſcripta. Nunc, quoniam de Sicilia primo diſceptantes bellum inter nos geſſimus, deinde autem*

Ol. 144. 2. Hannibalis oratio.

„λρυς, μετὰ δὲ ταῦτα πάλιν ὑπὲρ τῶν κατ' Ἰβηρίαν, τὸ δὲ τέλος, ὑπὸ τῆς τύχης ἀπονουθετούμενοι, μέχρι τούτου προβεβήκαμεν, ὥστε καὶ περὶ τοῦ τῆς πατρίδος ἐδάφους ἡμᾶς κεκινδυνευκέναι, τοὺς δ' ἀκμὴν ἔτι καὶ νῦν κινδυνεύειν· λοιπόν ἐστιν, εἴ πως δυνάμεθα, δι' αὐτῶν, παραιτησάμενοι τοὺς θεοὺς, διαλύσασθαι τὴν ἐνεστῶσαν φιλοτιμίαν. Ἐγὼ μὲν οὖν ἕτοιμός εἰμι, τῷ πεῖραν εἰληφέναι δι' αὐτῶν τῶν πραγμάτων, ὡς μετάθετός ἐστιν ἡ τύχη, καὶ παρὰ μικρὸν εἰς ἑκάτερα ποιεῖ μεγάλας ῥοπὰς, καθαπερεὶ νηπίοις παισὶ χρωμένη.

VII. „Σὲ δ' ἀγωνιῶ, Πόπλιε, λίαν, ἔφη, καὶ διὰ τὸ νέον εἶναι κομιδῇ, καὶ διὰ τὸ πάντα σοι κατὰ λόγον κεχωρηκέναι, καὶ τὰ κατ' Ἰβηρίαν, καὶ τὰ κατὰ τὴν Λιβύην, καὶ μηδέπω μέχρι γε τοῦ νῦν εἰς τὴν τῆς τύχης ἐμπεπτωκέναι παλινῤῥυμήν, μή ποτε οὐ πειθῆς

6. ἀπονουθετούμενοι. An ἀπονοούμενοι? Ibid. ἡμᾶς κεκιν. ἡμᾶς in vers. lat. expressérat Casaub. vos antea fitis periclitati. 7. διαλύσασθαι διαλύεσθαι Herveg. 8. ὡς μετάθ. ὡς εὐμετάθετός ἐστιν malim cum Reisk. Ibid. καιρὸ emisit Casaub. invitis libris.

tem de Hispaniæ possessione, ac tandem, bonam nobis mentem fortuna corrumpente, eo usque fumus progressi, ut de patrio etiam solo simus utrique periclitati, & alteri etiam nunc cum maxime periclitemur; illud jam superest, ut, si qua ratione possumus, iram deorum deprecati, tantæ huic pervicaciæ per nos ipsi finem imponamus. Equidem igitur, ipsa edoctus experientia, quam mutabilis res sit fortuna, quam sæpe exi minimæ interventu magna in utramvis partem momenta faciat, dum mortales non secus ac pueros infantes ludibrio habet, ad quieta consilia sum paratus.

7. De te vero, P. Corneli, vehementer sum anxius, inquit, & sollicitus, ne forte, sive quia juvenis es admodum, sive quia ex animi sententia semper omnia tibi successere, cum in Hispania, tum in Africa, neque umquam adhuc quidem fortunæ retro ruentis

„πειθῆς διὰ ταῦτα τοῖς ἐμοῖς λόγοις, καίπερ οὐσι A.V.552.
2πιστοῖς. Σκόπει δ' ἀφ' ἑνὸς τῶν λόγων τὰ πράγ- Hannibalis oratio.
ματα, μὴ τὰ τῶν προγεγονότων, ἀλλὰ τὰ καθ'
3ἡμᾶς αὐτούς. Εἰμὶ τοιγαροῦν Ἀννίβας ἐκεῖνος, ὃς
μετὰ τὴν ἐν Κάνναις μάχην σχεδὸν ἁπάσης Ἰτα-
λίας ἐγκρατὴς γενόμενος, καὶ μετά τινα χρόνον ἦκον
πρὸς αὐτὴν τὴν Ῥώμην, καὶ στρατοπεδεύσας ἐν τετ-
ταράκοντα σταδίοις, ἐβουλευόμην ὑπὲρ ὑμῶν καὶ τοῦ
τῆς ὑμετέρας πατρίδος ἐδάφους, πῶς ἔστι μοι χρη-
4στέον· ὃς νῦν ἐν Λιβύῃ πάρειμι πρὸς σὲ, Ῥωμαῖον
ὄντα, περί τε τῆς ἐμαυτοῦ καὶ τῶν Καρχηδονίων
5σωτηρίας κοινολογησόμενος. Εἰς ἃ βλέποντα πα-
ρακαλῶ σε, μὴ μέγα φρονεῖν· ἀλλ' ἀνθρωπίνως βου-
λεύεσθαι περὶ τῶν ἐνεστώτων· τοῦτο δ' ἐστὶ, τῶν
μὲν ἀγαθῶν ἀεὶ τὸ μέγιστον, τῶν δὲ κακῶν τοὐλά-

VII. 2. ἑνὸς τῶν λόγων. Sic Herv. cum uetis. ἑνὸς τοῦ λόγου Caſaub. ex conject. 4. ὃς νῦν ex ingenio edidit Caſaub. ὡς νῦν dant libri omnes. Ibid. περί τε ex conject. ſcripſi. περὶ δὲ Reg. E. Conjunctione carent ceteri.

ruentis periculum feciſti, verbis meis, quamvis dignis fide, parum tamen fidei habeas. Quin tu potius conſidera mihi ex uno, quod jam dicam, cujusmodi ſit rerum humanarum conditio: neque ego de eorum, qui olim fuerunt, rebus loquor; verum de iis, quæ nobis ipſis contigerunt. Nempe Hannibal ego ille ſum, qui poſt Cannenſem pugnam univerſæ propemodum potitus Italiæ, aliquanto poſt tempore Romam ipſam petii, &, quum millia paſſuum quinque ab urbe conſediſſem, de vobis & de patriæ veſtræ ſolo quid mihi ſtatuendum eſſet, deliberabam: qui nunc in Africa ad te, virum Romanum, acceſſi, de mea & populi Carthaginienſis ſalute tecum acturus. Te igitur hortor, Publi, ut, hæc intueus, ſpiritus magnos nimis ne geras; ſed in deliberando de rebus præſentibus humanæ ſortis memorem te probes: id autem eſt, ut bonorum maximum,

Digitized by Google

Ol. 144. 2. Hannibalis oratio.

„χιστον αἱρεῖσθαι. Τίς οὖν ἂν ἕλοιτο νοῦν ἔχων πρὸς τοιοῦτον ἑρμαῖον κίνδυνον, οἷος σοὶ νῦν ἐνέστηκεν; ἐν ᾧ νικήσας μὲν, οὔτε τῇ σαυτοῦ δόξῃ μέγα τι προσθήσεις, οὔτε τῇ τῆς πατρίδος· ἡττηθεὶς δὲ, πάντα τὰ πρὸ τούτου σεμνὰ καὶ καλὰ δι' αὐτὸν ἄρδην ἀναιρήσεις. Τί οὖν ἔστιν, ὃ προτίθεμαι, τέλος τῶν νῦν λόγων; Πάντα, περὶ ὧν πρότερον ἡμφισβητήσαμεν, Ῥωμαίων ὑπάρχειν· ταῦτα δ' ἦν Σικελία, Σαρδὼ, τὰ κατὰ τὴν Ἰβηρίαν· καὶ μηδέποτε Καρχηδονίους Ῥωμαίοις ὑπὲρ τούτων εὐτάξαι πόλεμον· ὁμοίως δὲ καὶ τὰς ἄλλας νήσους, ὅσαι μεταξὺ κεῖνται τῆς Ἰταλίας καὶ Λιβύης, Ῥωμαίων ὑπάρχειν. Ταύτας γὰρ πέπεισμαι τὰς συνθήκας, καὶ πρὸς τὸ μέλλον ἀσφαλεστάτας μὲν εἶναι Καρχηδονίοις, ἐνδοξοτάτας δὲ σοὶ, καὶ πᾶσι Ῥωμαίοις.“

Ἀννί-

7. νῦν. νυνὶ λόγων Reg. E.

ximum, malorum minimum eligas. Enimvero quis compos mentis discrimen tantum adire velit, quantum tibi nunc imminet? E quo si victor discesseris; neque tuam tibi, neque patriæ gloriam multum sane amplificaveris: sin victus fueris; tot ante parta decora, tot præclare facta ipse per te funditus evertes. Sed quorsum tandem omnis hæc mea spectat oratio? Vt omnia populi Romani sint, de quibus hactenus fuit inter nos contentio. Ea autem sunt, Sicilia, Sardinia, Hispaniæ provinciæ. Horum nomine adversus Romanos ne bellum umquam Carthaginienses suscipiant. Similiter & ceteræ insulæ, quotquot Italiam & Africam interjacent, omnes ut populi sint Romani. Nam equidem per ejusmodi conditiones & Carthaginiensium securitati in posterum, & gloriæ sive tuæ, sive universi nominis Romani, quam optime fore consultum existimo.

8. Et

Ἀννίβας μὲν οὖν ταῦτ' εἶπεν. Ὁ δὲ Πόπλιος, ὑπολαβών· „Οὔτε τοῦ περὶ Σικελίας, ἔφη, πολέμου Ῥωμαίους, οὔτε τοῦ περὶ τῆς Ἰβηρίας αἰτίους 2γεγονέναι, Καρχηδονίους δὲ προφανῶς· ὑπὲρ ὧν κάλλιστα γινώσκειν αὐτὸν τὸν Ἀννίβαν· μάρτυρας δὲ καὶ τοὺς θεοὺς γεγονέναι τούτων, περιθέντας τὸ κράτος οὐ τοῖς ἄρχουσι· χειρῶν ἀδίκων, ἀλλὰ τοῖς 3ἀμυνομένοις. Βλέπειν δὲ καὶ τὰ τῆς τύχης οὐδενὸς ἧττον, καὶ τῶν ἀνθρωπίνων στοχάζεσθαι κατὰ δύνα4μιν. Ἀλλ', εἰ μὲν πρὸ τοῦ τοὺς Ῥωμαίους διαβαίνειν εἰς Λιβύην αὐτὸς ἐξ Ἰταλίας ἐκχωρήσας προὔτεινες τὰς διαλύσεις ταύτας, οὐκ ἂν οἶομαί σε διαψευσθῆναι τῆς ἐλπίδος. Ἐπεὶ δὲ σὺ μὲν ἄκων ἐκ τῆς Ἰταλίας ἀπηλλάγης, ἡμεῖς δὲ, διαβάντες εἰς τὴν Λιβύην, τῶν ὑπαίθρων ἐκράτησαμεν, δῆλον, ὡς 6μεγάλην εἴληφε τὰ πράγματα παραλλαγήν. Τὸ δὲ δὴ

A.V. 552. VIII. Scipionis oratio ad Hannibalem.

VIII. 2. γινώσκειν ab Vrsino accepit Casaub. In γινώσκουσι constituunt nisi cum Hervag.

8. Et *Hannibal* quidem hæc dixit. Cujus sermonem excipiens SCIPIO: *manifestum* dixit *esse, Romanos neque ei bello, quod de Sicilia fuit gestum, præbuisse causſam; neque item ei, quod de Hiſpania. Atque hoc omnium optime ſcire ipſum Hannibalem: ſed & deos immortales omnium, quæ accidiſſent, teſtes fuiſſe, qui decus victoriæ iis tribuerint, non qui armis injuſtis priores laceſſiverant, ſed qui vim vi repellebant. Fortunæ vim tam ſibi eſſe notam, quam ulli unquam mortalium: & humanæ infirmitatis habere ſe rationem, quantam poſſet maximam. Ceterum pacis haſce leges ſi tu,* inquit, *priusquam Romani in Africam trajeciſſent, ipſe Italiæ egreſſus finibus obtuliſſes, tua te ſpes, opinor, nequaquam fefelliſſet. Nunc, quum ipſe quidem invitus Italia excederis, nos vero, in Africam transgreſſi, quidquid ſub dio eſt in poteſtate habeamus, magnam rerum mutationem eſſe factam, quis non intelligit? Quod vero omnium maximum*

Digitized by Google

Ol. 144. 2. Scipio ad Hannibalem.

„δὴ μέγιστον, ἦλθομεν ἐπὶ τί μέρος; Ἡτ]ηθέντων τ καὶ δεηθέντων τῶν παρά σου πολιτῶν, ἐθέμεθα συνθήκας ἐγγράπτους, ἐν αἷς ἦν, πρὸς τοῖς ὑπὸ σοῦ νῦν προτεινομένοις, τοὺς αἰχμαλώτους ἀποδοῦναι χωρὶς λύτρων Καρχηδονίους, τῶν πλοίων τῶν καταφραχτων παραχωρῆσαι, πεντακισχίλια τάλαντα προσενεγκεῖν, ὅμηρα δοῦναι περὶ τούτων. Ταῦτα ἦν, ἃ συνεθέμεθα πρὸς ἀλλήλους· ὑπὲρ τούτων ἐπρεσβεύσαμεν ἀμφότεροι πρός τε τὴν σύγκλητον τὴν ἡμετέραν, καὶ πρὸς τὸν δῆμον· ἡμεῖς μὲν ὁμολογοῦντες εὐδοκεῖν τοῖς γεγραμμένοις, Καρχηδόνιοι δὲ δεόμενοι τούτων τυχεῖν. ἐπείθη τὸ συνέδριον τούτοις, ὁ δὲ δῆμος συγκατέθετο. τυχόντες, ὧν ἠξίουν, ἠθέτησαν ταῦτα Καρχηδόνιοι, παρασπονδήσαντες ἡμᾶς. Τί λείπεται ποιεῖν; σὺ, τὴν ἐμὴν χώραν μετα-

6. ἐπὶ τί μέρος; Sic interrogative scribere visum est. Vulgo ἐπί τε μέρος, ad quae verba deesse nonnihil suspicatus erat Reisk. 8. τούτων τυχεῖν dedit Reg. E. Ceteri vulgo τούτου τυχεῖν.

ximum est: quousque res inter nos devenerit, vide. Civibus tuis devictis, & pacem petentibus, jam leges fœderis erant conscriptæ; in quibus, præter illa quæ a te nunc offeruntur, hæc amplius continebantur, captivos omnes ut sine pretio Carthaginienses redderent, naves rostratas ut traderent, talentum quinque millia ut penderent, his futuros se pactis, obsides ut darent. Hæc sunt, de quibus inter nos convenerat, de quibus utrique per legatos cum senatu & populo nostræ civitatis egeramus; quum equidem hasce nobis non improbari conditiones dicerem, Carthaginienses vero, easdem ut impetrarent, precibus contenderent, Pactis conditionibus senatus est adsensus; easdem quoque populus ratas esse jussit. Tui cives, Hannibal, quod postulaverant consecuti, fœderis formulam antiquarunt, & fidem nobis datam violarunt. Quid jam opus est facto? Tu ipse, in meum locum te transferens, mihi

11 „μεταλαβὼν, εἶπον. Ἀφελεῖν τὰ βαρύτατα τῶν ὑποκειμένων ἐπιταγμάτων; ἵνα, μὴ, λαβόντες ἄθλα τῆς παρανομίας, διδαχθῶσι τοὺς εὖ ποιοῦντας εἰς τὸ λοιπὸν παρασπονδεῖν· ἀλλ' ἵνα, τυχόν- 12 τες ὧν ἀξιοῦσι, χάριν ὀφείλωσιν ἡμῖν; Ἀλλὰ νῦν, μεθ' ἱκετηρίας τυχόντες ὧν παρεκάλουν, ὅτι βραχείας ἐλπίδος ἐπελάβοντο τῆς κατὰ σὲ, παρὰ πό- 13 δας ὡς ἐχθροῖς ἡμῖν κέχρηνται καὶ πολεμίοις. Ἐν οἷς, βαρυτέρου μέν τινος προσεπιταχθέντος, δυνατὸν ἀνενεγκεῖν τῷ δήμῳ περὶ διαλύσεως· ὑφαίρεσιν δὲ ποιουμένοις τῶν ὑποκειμένων, οὐδὲ ἀναφορὰν ἔχει 14 τὸ διαβούλιον. Τί πέρας οὖν πάλιν τῶν ἡμῶν λόγων; Ἢ τὴν ἐπιτροπὴν ὑμᾶς διδόναι περὶ σφῶν αὐτῶν καὶ τῆς πατρίδος, ἢ μαχομένους νικᾶν.“

A.V.552. Scipio ad Hannibalem.

Ταῦτα

11. ἵνα, μὴ. *Particulam negantem ex codd. revocavi, quam ex ingenio mutaus Casaub. scripserat* ἵνα δὴ λαβόντες. 13. ἐν οἷς. *οἷς absque praepos. voluit Reisk. Ante verba* ἐν οἷς *asteriscum inseruit Casaub.*

mihi responde. An gravissima quæque eorum, quæ per leges pacis tuis imperantur, sunt tollenda? nempe non ut, accepto sceleris præmio, doceantur in posterum etiam cum bene de se meritis perfide agere; sed ut, nacti ea quæ petunt, gratiam nobis habeant? At enim, quæ modo cum vittis & infulis postulaverant, ea consecuti; simul atque exiguam spem aliquam per te sunt nacti, inimicorum atque hostium loco e vestigio habere nos cœperunt. Quæ cum ita sint: si, præter jam pactas leges, durius aliquid a nobis imperaretur; fieri posset, ut de pace denuo referretur ad populum Romanum: sin etiam de eis, quæ jam convenerant, aliquid detrahatur; ne deliberatio quidem locum habet, nec referre amplius licet. Quis igitur nostræ etiam orationis erit finis? Nimirum, ut vos patriamque vestram fidei nostræ permittatis, aut prælio dimicantes vincatis.

9. Hæc

Ol. 144. 2. IX. Irrito colloquio, prælio rem cernunt.

Ταῦτα μὲν οὖν διαλεχθέντες αὐτοῖς Ἀννίβας καὶ Πόπλιος ἐχωρίσθησαν, ἀξύμβατον ποιησάμενοι τὴν κοινολογίαν. Εἰς δὲ τὴν ἐπαύριον ἅμα τῷ φωτὶ τὰς δυνάμεις ἐξῆγον ἀμφότεροι, καὶ συνίσταντο τὸν ἀγῶνα, Καρχηδόνιοι μὲν ὑπὲρ τῆς σφετέρας σωτηρίας καὶ τῶν κατὰ τὴν Λιβύην πραγμάτων, Ῥωμαῖοι δὲ περὶ τῆς τῶν ὅλων ἀρχῆς καὶ δυναστείας. Ἐφ' ᾧ τίς οὐκ ἂν ἐπιστήσας συμπαθὴς γένοιτο κατὰ τὴν ἐξήγησιν; Οὔτε γὰρ δυνάμεις πολεμικωτέρας, οὔθ' ἡγεμόνας ἐπιτυχεστέρους τούτων, καὶ μᾶλλον ἀθλητὰς γεγονότας τῶν κατὰ πόλεμον ἔργων, εὕροι τις ἂν ἑτέρους, οὐδὲ μὴν ἄθλα μείζω τὴν τύχην ἐκτεθεικυῖαν τοῖς ἀγωνιζομένοις, τῶν τότε προκειμένων. οὐ γὰρ τῆς Λιβύης αὐτῆς, οὐδὲ τῆς Εὐρώπης ἔμελλον κυριεύειν οἱ τῇ μάχῃ κρατήσαντες, ἀλλὰ καὶ τῶν ἄλλων μερῶν τῆς οἰκουμένης, ὅσα νῦν πέπτωκεν ὑπὸ τὴν ἱστορίαν. ὃ καὶ συνέβη γενέσθαι μετ'

IX. 1. αὐτοῖς. αὐτοῖς *Casaub.*

9. Hæc inter ſe collocuti *Hannibal & Scipio*, fruſtra verbis tentata ſpe conventionis, ad ſuos ſe receperunt. Poſtero die prima ſtatim luce copias ambo eduxerunt, & prælio decertarunt: Carthaginienſes quidem, de ſua ſalute & rebus Africæ; Romani vero, de orbis terrarum dominatione atque imperio. Quis autem iſta ſecum animo reputare queat, ut non rei tantæ narratione adficiatur? Nam neque exercitus bellicoſiores, neque imperatores feliciores, aut qui in bellicis certaminibus magis fuiſſent exercitati, temere aliquis inveniat, neque ubi majora certantibus præmia fortuna propoſuiſſet, quam illa, quæ erant tunc propoſita. Non enim Africam dumtaxat vel Europam in poteſtate ſua erant habituri, qui victores ab ea pugna diſceſſiſſent; verum & ceteras quoque orbis terrarum partes, quotquot hactenus in notitiam hominum venerunt. Quod quidem non multo

μετ' ὀλίγον. Πλὴν ὁ μὲν Πόπλιος ἔθηκε τὰς τά- A.V.552.
ξεις τῶν ἰδίων δυνάμεων τὸν τρόπον τοῦτον. Πρῶ- Acies Scipionis.
τον μὲν τοὺς ἀστάτους καὶ τὰς τούτων σημαίας ἐν διαστήμασιν· ἐπὶ δὲ τούτοις τοὺς πρίγκιπας, τιθεὶς τὰς σπείρας, οὐ κατὰ τὸ τῶν πρώτων σημαιῶν διάστημα, καθάπερ ἔθος ἐστὶ τοῖς Ῥωμαίοις, ἀλλὰ κατ' ἀλλήλους ἐν ἀποστάσει, διὰ τὸ πλῆθος τῶν παρὰ τοῖς ἐναντίοις ἐλεφάντων· τελευταίους δ' ἐπέ-
8 στησε τοὺς τριαρίους. ἐπὶ δὲ τῶν κεράτων ἔταξε κατὰ μὲν τὸ λαιὸν Γάϊον Λαίλιον, ἔχοντα τοὺς Ἰταλικοὺς ἱππέας· κατὰ δὲ τὸ δεξιὸν μέρος Μασσανάσσην μετὰ πάντων τῶν ὑφ' ἑαυτὸν τατ]ομένων
9 Νομάδων. τὰ δὲ διαστήματα τῶν πρώτων σημαιῶν ἀνεπλήρωσε ταῖς τῶν γροσφομάχων σπείραις, παρ-
10 αγείλας τούτοις προκινδυνεύειν· ἐὰν δὲ ἐκβιάζωνται, καὶ κατὰ τὴν τῶν θηρίων ἔφοδον, ἀποχωρεῖν, τοὺς μὲν

7. κατ' ἀλλήλους correxit Casaub. Mendose libri omnes ἀλλὰ καὶ κατ' ἄλλους. 10. καὶ κατὰ τὴν τῶν θηρ. Deletam conjunct. καὶ voluit Reisk.

multo post fieri contigit. Ceterum copiarum suarum ordines ita tum *Scipio* disposuit. Primum hastatos eorumque manipulos per intervalla: horum a tergo principes locavit, positis eorum manipulis non ex adverso interstitiorum, quæ intererant inter hastatorum manipulos, sicut mos est Romanorum; sed alios post alios in eadem serie, ex aliquo intervallo, propter multitudinem elephantorum, quos Pœni habebant. Vltimos, in extrema acie, triarios constituit. Ab lævo cornu *C. Lælium* cum Italico equitatu, ab dextro *Massanissam* cum omnibus suis Numidis opposuit. Vias patentes inter manipulos antefignanorum complevit velitum manipulis, dato præcepto, ut ante alios pugnam committerent: sin autem hostium vim aut elephantorum impetum sustinere non possent, retro pedem ut referrent; qui

Ol.144.2. μὲν καταταχοῦντας, διὰ τῶν ἐπ' εὐθείας διαστημάτων εἰς ταὐπίσω τῆς ὅλης δυνάμεως, τοὺς δὲ περικαταλαμβανομένους εἰς τὰ πλάγια παρίστασθαι διαστήματα κατὰ τὰς σημαίας.

X. Hortatur suos Scipio.

Ταῦτα δ' ἑτοιμασάμενος, ἐπεπορεύετο παρακαλῶν τὰς δυνάμεις, βραχέως μὲν, οἰκείως δὲ τῆς ὑποκειμένης περιστάσεως. Ἠξίου γὰρ „μνημονεύοντας τῶν προγεγονότων ἀγώνων, ἄνδρας ἀγαθοὺς γίγνεσθαι, σφῶν καὶ τῆς πατρίδος ἀξίους, καὶ λαμβάνειν πρὸ ὀφθαλμῶν, ὅτι, κρατήσαντες μὲν τῶν ἐχθρῶν, οὐ μόνον τῶν ἐν Λιβύῃ πραγμάτων ἔσονται κύριοι βεβαίως, ἀλλὰ καὶ τῆς ἄλλης οἰκουμένης τὴν ἡγεμονίαν καὶ δυναστείαν ἀδήριτον αὐτοῖς τε καὶ τῇ πατρίδι περιποιήσουσιν· ἐὰν δ' ὡς ἄλλοι ἐκβῇ τὰ κατὰ τὸν κίνδυνον, οἱ μὲν ἀποθανόντες εὐγενῶς ἐν τῇ μάχῃ κάλλιστον ἐνταφιον ἕξουσι τὸν ὑπὲρ τῆς πατρί-

10. παρίστ. διαστήματα. *Vocab. διαστήμ. quod conſtituentibus libris habet Hervagius, abeſt ab edit. Caſaub. & ſeqq.*

qui quidem celeritate pedum confiderent, per vias rectas inter manipulos patentes, pone aciem univerſam; qui vero occuparentur a belluis, in dextram ſiniſtramve iis ſeſe adplicarent intervallis, quæ eſſent inter ſigna.

10. His ita ordinatis, quaqua incederet per aciem, ſuos adhortabatur; paucis ille quidem, ſed ad præſens diſcrimen apte & convenienter. Petebat enim a militibus ſuis, ut „*memores pugnarum quas ante pugnaſſent, viros ſe præſtarent, priore ſua virtute & Romano dignos nomine: ponerentque ſibi illud ob oculos, ſe, victis eo prælio hoſtibus, non Africæ tantum poſſeſſionem firmam obtenturos; ſed etiam reliqui orbis terrarum imperium ac dominationem ſibi & patriæ ſuæ fine ulla controverſia quæſituros. Sin de exitu certaminis ſecus eveniret; cogitarent, eos, qui inter dimicandum diem clauderent ultimum, loco ſepulcralis ornamenti, atque ejus pulcerrimi, relaturos hoc decus, quod pro patria mortem oppe-*

Digitized by Google

πατρίδος θάνατον, οἱ δὲ διαφυγόντες, αἴσχιστον καὶ ἐλεεινότατον τὸν ἐπίλοιπον βίον. ἀσφάλειαν γὰρ τοῖς φυγοῦσιν οὐδεὶς ἱκανὸς περιποιῆσαι τόπος τῶν ἐν τῇ Λιβύῃ· πεσοῦσι δ' ὑπὸ τὰς τῶν Καρχηδονίων χεῖρας, οὐκ ἄδηλα ἔναγ τὰ συμβαίνοντα τοῖς ὀρθῶς λογιζομένοις· ὧν, ἔφη, μηδενὶ γένοιτο πεῖραν ὑμῶν λαβεῖν. Τῆς δ' οὖν τύχης ἡμῖν τὰ μέγιστα τῶν ἄθλων εἰς ἑκάτερον τὸ μέρος ἐκτεθεικυίας, πῶς οὐκ ἂν εἴημεν ἀγενέστατοι, καὶ συλλήβδην ἀφρονέστατοι πάντων, εἰ, παρέντες τὰ κάλλιστα τῶν ἀγαθῶν, ἑλοίμεθα τὰ μέγιστα τῶν κακῶν διὰ φιλοζωΐαν; Διόπερ ἠξίου, δύο προθεμένους, ταῦτα δ' ἐστὶν, ἢ νικᾶν ἢ θνήσκειν, ἐμὸσε χωρεῖν εἰς τοὺς πολεμίους. τοὺς γὰρ τοιαύτας ἔχοντας διαλήψεις, κατ' ἀνάγκην ἀεὶ κρατεῖν τῶν ἐπὶ τἀναντία τασσομένων, A V.552. Hortatur suos Scipio.

X. 5. ἀγενέστατοι. ἀγεννέστ. Casaub. invitis mistis. 7. κρατεῖν τῶν ἐπὶ τἀναντία. Reiskii conjecturam secutus sum. Vulgo omnes κρατεῖν δεῖ τἀναντία τασσομ.

oppetierint; qui periculum declinaſſent, vitam deinceps omnem acturos & turpiſſimam & miſerrimam. Eis enim, qui fugerint, nullum eſſe tota Africa locum, qui ſecuritatem poſſit præſtare: iis vero, qui in Pœnorum manus inciderint, quæ ſint eventura, non eſſe obſcurum recta ratione rem putantibus. Quæ ſuperi, inquit, *a vobis omnibus avertant! Quum igitur fortuna in utramvis partem præmia nobis propoſuerit omnium maxima: quid cauſſæ dicemus, cur non ignaviſſimi mortalium, atque, ut omnia verbo complectar, ſtultiſſimi ſimus exiſtimandi, ſi, rebus in arbitrio noſtro poſitis, pro iis bonis, quæ ſunt omnium pulcerrima, præ nimia cupiditate vitæ ea elegerimus mala, quæ ſunt omnium graviſſima?* Petere igitur ſe, *cum hoſte ſic congrederentur, ut qui duo hæc tantum præ oculis haberent, aut victoriam, aut mortem. Nam qui hoc eſſent animo præditi, ſemper eos de hoſti-*

Ol.144.2. μένων, ἐπειδὰν ἀπελπίσαντες τοῦ ζῆν ὦσιν εἰς τὴν μάχην." Ὁ μὲν οὖν Πόπλιος τοιαύτην ἐποιήσατο τὴν παραίνεσιν.

XI. Acies Hannibalis.

Ὁ δ' Ἀννίβας τοὺς μὲν θηρία πρὸ πάσης τῆς δυναμέως, ὄντα πλείω τῶν ὀγδοήκοντα, μετὰ δὲ ταῦτα τοὺς μισθοφόρους ἐπέστησε, περὶ μυρίους ὄντας καὶ δισχιλίους τὸν ἀριθμόν. οὗτοι δ' ἦσαν Λιγυστινοὶ, Κελτοὶ, Βαλιαρεῖς, Μαυρούσιοι. τούτων δὲ κατόπιν παρενέβαλε τοὺς ἐγχωρίους Λίβυας καὶ Καρχηδονίους· ἐπὶ δὲ πᾶσι τοὺς ἐξ Ἰταλίας ἥκοντας μεθ' ἑαυτοῦ, πλεῖον ἢ σταδίου ἀποστήσας τῶν προτεταγμένων. τὰ δὲ κέρατα διὰ τῶν ἱππέων ἠσφαλίσατο, θεὶς ἐπὶ μὲν τὸ λαιὸν τοὺς συμμάχους Νομάδας, ἐπὶ δὲ τὸ δεξιὸν τοὺς τῶν Καρχηδονίων ἱππεῖς. Παρήγγειλε δὲ, τοὺς ἰδίους στρατιώτας ἕκαστον παρακαλεῖν, ἀναφέροντας τὴν ἐλπίδα τῆς νίκης ἐφ' ἑαυτὸν καὶ τὰς μεθ' ἑαυτοῦ παραγεγενημένας δυνάμεις· τοῖς δὲ Καρχηδονίοις ἐπέλευσε τοὺς ἡγου-

XI. 2. παρενίβαλε. Correxi vulgatum παρέλαβε.

bus victoriam reportare, ubi vitæ posita spe pugnam capessant." Tali fere modo *Scipio* suos cohortabatur.

II. *Hannibal* vero belluas (erant autem amplius LXXX) ante aciem universam, mercenarios proximos illis a tergo constituit, numero ad duodecim millia. Erant hi Ligures, Galli, Baleares, Mauri. Pone hos in mediam aciem indigenas Afros & Carthaginienses recepit. Spatio deinde amplius quam stadii relicto, Italicos milites, qui secum venerant, a tergo omnium constituit. Cornua equitatu firmavit: lævum socii Numidæ, dextrum equites Carthaginiensium tenuerunt. Ducibus autem præcepit, ut suos quisque milites adhortarentur, juberentque spem victoriæ in se ponere, & eo, quem ex Italia adduxerat, exercitu. Carthaginiensibus vero,

Digitized by Google

ἡγουμένους τὰ συμβησόμενα περὶ τέκνων καὶ γυναι- A.V.552.
κῶν ἐξαριθμεῖσθαι, καὶ τιθέναι πρὸ ὀφθαλμῶν, ἐὰν
ἄλλως πως ἐκβῇ τὰ τῆς μάχης. οὗτοι μὲν οὖν οὕτως
6 ἐπρίουν τὸ παραγγελθέν. Ἀννίβας δὲ τοὺς μεθ' Hannibal
ἑαυτοῦ παραγεγονότας ἐπιπορευόμενος, ἠξίου καὶ horratur
παρεκάλει διὰ πλειόνων, μνηθῆναι μὲν τῆς πρὸς suos.
ἀλλήλους ἑπτακαιδεκαέτους συνηθείας, μνηθῆναι δὲ
τοῦ πλήθους τῶν προγεγονότων αὐτοῖς πρὸς Ῥω-
7 μαίους ἀγώνων· ἐν οἷς ἀήττητους γεγονότας οὐδ' ἐλ-
πίδα τοῦ νικᾶν οὐδέποτ', ἔφη, Ῥωμαίοις αὐτοὺς ἀπο-
8 λελοιπέναι. τὸ δὲ μέγιστον, ἠξίου λαμβάνειν πρὸ
ὀφθαλμῶν, χωρὶς τῶν κατὰ μέρος κινδύνων καὶ τῶν
ἀναριθμήτων προτερημάτων, τήν τε περὶ τὸν Τρε-
βίαν ποταμὸν μάχην πρὸς τὸν πατέρα τοῦ νῦν
ἡγουμένου Ῥωμαίων, ὁμοίως τὴν ἐν Τυρρηνίᾳ πρὸς
Φλαμίνιον μάχην, ἔτι δὲ τὴν περὶ Κάνναις λεγομέ-
9 νην πρὸς Αἰμίλιον· ἃς οὔτε κατὰ πλῆθος τῶν ἀν-

 δρῶν,

8. περὶ Κάνναις λεγομένην. γενομένην voluit Reisk.

vero, ut recenſerent atque ob oculos ponerent, ſi alius eſſet pugnæ exitus, quam optarent, quæ calamitas liberos ipſorum ac conjuges maneret. Et illi quidem, uti fuerant juſſi, fecerunt: *Hannibal* vero eorum ordines, qui ſecum advenerant, obambulans, petebat ab iis, multumque ipſos hortabatur, *meminiſſent commilitii, quod annos ſeptemdecim invicem coluiſſent; meminiſſentque illarum tot numero pugnarum, quas cum Romanis pugnaſſent: e quibus quum ſemper invicti diſceſſiſſent, ne ſpem quidem ullam ſe Romanis reliquiſſe unquam vincendi. Ante omnia, ut oculis ſibi ſubjicerent, poſtulabat, præter tot minora prælia & infinitas numero victorias, pugnam ad Trebiam cum hujus ipſius Romanorum imperatoris patre commiſſam: pugnam item in Etruria cum Flaminio, necnon illam ad Cannas cum Aemilio pugnatam. Quæ omnes pugnæ cum præſenti certa-*

Digitized by Google

Ol. 144. 2. Hannibal hortatur suos.

δρῶν, οὔτε κατὰ τὰς ἀρετὰς ἀξίας εἶναι συγκρίσεως πρὸς τὸν νῦν ἐπιφερόμενον κίνδυνον. Καὶ ταῦτα λέγων, ἅμα βλέπειν αὐτοὺς ἐκέλευε, καὶ τὴν τῶν ὑπεναντίων κατοπτεύειν τάξιν· οὐ γὰρ οἷον ἐλάττους, ἀλλ' οὐδὲ πολλοστὸν μέρος εἶναι τῶν τότε πρὸς αὐτοὺς ἀγωνισαμένων· ταῖς γε μὴν ἀρεταῖς οὐδὲ σύγκρισιν ἔχειν. ἐκείνους μὲν γὰρ, ἀηττήτους ὄντας, ἐξ ἀκεραίου διηγωνίσθαι πρὸς σφᾶς· τούτων δὲ τοὺς μὲν ἐκγόνους εἶναι, τοὺς δὲ λείψανα τῶν ἡττημένων ἐν Ἰταλίᾳ, καὶ πεφευγότων αὐτὸν πλεονάκις. Διόπερ ὤετο, δεῖν μὴ καταλῦσαι μήτε τὴν σφῶν αὐτῶν, μήτε τὴν τοῦ προεστῶτος δόξαν καὶ προσηγορίαν· ἀλλ', ἀγωνισαμένους εὐψύχως, βεβαιῶσαι τὴν διαδεδομένην περὶ αὐτῶν φήμην, ὡς ὄντων ἀηττήτων. Ταῦτα μὲν οὖν καὶ τοιαῦτα παρεκάλεσαν ἀμφότεροι.

Ἐπειδὴ

10. καὶ τὴν τῶν ὑπ. *Conjunctionem* καὶ, *quum abesset a libris, ex conject. adjecit Casaub.*

certamine nullo modo sint comparandæ, sive ob virorum numerum, sive ob virtutem militum. Simul, hæc dicens, *respicere in hostium aciem, eamque lustrare oculis* jubebat. *Neque enim pauciores tantum, verum ne multesimam quidem partem esse eorum, qui in prioribus illis certaminibus secum decertavissent. Ad virtutem autem quod adtineret, ne institui quidem comparationem ullam posse. Nam illos, quum antea invicti fuissent, viribus integris secum rem gessisse; horum autem alios esse illorum sobolem, alios superstites quasdam reliquias eorum, quos in Italia ipsi vicissent, & qui sæpe in fugam a se fuissent versi. Videndum igitur illis esse, ne suam sibi ipsi, & sui imperatoris gloriam, & partum virtute nomen everterent; sed fortiter decertando late sparsam de se famam, invictos esse viros, magis magisque firmarent.* Ita utrimque imperatores suas copias sunt cohortati.

12. Postea

Ἐπειδὴ δ' ἑκατέροις ἦν εὐτρεπῆ τὰ πρὸς τὸν κίνδυνον, πάλαι τῶν Νομαδικῶν ἱππέων πρὸς ἀλλήλους ἀκροβολιζομένων· τότε παρήγγειλε τοῖς ἐπὶ τῶν ἐλεφάντων Ἀννίβας, ποιεῖσθαι τὴν ἔφοδον ἐπὶ τοὺς ὑπεναντίους. Ἅμα δὲ τῷ παντα χόθεν τοὺς σάλπιγγας καὶ τὰς βυκάνας ἀναβοῆσαι, τινὰ μὲν διαταραχθέντα τῶν θηρίων ἐξαυτῆς ὥρμησε παλίσσυτα κατὰ τῶν βεβοηθηκότων τοῖς Καρχηδονίοις Νομάδων· διὸ διὰ τῶν περὶ τὸν Μασσανάσσην ταχέως ἐψιλώθη τὸ λαιὸν κέρας τῶν Καρχηδονίων. τὰ δὲ λοιπὰ, συμπεσόντα τοῖς τῶν Ῥωμαίων γροσφομάχοις ἐν τῷ μεταξὺ χωρίῳ τῶν παρατάξεων, πολλὰ μὲν ἔπαισχε κακὰ, πολλὰ δ' ἐποίει τοὺς ὑπεναντίους· ἕως ὅτου περιβεβλημένα, τὰ μὲν διὰ τῶν διαστημάτων ἐξέπεσε, δεξαμένων αὐτὰ τῶν Ῥωμαίων ἀσφαλῶς κατὰ τὴν τοῦ στρατηγοῦ πρόνοιαν, τὰ δ' ἐπὶ

A.V.552. XII. Pugna Scipionis cum Hannibale.

Kk 3

XII. 2. τοῖς Καρχ. ἐν τοῖς Καρχ. *Herv. cum mstis.* Ibid. διὸ διὰ τῶν. *Sic Casaub. ex conject. Abest enim* διὸ *ab Herv. & Med. Vtrumque,* διὸ & διὰ, *ignorant Vrb. Aug. Vrsin. Regii tres, Vesont. Tubing.*

12. Postea vero quam omnia ad pugnam necessaria ambo paraverant; quum Numidici equites multo ante levibus præliis sese mutuo lacessere cœpissent; tunc *Hannibal* eos, qui elephantis insidebant, jussit impetum in hostem facere. Simulac tubæ cornuaque undique concinuerunt, parte bestiarum præ metu retro aversa, & in Numidas Pœnorum auxiliares irruente, confestim Massaniſſa lævum cornu Punicæ aciei equestri auxilio nudavit. Reliqui elephanti medio inter geminas acies campo, impetu facto in Romanos velites, cum multis quidem suis vulneribus ingentem hostium stragem edebant; donec metu consternati, partim per aciei Romanorum intervalla erumpunt, Romanis sine ullo periculo (id enim pro sua prudentia caverat *Scipio*) eos

Digitized by Google

Ol. 144. 2. Pugna Scip. cum Hannib.

ἐπὶ τὸ δεξιὸν μέρος παραφυγόντα, διὰ τῶν ἱππέων συνακοντιζόμενα, τέλος εἰς τὸν ἔξω τόπον τῶν στρατοπέδων ἐξέπεσεν. ὅτε δὴ καὶ Λαίλιος, ἅμα τῇ περὶς τοὺς ἐλέφαντας ταραχῇ ἐμβαλὼν, ἠνάγκασε φυγεῖν τοὺς τῶν Καρχηδονίων ἱππεῖς προτροπάδην. οὗτος μὲν οὖν ἐπέκειτο τοῖς φεύγουσιν ἐκθύμως· τὸ δ' ὅμοιον ἐποίει καὶ Μασσανάσσης. Κατὰ δὲ τὸν καιρὸν τοῦτον αἱ φάλαγγες ἀμφότεραι βάδην ἀλλήλαις καὶ σοβαρῶς ἐπῆσαν, πλὴν τῶν ἐκ τῆς Ἰταλίας μετ' Ἀννίβου παραγεγονότων· οὗτοι δ' ἔμενον, ἐπέχοντες τὸν ἐξ ἀρχῆς τόπον. Ἐπειδὴ δ' ἐγγὺς ἦσαν ἀλλήλων, οἱ μὲν Ῥωμαῖοι, κατὰ τὰ πάτρια συναλαλάξαντες καὶ συμψοφήσαντες τοῖς ξίφεσι τοὺς θυρεοὺς, προσέβαλον τοῖς ὑπεναντίοις. οἱ δὲ μισθοφόροι τῶν Καρχηδονίων ἀδιάκριτον ἐποίουν τὴν φωνὴν καὶ παρηλλαγμένην· οὐ γὰρ πάντων ἦν κατὰ τὸν ποιητὴν ὁ αὐτὸς θροῦς, οὐδ' ἓν γῆρυς·

Ἄλλη

4. τελέως. τέλος *Ang. Reg. E.*

eos admittentibus, alii in dextram partem fuga delati, equitum jaculis confodiuntur, & ad extremum ex acie penitus pelluntur. Quo tempore *Lælius*, ut turbatos a belluis vidit hoſtes, in eos invectus, Carthaginienſem equitatum effuſam capere fugam compulit. Et *Lælius* quidem fugientes animoſe perſequebatur; idemque & *Maſſaniſſa* pariter faciebat. Hæc vero dum aguntur, utraque peditum acies lentis ac ſuperbis inceſſibus gradum promovebat, iis exceptis, qui ex Italia cum Hannibale venerant: nam hi ſtationem, in qua primo fuerant poſiti, ſervarunt. Vbi prope eſt ventum, Romani more patrio clamorem tollentes, gladiisque ad ſcuta concrepantes, concurrunt cum hoſte. Carthaginienſium vero mercenarii indiſcretas & diſſonas voces edebant, ut quibus *vox eadem*, quod ait poëta, *non eſſet, nec ſonus idem:*

Simo

Ἄλλη δ' ἄλλων γλῶσσα, πολύκλητοι δ' ἔσαν ἄνδρες, καθάπερ ἀρτίως ἐξηριθμησάμην. A.V.552.

Πάσης δ' οὔσης ἐν χερσὶ καὶ κατ' ἄνδρα τῆς μάχης, διὰ τὸ μὴ δόρασι, μηδὲ ξίφεσι χρῆσθαι τοὺς ἀγωνιζομένους, τῇ μὲν εὐχειρείᾳ καὶ τόλμῃ προεῖχον οἱ μισθοφόροι τοὺς ἀρχαίους, καὶ πολλοὺς κατετραυμάτιζον τῶν Ῥωμαίων· τῷ δὲ τῆς συντάξεως ἀκριβεῖ καὶ τῷ καθοπλισμῷ πιστεύοντες οἱ Ῥωμαῖοι, μᾶλλον ἐπέβαινον εἰς τὸ πρόσθεν. Ἅμα δὲ τοῖς μὲν Ῥωμαίοις ἑπομένων καὶ παρακαλούντων τῶν κατόπιν, τοῖς δὲ μισθοφόροις τῶν Καρχηδονίων οὐ συνεγγιζόντων, οὐδὲ παραβοηθούντων, ἀλλ' ἀποδειλιώντων ταῖς ψυχαῖς· πέρας ἐνέκλιναν οἱ βάρβαροι, καὶ δόξαντες ἐγκαταλείπεσθαι προφανῶς ὑπὸ τῶν ἰδίων, ἐπιπεσόντες κατὰ τὴν ἀποχώρησιν εἰς τοὺς δεφεστῶτας, ἔκτεινον τούτους. ὃ καὶ πολλοὺς ἠνάγκα- XIII. Pugna Scip. cum Hannib.

XIII. 1. εὐχειρείᾳ. εὐχερείᾳ Reg. E. εὐχαιρίᾳ malim. 4. ἀποχώρησιν. ὑποχώρησιν Casaub. invitis mistis.

Sermo etenim varius varia de gente vocatis,
sicut paullo ante recensui.

13. Quum in dextris omne certamen esset, ac vir cum viro confligeret, quia non hastis ac ne gladiis quidem res gerebatur, agilitate & audacia mercenarii Pœnorum initio prævalebant, multosque adeo Romanos vulnerarunt: verum Romani eximia ordinatione suæ aciei & genere armorum freti, gradum ulterius magis inferebant. Ac quoniam Romanos quidem sui, qui erant a tergo, & sequebantur, & urgebant adsidua cohortatione; contra mercenariis hostium non adpropinquabant Carthaginienses, neque opem ferebant, sed præ metu animos despondebant; ad extremum in fugam barbari inclinarunt, & manifesto proditos sese putantes a suis, dum se retro recipiunt, in eos, quos a tergo habuerant, irruunt eosque obtruncant. Quæ sane res fecit, ut multi Carthagi-

Digitized by Google

Ol.144.2. Pugna Scip.cum Hannib.

σε τῶν Καρχηδονίων ἀνδρωδῶς ἀποθανεῖν· φονευόμενοι γὰρ ὑπὸ τῶν μισθοφόρων, ἐμάχοντο παρὰ τὴν αὐτῶν προαίρεσιν ἅμα πρός τε τοὺς ἰδίους καὶ πρὸς τοὺς Ῥωμαίους. ποιούμενοι δὲ τὸν κίνδυνον ἐκστατικῶς καὶ παρηλλαγμένως, οὐκ ὀλίγους διέφθειραν καὶ τῶν ἰδίων καὶ τῶν ὑπεναντίων. Καὶ δὴ τῷ τοιούτῳ τρόπῳ συνέχεαν ἐπιπεσόντες τὰς τῶν ἀστάτων σημαίας. οἱ δὲ τῶν πριγκίπων ἡγεμόνες, συνθεασάμενοι τὸ γεγονὸς, ἐπέστησαν τὰς αὐτῶν τάξεις. τῶν δὲ μισθοφόρων καὶ τῶν Καρχηδονίων τὸ πλεῖστον μέρος τὸ μὲν ὑφ' αὑτῶν, τὸ δ' ὑπὸ τῶν ἀστάτων αὐτοῦ κατεκόπη. Τοὺς δὲ διασωζομένους καὶ φεύγοντας οὐκ εἴασε καταμιγῆναι ταῖς δυνάμεσιν Ἀννίβας, ἀλλὰ προβαλέσθαι παραγγείλας τοῖς ἐπιστάταις, ἐκώλυσε μὴ παραδέξασθαι τοὺς ἐγγίζοντας. ὅθεν ἠναγκά-

7. οἱ δὲ τῶν πριγκ. Sic ex ing. correxit Casaub. Libri omnes dant οἱ μὲν γὰρ τῶν πριγκ. quod, nescio quo consilio, probavit Reiskius. An pro ἐπιπεσόντες legendum ἐπὶ πολὺ τὰς τῶν ἀστ. σημαίας? Tum vero οὐ μήν, ἀλλ' οἱ μὲν γὰρ τῶν πριγκ.? 9. προβαλέσθαι. προβάλεσθαι Casaub.

thaginienſium ſtrenue dimicando occumberent: a mercenariis namque cæſi, præter voluntatem ſimul cum ſuis, ſimul cum Romanis, manus conſerebant. Quum vero ceu mente emota & more inuſitato præliarentur, & ſuorum & hoſtium multos peremerunt. Hoc igitur pacto in haſtatos illati, ordines eorum conturbarunt. Quod ut animadverſum eſt a principum centurionibus, ſuos hi manipulos illis oppoſuerunt. Ita pars maxima cum mercenariorum, tum Carthaginienſium, partim mutuis invicem vulneribus, partim ab haſtatis cæſa, eo loci periit. Eos, qui cædi ſuperfuerant ac fugiebant, in ſuam aciem miſceri non eſt paſſus *Hannibal*; ſed proximos a fronte ordines haſtas prætendere jubens, ne adpropinquantes admitterentur, prohibuit; ita

ἠναγκάσθησαν οὗτοι μὲν ποιεῖσθαι τὴν ἀποχώρησιν A.V.552.
ἐπὶ τὰ κέρατα καὶ τὰς ἐκ τούτων εὐρυχωρίας.

Γενομένου δὲ τοῦ μεταξὺ τόπου τῶν καταλειπο- XIV.
μένων στρατοπέδων πλήρους αἵματος, φόνου, νεκρῶν, Pugna Scipionis cum Hannibale.
πολλὴν ἀπορίαν παρεῖχε τῷ τῶν Ῥωμαίων στρατη-
2γῷ τὸ τῆς τροπῆς ἐμπόδιον. ὅ τε γὰρ τῶν νεκρῶν
ὄλισθος, ὡς ἂν αἱμοφύρτων καὶ σωρηδὸν πεπτωκό-
των, ἥ τε τῶν χύδην ἐῤῥιμμένων ὅπλων ὁμοῦ τοῖς
πτώμασιν ἀλόγια, δυσχερῆ τὴν ὁδὸν ἔμελλε ποιή-
3σειν τοῖς ἐν τάξει διαπορευομένοις. Οὐ μὴν, ἀλλὰ
τοὺς μὲν τραυματίας εἰς τοὐπίσω τῆς παρατάξεως
κομισάμενος, τοὺς δ' ἐπιδιώκοντας τῶν ἀστάτων
ἀνακαλεσάμενος διὰ τῆς σάλπιγγος, τοὺς μὲν αὐ-
τοῦ πρὸ τῆς μάχης κατὰ μέσους τοὺς πολεμίους
4ἐπέστησε· τοὺς δὲ περίγκιπας καὶ τριαρίους πυκνώ-
σας ἐφ' ἑκάτερον τὸ κέρας, προάγειν παρήγγειλε

XIV. 1. Ῥωμαίων στρατηγῷ cum Vrsino & Xylandro correxit Casaub. Mendose Καρχηδονίων Herv. cum codd. omnibus. 3. ὁ ἐπιδιών. δὲ διώκοντας Casaub. invitis mstis.

ita ut cornua & utrimque patentes campos petere sint coacti.

14. Quum vero esset omne spatium inter reliquas acies cruore, cæde, ac vulneribus refertum; e parta jam victoria oriens impedimentum magna difficultate Romanum imperatorem adficiebat. Nam & labes sanguinis mortuorum, cruore respersorum, & qui acervatim alius super alium cecidérant, ad hæc arma passim disjecta, & cum ipsis cadaveribus temere jacentia, aciei sub signis & ordinate procedenti viam difficilem præbebant. *Scipio* tamen, sauciis pone ultimam aciem subductis, & eis ex hastatis, qui hostem insequebantur, per tubicines revocatis, ipsos quidem hastatos, ibidem ante locum, ubi edita erat pugna, stare jussos, mediæ Pœnorum aciei opposuit; principes vero triariosque densare ordines, & per strages mortuorum

Ol. 144. 2. Pugna Scip. cum Hannib.

διὰ τῶν νεκρῶν. Ἐπειδὴ δ' ὑπερβάντες ἐξ ἴσου τοῖς ἀστάτοις ἐγένοντο, συνέβαλλον αἱ φάλαγγες ἀλλήλαις μετὰ τῆς μεγίστης ὁρμῆς καὶ προθυμίας. Ὄντων δὲ καὶ τῷ πλήθει καὶ τοῖς φρονήμασι καὶ τοῖς ἀρεταῖς καὶ τοῖς καθοπλισμοῖς παραπλησίων ἀμφοτέρων, ἄκριτον ἐπὶ πολὺ συνέβαινε γενέσθαι τὴν μάχην· ἐν αὐταῖς ταῖς χώραις ἐναποθνησκόντων τῶν ἀνδρῶν διὰ φιλοτιμίαν· ἕως οἱ περὶ τὸν Μασσανάσσην καὶ Λαίλιον, ἀπὸ τοῦ διώγματος τῶν ἱππέων ἀνακάμπτοντες, δαιμονίως εἰς δέοντα καιρὸν συνῆψαν. Ὧν προσπεσόντων τοῖς περὶ τὸν Ἀννίβαν κατόπιν, οἱ μὲν πλεῖστοι κατεκόπησαν ἐν τῇ τάξει· τῶν δὲ πρὸς φυγὴν ὁρμησάντων ὀλίγοι μὲν τελέως διέφυγον, ἅτε τῶν ἱππέων ἐν χερσὶν ὄντων, καὶ τῶν τόπων ἐπιπέδων ὑπαρχόντων. Ἔπεσον δὲ τῶν μὲν Ῥωμαίων ὑπὲρ τοὺς χιλίους πεντακοσίους, τῶν δὲ Καρχη-

Vincit Scipio.

5. συνέβαλλον. συνέβαλον *Aug. Reg. E. G.* 7. Μασσανάσσην. Μασσανασσῆν *fere constanter libri nostri, cum accentu in ult. Sed mox deinde penacute Reg. E.* Ibid. δαιμονίως. καὶ δαιμονίως *Herv. cum multis.*

tuorum pergere ad utrumque cornu jubet. Qui, superatis viæ impedimentis, ubi frontem æquatam cum hastatis effecerunt; ingenti ardore & alacritate animorum acies ambæ concurrerunt. Quæ & numero, & animis, & virtute atque armatura pares inter se quum essent; in ipso vestigio præ obstinatione morientibus qui confligebant, diu pugna neutro inclinata stetit: donec *Massanissa* & *Lælius*, a persecutione equitum revertentes, sane quam in tempore & divinitus advenerunt. Quibus aciem Hannibalis a tergo invadentibus, plerique Pœnorum in suis stationibus sunt trucidati: pauciique omnino eorum, qui se in pedes conjecerant, effugerunt, cum ad manus essent equites, & loca plana essent. Ceciderunt Romanorum amplius mille quingenti; Carthagi-

Digitized by Google

Καρχηδονίων ὑπὲρ δισμυρίους, αἰχμαλώτους δ' ἐάλω- A.V.552.
σαν οὐ πολὺ τούτων ἐλάττους.

Ἡ μὲν οὖν ἐπὶ πᾶσι γενομένη μάχη, καὶ τὸ ὅλως XV.
περίασσα Ῥωμαίοις διὰ τῶν προειρημένων ἡγεμόνων,
τοιοῦτον ἔσχε τὸ τέλος. Μετὰ δὲ τὴν μάχην Πό-
πλιος μὲν, ἐπακολουθήσας, καὶ διαρπάσας τὸν χά-
ρακα τῶν Καρχηδονίων, αὖθις ἀνεχώρησεν εἰς τὴν
ἰδίαν παρεμβολήν. Ἀννίβας δὲ, μετ' ὀλίγων ἱππέων Hannibal victus, non sua culpa.
κατὰ τὸ συνεχὲς ποιούμενος τὴν ἀναχώρησιν, εἰς
Ἀδρύμητα διεσώθη· πάντα τὰ δυνατὰ ποιήσας κα-
τὰ τὸν κίνδυνον, ὅσα τὸν ἀγαθὸν ἔδει στρατηγὸν
καὶ πολλῶν ἤδη πραγμάτων πεῖραν εἰληφότα.
Πρῶτον μὲν γὰρ, εἰς λόγους συνελθὼν, ἐπειράθη
διὰ αὐτοῦ λύσιν ποιήσασθαι τῶν ἐνεστώτων. τοῦτο δ'
ἐστὶ τοῦ προσδότος τὰ κατορθώματα, ἀλλὰ καὶ
ἀπι-

XV. 4. δι' αὐτοῦ. δι' αὐτοῦ Casaub. invitis mtis. 5. τοῦ προσδότος dedit Vtb. & Reg. E. οὐ προσδότος Herv. cum Med. Aug. Reg. F. G. Vesint. Txt. quod in οὐ προδόντος ex ing. mutavit Casaub. Ibid. ἀλλὰ καὶ ἀνιστοῦντος. Sic Reg. E. Puto & Vtb. Ceteri vulgo ignorant καὶ.

thaginienſium ſupra viginti millia; capti haud multo pauciores.

15. Hunc habuit exitum ultima illa pugna, per prædictos imperatores commiſſa, quæ orbis imperium Romanis adjudicavit. A prælio *P. Cornelius*, poſtquam aliquamdiu hoſtem effet inſecutus, & Pœnorum caſtra diripuiſſet, in ſua mox caſtra eſt reverſus. *Hannibal*, cum equitibus paucis ſe recipiens, continuis itineribus *Adrumetum* tandem evaſit; omnia in prælio expertus, quæ a bono imperatore & magno rerum uſu prædito poterant præſtari. Primum enim, cum Scipione in colloquium congreſſus, ut ad concordiam ſua opera res deduceretur, laboravit. Quod quidem conſilium ejus viri eſt, qui rei bene gerendæ rationes providerit, ſed ſimul

Ol. 144. 2. Hannibal victus, ἀπιστοῦντος τῇ τύχῃ, καὶ προορωμένου τὰ περὶ τὰς μάχας ἐκβαίνοντα παράλογα. Μετὰ δὲ ταῦτας συγκαταστὰς εἰς τὸν κίνδυνον, οὕτως ἐχρήσατο τοῖς πράγμασιν, ὥστε μὴ δυνατὸν εἶναι, βέλτιον πρὸς Ῥωμαίους ἀγῶνα συστήσασθαι παραπλησίῳ καθοπλισμῷ χρώμενον, οὗ τότε συνεστήσατο Ἀννίβας. οὔσης γὰρ δυσδιασπάστου τῆς Ῥωμαίων τάξεως καὶ δυνάμεως, τὸν ἄνδρα συνέβη καὶ καθόλου καὶ κατὰ μέρη μάχεσθαι πρὸς πάσας τὰς ἐπιφανείας διὰ τῆς μιᾶς ἐκτάξεως, ἀεὶ τῶν ἔγγιστα τῷ δεινῷ σημαιῶν συνεπιστρεφουσῶν πρὸς τὸ δεόμενον. ἔτι δὲ τοῦ καθοπλισμοῦ σκέπην καὶ θράσος παρασκευάζοντος, καὶ διὰ τὸ μέγεθος τοῦ θυρεοῦ, καὶ τὴν τῆς μαχαίρας ὑπομονὴν τῶν πληγῶν, δύσμαχοι γίγνονται καὶ δυσκαταγώνιστοι διὰ τὰς προειρημένας αἰτίας.

Ἀλλ'

7. δυσδιασπάστου. διασπάστου *Herv. Aug. Reg. F. G. Vesont. Pub. quod probarunt Lipsius & Reisk.* Ibid. τῶν ἔγγιστα τῷ δεινῷ σημαιῶν. ἔγγιστα τῷ δεινῷ σημαιῶν *Vrb. & Reg. E. Postremum vocab. correxit Casaub. & ante ἔγγιστα articulum τῶν ex ingenio adjecit. Mendose edieri ἀεὶ ἔγγιστα τῶν διασημαίων.*

simul fortunæ diffidat, & inopinatos atque mirabiles præliorum eventus animo prospiciat. Prælio deinde cum hoste susceptο, ita omnia administravit, ut, qui eodem genere armorum uteretur, certamen cum iis instituere majore arte non potuerit, quam ab Hannibale tum sit factum. Nam licet haud facile solvi divellique Romana acies possit; tamen, per unam eamdemque instruendæ aciei rationem, milites & singuli & manipulatim in omnes partes pugnare possunt, &, qua parte imminet periculum, in eam semper partem proximi manipuli sese convertunt. Accedit, quod, genere ipso armorum securitatem & audaciam præbente, (nam & scutum magnitudinem habet, & gladius sufferre ictus potest;) acerrima propter has causas prælia cient, & victoriam hostibus difficillime concedunt.

16. At

Digitized by Google

Ἀλλ' ὅμως πρὸς ἕκαστα τούτων οὕτως ἐνδεχο- A.V.552. XVI.
μένως Ἀννίβας ἐκ τῶν κατὰ λόγον ἡρμόσατο παρ' non sua
αὐτὸν τὸν καιρὸν, ὥσθ' ὑπερβολὴν μὴ καταλιπεῖν. culpa.

2 τὸ μὲν γὰρ τῶν ἐλεφάντων πλῆθος ἐξαυτῆς παρεσκευάσατο, καὶ τότε προεβάλλετο, χάριν τοῦ συνταράξαι καὶ διασπάσαι τὰς τάξεις τῶν ὑπεναντίων.

3 τοὺς δὲ μισθοφόρους προέταξε, καὶ τοὺς Καρχηδονίους ἔθηκε μετὰ τούτους, ἕνεκα τοῦ προεκλῦσαι μὲν τῷ κόπῳ τὰ σώματα τῶν πολεμίων, ἀχρειῶσαι δὲ τὰς ἀκμὰς τῶν ὅπλων διὰ τὸ πλῆθος τῶν φονευομένων, ἀναγκάσαι δὲ τοὺς Καρχηδονίους, μέσους ὄντας, μένειν καὶ μάχεσθαι κατὰ τὸν ποιητὴν,

Ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζοι.

4 Τοὺς δὲ μαχιμωτάτους καὶ στασιμωτάτους τῶν ἀνδρῶν ἐν ἀποστάσει παρενέβαλε, χάριν τοῦ προορωμένους ἐκ πολλοῦ τὸ συμβαῖνον, καὶ διαμένοντας ἀκεραίους τοῖς τε σώμασι καὶ ταῖς ψυχαῖς, σὺν καιρῷ χρήσα-

16. At *Hannibal* tamen ad unumquodque horum ita ſuas copias, quantum ejus fieri poterat, rationes ſecutus probabiles, adcommodaverat e re nata, ut nihil quiret aptius excogitari. Nam & a principio multos ſibi comparaverat elephantos, & tunc ante frontem eos collocaverat, ut ordines aciei Romanæ conturbarent & divellerent. Iam mercenarios in prima acie, & proximos his Carthaginienſes ſtatuerat; tum ut hoſtium corpora ante veram pugnam labore fatigaret, præque multitudine eorum, qui occiderentur, arma inimicorum hebetatis mucronibus redderet inutilia: tum ut Carthaginienſes ſtare & pugnare cogeret, in media poſitos acie;

Vt vel inviti quisque, necessitate adactus, pugnaret;

ſicut ait poëta. Pugnaciſſimos vero fuorum & maxime ſtabiles aliquanto ſpatio a ceteris ſeparaverat, ut e longinquo proſpicientes quid ageretur, & corporibus animisque integri manentes, deinde, ubi foret opportunum,

Digitized by Google

Ol. 144. 2. Hannibal victus, non sua culpa.

χρήσασθαι ταῖς σφετέραις ἀρεταῖς. Εἰ δὲ, πάντας τὰ δυνατὰ ποιήσας πρὸς τὸ νικᾶν, ἐσφάλη, τὸν πρὸ τούτου χρόνον ἀήττητος ὢν, συγγνώμην δοτέον. ἔστι μὲν γὰρ ὅτε καὶ ταὐτόματον ἀντέπραξε τοῖς ἐπιβολαῖς τῶν ἀγαθῶν ἀνδρῶν· ἔστι δ' ὅτε πάλαι, κατὰ τὴν παροιμίαν,

Ἐθλὸς ἐὼν, ἄλλου πρείσσονος ἀντέτυχεν.

ὃ δὴ καὶ τότε γεγονέναι περὶ ἐκεῖνον φήσειεν ἄν τις.

XVII. Legatis Pœnorum respondet Scipio.

Τὰ γὰρ ὑπεραίροντα τὴν κοινὴν συνήθειαν τῶν παρ' ἑνίοις ἐθισμῶν, ὅταν μὲν αὐτοπαθῶς δόξῃ γίγνεσθαι διὰ τὸ μέγεθος τῶν συμπτωμάτων, ἔλεον ἐκκαλεῖται παρὰ τοῖς ὁρῶσι καὶ τοῖς ἀκούουσι, καὶ συγκινεῖ πως ἕκαστον ἡμῶν ὁ ξενισμός· ἐπὰν δὲ φαίνηταί τι ποιητέας χάριν καὶ καθ' ὑπόκρισιν γίγνεσθαι τὸ τοιοῦτον, οὐκ ἔλεον, ἀλλ' ὀργὴν ἐξεργάζεται καὶ μῖσος.

tunum, virtute sua uterentur. Quod si eum, postquam omnia fecit, quæ ad vincendum poterant fieri, spes est frustrata, virum ante eam diem invictum, venia ipsi danda. Nam *interdum virorum fortium inceptis fortuna ipsa & casus resistunt.* Interdum vero id evenit, quod proverbio dici solet, ut

Occurrat forti, qui mage fortis erat.

Quod & tunc *Hannibali* contigisse aliquis merito dixerit.

17. Quæ communem consuetudinem & vulgo receptos apud populum aliquem mores excedunt, ea, quoties ex vero adfectu existimantur proficisci propter calamitatum magnitudinem, solent videntium atque audientium misericordiam elicere; nec fere est quisquam nostrum, quem rei novitas non commoveat. At quoties præstigiarum caussa & per simulationem ejusmodi aliquid fit; non commiseratio, sed ira & odium sequitur:

Digitized by Google

σος. ὃ καὶ τότε συνέβη γενέσθαι περὶ τοὺς πρεσβευ- A.V.552.
3τὰς τῶν Καρχηδονίων. Ὁ δὲ Πόπλιος διὰ βραχέων Legatis Pœnorum respondet Scipio.
ἤρξατο λέγειν πρὸς αὐτούς· ὡς ἐκείνων μὲν χάριν οὐδὲν ὀφείλουσι ποιεῖν φιλάνθρωπον, ὁμολογούντων αὐτῶν, διότι καὶ τὸν πόλεμον ἐξ ἀρχῆς ἐπενέγκαιεν Ῥωμαίοις παρὰ τὰς συνθήκας, ἐξανδραποδισάμενοι τὴν Ζακανθαίων πόλιν, καὶ πρώην παρασπονδήσαιεν, ἀθετήσαντες τοὺς ὅρκους· καὶ τὰς ἐγχράπτους ὁμο-
4λογίας· αὐτῶν δὲ χάριν ἔφασαν, καὶ τῆς τύχης, καὶ τῶν ἀνθρωπίνων, κεκρίσθαι σφίσι περίως χρῆ-
5σθαι καὶ μεγαλοψύχως τοῖς πράγμασι. Φανήσε-σθαι δὲ τοῦτο καὶκείνοις ἔφησεν, ἐὰν ὀρθῶς διαλαμβάνωσι περὶ τῶν ἐνεστώτων. οὐ γὰρ, εἴ τι πάσχειν ἢ ποιεῖν ἢ διδόναι σφίσιν ἐπιτάχθήσεται, τοῦτο δεῖν νομίζειν δεινόν· ἀλλ' εἴ τι συγχωρηθήσεται φιλάν-
6θρωπον, τοῦτο μᾶλλον ἡγεῖσθαι παράδοξον· ἐπείπερ ἡ τύ-

XVII. 5. δεῖν νομίζειν adscivi ex Reg. E. Cæteri vulgo δεῖ νομίζειν.

tur: quod tunc *legatis Carthaginiensium* accidit. Quos SCIPIO paucis ita cœpit adloqui: *Ipsorum quidem caussa nihil quidquam esse, cur ullam ipsis humanitatem tribuere Romani debeant; quando quidem ipsi fatentur, se & jam inde a principio Romanis contra fœdera bellum intulisse, cum Saguntinorum urbem exciderunt, & nuper fidem violasse, cum jusjurandum & scripto jam comprehensas leges pacis antiquarunt. Decrevisse tamen Romanos, tum suamet ipsorum caussa, tum propter fortunam & rerum humanarum conditionem, pro sua lenitate & animi magnitudine cum ipsis agere. Ac ne ipsos quidem aliter* dixit *existimaturos, si rerum præsentium statum recte considerarent. Non enim, si quid aut pati, aut facere, aut dare ipsis fuerit imperatum, durum hoc & grave illis debere videri; verum illud potius pro miraculo ipsis fore habendum, si quid benignius obtinerent, postquam*

Ol.144.2. ἡ τύχη, παρελομένη τὸν ἔλεον αὐτῶν καὶ τὴν συγγνώμην διὰ τὴν σφετέραν ἀδικίαν, ὑποχειρίους πεποίηκε τοῖς ἐχθροῖς. Ταῦτα δ' εἰπὼν, ἔλεγε τὰ μὲν φιλάνθρωπα τὰ διδόμενα, καὶ πάλιν ἃ δέον ἦν ὑπομένειν αὐτούς.

XVIII. Leges pacis. Ἦν δὲ τὰ κεφάλαια τῶν προτεινομένων ταῦτα. Πόλεις ἔχειν κατὰ Λιβύην, ἃς καὶ πρότερον εἶχον ἢ τὸν τελευταῖον πόλεμον ἐξενεγκεῖν Ῥωμαίοις, καὶ χώραν, ἣν καὶ τὸ παλαιὸν εἶχον, κτήνη, καὶ σώματα, καὶ τὴν ἄλλην ὕπαρξιν. ἀπὸ δὲ τῆς ἡμέρας ἐκείνης ἀσινεῖς Καρχηδονίους ὑπάρχειν, ἔθεσι καὶ νόμοις χρῆσθαι τοῖς ἰδίοις, ἀφρουρήτους ὄντας. Ταῦτα μὲν οὖν ἦν τὰ φιλάνθρωπα. Τὰ δ' ἐναντία τούτοις πάλιν· Τὰ κατὰ τὰς ἀνοχὰς ἀδικήματα γενόμενα πάντα Καρχηδονίους ἀπο-

7. τὰ διδόμενα. τὰ, quod abest vulgo, adjici ex Aug. & Reg. E.
XVIII. 1. κτήνη. Forsan καὶ κτήνη.

postquam eos fortuna, omni misericordiæ ac veniæ spe destitutos propter ipsorum perfidiam, in potestatem hostium tradidit. Hæc locutus SCIPIO, tum benigniores conditiones pacis recensuit, tum & alia, quæ ipsos oporteret sufferre.

18. Erant autem latarum conditionum præcipua capita hæc. *Quas urbes in Africa prius tenuissent, quam ultimum hoc bellum populo Romano intulissent, quos item agros antea possedissent, quæ pecora, aut quas alias facultates, ea omnia tenerent. Immunes ab omni damno hostili Carthaginienses ab eo die essent: suis institutis legibusque viverent, neque ullo præsidio tenerentur.* Et benigniores quidem conditiones hujusmodi erant: duriores contra iftæ. *Quæcumque per inducias Carthaginienses maleficio abstulissent, omnia Roma-*

Digitized by Google

ἀποκαταστῆσαι Ῥωμαίοις· τοὺς αἰχμαλώ- A.V.552.
τους. καὶ δραπέτας ἐκ παντὸς ἀποδοῦναι Leges pacis.
τοῦ χρόνου· τὰ μακρὰ πλοῖα παραδοῦναι
πάντα, πλὴν δέκα τριηρῶν. ὁμοίως καὶ περὶ
4τοὺς ἐλέφαντας. Πόλεμον μηδενὶ τῶν ἔξω
τῆς Λιβύης ἐπιφέρειν καθόλου, μηδὲ τῶν
ἐν τῇ Λιβύῃ, χωρὶς τῆς Ῥωμαίων γνώμης.
5Οἰκίας, καὶ χώραν, καὶ πόλεις, καὶ εἴ τι
ἕτερόν ἐστι Μασσανάσσου τοῦ βασιλέως,
ἢ τῶν προγόνων, ἐντὸς τῶν ἀποδειχθησο-
μένων ὅρων αὐτοῖς, πάντα ἀποδοῦναι Μασ-
6σανάσσῃ. Σιτομετρῆσαί τε τὴν δύναμιν
τριμήνου, καὶ μισθοδοτῆσαι μέχρι ἂν ἐκ Ῥώ-
μης ἀντιφωνηθῇ τι, κατὰ τὰς συνθήκας.
7Ἐξενεγκεῖν ἀργυρίου τάλαντα μύρια Καρ-
χηδονίους ἐν ἔτεσι πεντήκοντα, φέροντας
καθ' ἕκαστον ἐνιαυτὸν Εὐβοϊκὰ τάλαντα
δια-

Romanis reſtituerent. Captivos item & fugitivos, ſine ulla temporis præſcriptione, redderent. Naves longas omnes, præter decem triremes, traderent. Eadem lex & de elephantis ut eſſet. Bellum extra Africam nemini omnino inferrent; ac ne in Africa quidem ulli, niſi ex conſenſu populi Romani. Quas domos, agros, oppida, aut quodcumque aliud tenerent, quod Maſſaniſſæ fuerit, aut majorum ejus, intra fines ipſis demonſtrandos, omnia Maſſaniſſæ redderent. Frumentum trium menſium, ſtipendiumque exercitui, donec ab Roma ſuper conditionibus pacis foret reſponſum, præſtarent. Decem millia talentum argenti intra annos quinquaginta ſolverent, ita ut ſingulis annis penderent talen-

Ol.144.2. διακόσια. Ὁμήρους δοῦναι πίστεως χάριν ἑκατὸν, οὓς ἂν προγράψῃ τῶν νέων ὁ στρατηγὸς τῶν Ῥωμαίων, μὴ νεωτέρους τεσσαρεσκαίδεκα ἐτῶν, μηδὲ πρεσβυτέρους τριάκοντα.

XIX. Pacem suadet Hannibal.

Ταῦτα μὲν οὖν ὁ στρατηγὸς εἶπε τῶν Ῥωμαίων τοῖς πρεσβευταῖς· οἱ δ', ἀκούσαντες, ἠπείγοντο καὶ διεσάφουν τοῖς ἐν τῇ πατρίδι. Καθ' ὃν δὴ καιρὸν λέγεται, μέλλοντός τινος τῶν ἐκ τῆς γερουσίας ἀντιλέγειν τοῖς προτεινομένοις, καὶ καταρχομένου, προελθόντα τὸν Ἀννίβαν κατασπάσαι τὸν ἄνδρωπον ἀπὸ τοῦ βήματος. τῶν δὲ λοιπῶν ἐξοργισθέντων, διὰ τὸ παρὰ τὴν συνήθειαν αὐτὸν τοῦτο πρᾶξαι· πάλιν τὸν Ἀννίβαν ἀναστάντα φάναι, ἀγνοεῖν, καὶ συγγνώμην ἔχειν, εἴ τι παρὰ τοὺς ἐθισμοὺς πράττει, γινώσκοντας, ὅτι τὴν μὲν ἔξοδον ἐκ τῆς πατρίδος ἐναέτης

XIX. 3. ἀναστάντα φάναι. *Sic corrigendum putavi. Libri omnes* ἀναστάντα φασὶν. *Casaubonus ex ingenio utrumque conjunxit* φάναι φασὶν.

ta Euboica ducenta. Obsides fidei causſa centum darent, quos Scipio e Carthaginienſium pube elegiſſet, ne minores quatuordecim annis, neu triginta annis majores.

19. Hæc *Romanus imperator* Carthaginienſibus dixit legatis: qui iis auditis, quantocius domum reverſi, in concione rem edunt. Fama eſt, quum eo tempore quidam e ſenatorum numero, oblatis pacis conditionibus contradicere adgrederetur, jamque eſſet orſus dicere, proceſſiſſe Hannibalem, & abreptum e ſuperiore loco hominem detraxiſſe. Deinde ceteris, quod præter conſuetudinem liberæ civitatis id feciſſet *Hannibal*, iraſcentibus, iterum ſurreXiſſe Hannibalem, & *ignorantia lapſum ſe* dixiſſe, *dignumque eſſe, cui veniam tribuerent, ſi quid præter mores faciat; memores, novem ſe*

Digitized by Google

ναέτης ὢν ποιήσαιτο, πλείω δὲ τῶν πέντε καὶ τετ- A.V.552.
4 ταράκοντα ἐτῶν ἔχων εἰς αὐτὴν ἐπανήκει. Διόπερ Pacem suadet Hannibal.
ἠξίου, μὴ τοῦτο σκοπεῖν, εἴ τι παραπέπαικε τῆς
συνηθείας· πολὺ δὲ μᾶλλον, εἰ τοῖς τῆς πατρίδος
πράγμασιν ἀληθινῶς συμπάσχει, διὰ γὰρ ταῦτα
5 καὶ νῦν εἰς τὴν ἀλογίαν ἐμπεπτωκέναι ταύτην. Θαυ-
μαστὸν γὰρ αὐτῷ φανῆναι καὶ τελέως ἐξηλλαγμένον,
εἴ τις, ὑπάρχων Καρχηδόνιος, καὶ συνειδὼς τὰ βε-
βουλευμένα καὶ κοινῇ τῇ πατρίδι καὶ κατ' ἰδίαν ἑκά-
στοις ἡμῶν κατὰ Ῥωμαίων, οὐ προσκυνεῖ τὴν τύχην,
εἰ, γεγονὼς ὑποχείριος, τοιούτων τυγχάνει φιλαν-
6 θρωπιῶν· οὓς εἴ τις ὀλίγαις πρότερον ἡμέραις ἤρε-
το, τί ποτ' ἐλπίζουσι πείσεσθαι τὴν πατρίδα, κρα-
τησάντων Ῥωμαίων, οὐδ' ἂν εἰπεῖν εἶοί τ' ἦσαν, διὰ
τὸ μέγεθος καὶ τὴν ὑπερβολὴν τῶν προφαινομένων
7 αὐτοῖς κακῶν. Διόπερ ἠξίου, καὶ νῦν μήθ' ἑπὶ λό-

3. ἐπανήκει. ἐπανήκοι Casaub. invitis mistis. 6. τί ποτ'. τί abest a libris. Cum Vrsino adjecit Casaub. Forsan πόσα fuerat pro ποτ'.

se annos natum Carthagine esse profectum, quo nunc major annis quinque & quadraginta redierit. Postulare igitur, ne illud respicerent, si quid adversus morem consuetum peccaret; verum illud potius, anne vero adfectu patriæ rebus adflictis condolescat: eam siquidem esse causam, cur hoc per imprudentiam admiserit. Sibi namque mirum esse visum, & plane a statu præsenti alienum, si quis civis Carthaginiensis, non ignarus eorum, quæ & publice patriæ, & privatim singuli civium in Romanos consuluissent, non jam adoraret Fortunam, quod, in eorum potestate positus, conditiones adeo benignas impetret: quum ante paucos dies, si quis cives interrogasset, ubi Romani vicissent, ecquid patriam mali putarent fore passuram, ne dicere quidem sustinuissent, præ immani malorum mole, quæ unicuique ob oculos versata esset. Igitur nunc quoque æquum censere se, ut ne in disceptationem

Digitized by Google

Ol.144.2. γον ἄγειν, ἀλλ' ὁμοθυμαδὸν δεξαμένους τὰ προτεινόμενα θύειν τοῖς θεοῖς, καὶ πάντας εὔχεσθαι, βεβαιῶσαι ταῦτα τὸν δῆμον τῶν Ῥωμαίων. Φανέντος δὲ φρονίμως αὐτοῦ καὶ τοῖς καιροῖς οἰκείως συμβουλεύειν, ἔδοξε ποιεῖσθαι τὰς συνθήκας ἐπὶ τοῖς προειρημένοις. Καὶ τὸ μὲν συνέδριον παραυτίκα πρεσβευτὰς ἐξέπεμπε τοὺς ἐνθομολογησομένους περὶ τούτων.

Pacis leges accipiunt Poeni.

II.

RES PHILIPPI.

(I.) *Adversus Ptolemæum Epiphanem, filium Ptol. Philopatoris.*

XX. Τοῦτο δὲ τίς οὐκ ἂν θαυμάσειε, πῶς, ὅτε μὲν αὐτὸς ὁ Πτολεμαῖος ζῶν οὐ προσεδέξατο τῆς τούτων ἐπικουρίας, ἕτοιμοι βοηθεῖν ἦσαν· ὅτε δ' ἐκεῖνος μετήλ-

9. περὶ τούτων ex Vrſini conject. recepit Caſaub. Libri fere omnes ὡς τούτων habent, poſt quæ verba intercidiſſe nonnihil videri poteſt: abſunt autem ea verba a Reg. E. Petuerat δὲ τούτοις δ' ὑπὲρ τούτων corrigi.

nem quidem deducerent rem; ſed communi ſententia oblatas conditiones univerſi probarent, ac rem ſacram diis facerent, cunctique eos venerarentur, ut iſtas leges fœderis ratas eſſe populus Romanus juberet. Prudens & temporibus conveniens *Hannibalis conſilium* quum eſſet viſum; placuit, in eas, quæ ſunt ante expoſitæ, conditiones pacem facere. Ac ſtatim a ſenatu miſſi ſunt legati, qui in propoſitas leges pacis conſentirent.

II.

(I.) *Excerpt. Antiq. ex Lib.* XV. *Cap.* 20.

20. Quis mortalium non admiretur, *Antiochum & Philippum*, dum erat in vivis *Ptolemæus*, & eorum auxilio non indigebat, paratos fuiſſe opem ei ferre: poſtea vero,

Digitized by Google

μετήλλαξε, καταλιπὼν παιδίον νήπιον, ᾧ κατὰ φύ- A.V.552. Philippus & Antiochus conjurant contra Ptolemæum.
σιν ἀμφοῖν ἐπέβαλλε συσσώζειν τὴν βασιλείαν, τότε
παρακαλέσαντες ἀλλήλους ὥρμησαν ἐπὶ τὸ, διελό-
μενοι τὴν τοῦ παιδὸς ἀρχὴν, ἐπανελέσθαι τὸν ἀπο-
3λελειμμένον· οὐδ' οὖν, καθάπερ οἱ τύραννοι, βραι-
χεῖαν δή τινα προβαλλόμενοι τῆς αἰσχύνης πρόφα-
σιν, ἀλλ' ἐξαυτῆς, ἀνέδην καὶ θηριωδῶς οὕτως, ὥστε
προσόφλειν τὸν λεγόμενον τῶν ἰχθύων βίον, ἐν οἷς
φασιν, ὁμοφύλοις οὖσι, τὴν τοῦ μείονος ἀπώλειαν
4τῷ μείζονι τροφὴν γίγνεσθαι καὶ βίον. Ἐξ ὧν τίς
οὐκ ἂν, ἐμβλέψας, οἷον εἰς κάτοπτρον, εἰς τὴν συν-
θήκην ταύτην, αὐτόπτης δόξειε γίγνεσθαι τῆς πρὸς
τοὺς θεοὺς ἀσεβείας, καὶ τῆς πρὸς τοὺς ἀνθρώπους
ὠμότητος, ἔτι δὲ τῆς ὑπερβαλλούσης πλεονεξίας τῶν
5προειρημένων βασιλέων; Οὐ μὴν, ἀλλά τις ἂν εἰκό-
τως, τῇ τύχῃ μεμψάμενος ἐπὶ τῶν ἀνθρωπείων

XX. 3. ἀνέδην *ex conject. correxi. Vulgo* ἀναίδην. Ibid. προσόφλειν *correxit Casaub. Retineri forsan potuerat* προσοφείλειν, *in quod consentiunt codd.* 5. ἀλλά τις ἄν. *In libris nostris scribitur* ἀλλά τίς ἄν. *Debuerant fortasse* τίς οὐκ ἄν *dare.*

vero, quam idem fato esset functus, puero pupillo relicto, cui suum conservare regnum jure naturæ uterque tenebatur, mutuis tunc hortatibus eosdem sese invicem concitasse, ut, *diviso inter sese pupilli imperio, ipsum e medio tollere adgrederentur?* neque vero feciſſe saltem quod tyranni solent, ut pudori suo levem aliquam obtenderent speciem; sed e vestigio ea impudentia & adeo ferina rabie esse grassatos, ut merito in eos dicas quod in proverbio est, *piscium vitam* esse æmulatos, inter quos, quamquam ejusdem generis sint, minoris perniciem majoris ajunt esse alimentum ac vitam? Enimvero quis, fœdus inter istos ictum considerans, non sibi videatur quasi in speculo suismet oculis spectare impietatem adversus deos, crudelitatem erga homines, & incredibilem quamdam avaritiam istorum regum? Sed enim, quis est, qui, postquam accusaverit *fortunæ admi-*

Digitized by Google

Ol.144.2. In eorum caput recidit exitium.

πραγμάτων, ἐν τούτοις ἀντικαταλλαγείη, διότι ἐκείνοις μὲν ἐπέθηκε μετὰ ταῦτα τὴν ἁρμόζουσαν δίκην, τοῖς δ' ἐπιγενομένοις ἐξέθηκε κάλλιστον ὑπόδειγμα πρὸς ἐπανόρθωσιν, τὸν τῶν προειρημένων βασιλέων παραδειγματισμόν. Ἔτι γὰρ αὐτῶν παρασπονδούντων μὲν ἀλλήλους, διασπωμένων δὲ τὴν τοῦ παιδὸς ἀρχήν, ἐπιστήσασα Ῥωμαίους, οἳ ἐκεῖνοι κατὰ τῶν πέλας ἐβουλεύσαντο παρανόμως, ταῦτα κατ' ἐκείνων δικαίως ἐκύρωσε καὶ καθηκόντως. παραυτίκα γὰρ ἑκάτεροι, διὰ τῶν ὅπλων ἡττηθέντες, οὐ μόνον ἐκωλύθησαν τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας, ἀλλὰ καὶ συγκλεισθέντες εἰς φόρους, ὑπέμειναν Ῥωμαίοις τὸ προστατ[τ]όμενον. τὸ τελευταῖον, ἐν πάνυ βραχεῖ χρόνῳ τὴν μὲν Πτολεμαίου βασιλείαν ἡ τύχη διώρθωσε, τὰς δὲ τούτων δυναστείας καὶ τοὺς διαδόχους τοὺς μὲν ἄρδην ἀναστάτους ἐποίησε καὶ πανωλέθρους, τοὺς δὲ μικροῦ δεῖν τοῖς αὐτοῖς περιέβαλε συμπτώμασι. (II.) Ad-

5. ἐπανόρθωσιν correxit Casaub. ἀνόρθωσιν dabant libri.

administrationem rerum humanarum, non redeat, hos eosdem intuens, rursus cum illa in gratiam, quæ meritas mox ab istis pœnas exegit, & exemplum, quod in eisdem statuit regibus, præclarissimum documentum proposuit posteris, quo ad suam emendationem uterentur? Adhuc enim ipsi sese quidem mutuis fraudibus adpetebant, pupilli vero regnum dividebant; cum ecce Fortuna, Romanis in eos immissis ac concitatis, quæ ipsi in alios sceleste erant machinati, eadem jure merito adversus ipsos rata esse jussit. Mox enim ambo, victi armis, non solum aliena concupiscere sunt prohibiti, sed etiam eo necessitatis redacti, ut tributum pensitarent, & dicto audientes esse Romanis cogerentur. Ac tandem fortuna, brevissimo tempore interjecto, quum *Ptolemæi* regnum in pristinum statum restituisset, horum dominationes ac successores partim funditus evertit delevitque omnes, partim calamitatibus non sane multo levioribus adflixit.

(II.) Ex-

Digitized by Google

(II.) *Adversus Cianos.* A.V.552.

✲ ✲ ✲

XXI. Molpagoras, Cianorum demagogus.

Μολπαγόρας τις ἦν παρὰ τοῖς Κιανοῖς, ἀνὴρ καὶ λέγειν καὶ πράττειν ἱκανὸς, κατὰ δὲ τὴν αἵρεσιν 2 δημαγωγικὸς καὶ πλεονέκτης. ὃς πρὸς χάριν ὁμιλῶν τῷ πλήθει, καὶ τοὺς εὐκαιροῦντας τοῖς βίοις ὑποβάλλων τοῖς ὄχλοις, καί τινας μὲν εἰς τέλος ἀναιρῶν, τινὰς δὲ φυγαδεύων, καὶ τὰς οὐσίας τὰς τούτων δημεύων καὶ διαδιδοὺς τοῖς πολλοῖς, ταχέως τῷ τοιούτῳ τρόπῳ περιεποιήσατο μοναρχικὴν ἐξουσίαν.

✲ ✲ ✲

3 Κιανοὶ μὲν οὖν περιέπεσον τηλικαύταις συμφοραῖς, οὐχ οὕτω διὰ τὴν τύχην, οὐδὲ διὰ τὴν τῶν πέλας ἀδικίαν, τὸ δὲ πλεῖον διὰ τὴν αὐτῶν ἀβουλίαν καὶ κακοπολιτείαν· προάγοντες ἀεὶ τοὺς χεί- 4

Cio per dolum potitur Philippus.

L l 4 ρίστους,

XXI. 1. Κιανοῖς correxi. *Vulgo mendose* Κίοις *ex Cod. Peir.* Κείοις *Suidas.* Ibid. *Verba* δημαγωγικὸς καὶ *insertui ex Suida, qui in fine etiam adjicit* occisum deinde a nonnullis fuisse eumdem Molpagoram: ἀνῃρέθη παρά τινων. 3. Κιανοὶ. Κυανοὶ *Ang. Regii, Vesont. Ac sic fere rursus deinde.*

(II.) *Excerpt. Valesian. & Excerpt. Antiq. ex Lib.* XV. *Cap.* 21 - 23.

✲ ✲ ✲

21. *Molpagoras* quidam fuit apud *Cianos*, vir cum ad dicendum, tum ad agendum promtus; &, quod ad vitæ institutum adtinet, orator popularis, & super ceteros eminere studens. Is populi benevolentiam captans, & locupletissimos quosque damnandos populo objiciens, nonnullis etiam neci datis, aut in exilium pulsis, bona eorum publicans atque inter multitudinem dividens, brevi tempore regiam quamdam potestatem ista ratione sibi comparavit.

✲ ✲ ✲

In hæc tam gravia mala *Ciani* inciderunt, non adeo fortunæ culpa, neque ob suam in alios iniquitatem; sed multo magis imprudentia, & prava reipublicæ suæ administratione, dum pessimo cuique honores semper man-

Digitized by Google

Ol.144.2. ρίστους, καὶ κολάζοντες τοὺς ἐναντιουμένους τούτοις, ἵνα διαιρῶνται τὰς ἀλλήλων οὐσίας. εἰς ταύτας οὖν οἷον ἐθελοντὴν ἐνέπεσον τὰς ἀτυχίας, εἰς ἃς οὐκ οἶδ' ὅπως πάντες ἄνθρωποι προφανῶς ἐμπίπτοντες,

Homines brutis incautiores.

οὐ δύνανται λῆξαι τῆς ἀνοίας, ἀλλ' οὐδὲ βραχὺ διαπιστῆσαι ῥᾴδιον, καθάπερ ἔνια τῶν ἀλόγων ζώων. ἐκεῖνα γὰρ, οὐ μόνον ἐὰν αὐτὰ πολὺ δυσχρηστήσῃ περὶ τὰ δελέατα καὶ τὰς ἄρκυς, ἀλλὰ κἂν ἕτερον ἴδῃ κινδυνεῦον, οὐκ ἂν ἔτι ῥᾳδίως αὐτὰ προσαγάγῃς πρὸς οὐδὲν τῶν τοιούτων, ἀλλὰ καὶ τὸν τόπον ὑποπτεύει, καὶ παντὶ τῷ φαινομένῳ διαπιστεῖ. Οἱ δ' ἄνθρωποι, τοὺς μὲν ἀκούοντες ἀπολλυμένους ἄρδην τῷ προειρημένῳ τρόπῳ, τοὺς δ' ἀκμὴν ὁρῶντες, ὅμως, ὅταν τις χρησάμενος τῷ πρὸς χάριν λόγῳ προ-

5. εἰς ταύτας οὖν. *Particulam* οὖν *ex conjecl. inſerui: quæ ſi minus placet, pendebunt hæc a ſuperioribus* τὸ δὲ πλεῖον. Ibid. ἀνοίας *cum Vrſ. correxit Caſaub. cum male eſſet* ἐννοίας. Ibid. ῥᾴδιον ῥᾳδίου ὂν *ſuſpicatus eſt Reiſk.* 7. τοὺς μὲν &c. τὰς μὲν δ' *deinde* ἀπολλυμένας δ' *mox* τὰς δ' ἀκμὴν *dant fere ſcripti libri omnes: ut excidiſſe videatur vocab.* πολιτείας *vel* πόλεως.

mandant, & in eos, qui ſe improbis opponerent, animadvertunt, quo poſſent fortunas alii aliorum inter ſe dividere. Ita illi in ejusmodi infortunia veluti ſponte ſua impegerunt, in quæ omnes mortales impingere quum ſit manifeſtiſſimum, dementiæ tamen finem imponere neſcio quo modo non poſſunt: quin ne illud quidem facile ab iis impetres, ut minus aliquanto fidant, quod brutarum tamen animantium nonnullæ faciunt. Nam has quidem, non ſolum ſi multum ipſæ aliquando laboraverint, ut ſe ab eſca vel laqueis expediret, verum etiam ſi aliud quod animal periclitatum eſſe viderint, non facile ad ſimile quidquam adducas: quin & locum ſuſpectum habent, & ab omni re, quæ in oculos incurrit, ſibi metuunt. Homines vero, quum alias civitates eo quem diximus modo funditus periiſſe audiant, alias ipſi cum maxime perire videant, ſimul ac tamen aliquis, blandis eos ſermonibus adgreſſus, ſpem com-

Digitized by Google

προτείνῃ τὴν ἐλπίδα τῆς ἐξ ἀλλήλων ἐπανορθώσεως, A.V.552.
7 πρόσεισι πρὸς τὸ δέλεαρ ἀνεπισταάτως· σαφῶς εἰδότες, ὅτι τῶν τοιαῦτα δελέατα καταπιόντων οὐδεὶς οὐδέποτε σέσωσται, πᾶσι δ' ὁμολογουμένως ὄλεθρον ἐπήνεγκαν αἱ τοιαῦται πολιτεῖαι.

XXII. Perfidia odiosum se reddit Philippus.

Ὁ δὲ Φίλιππος, κύριος γενόμενος τῆς πόλεως, περιχαρὴς ἦν, ὡς καλήν τινα καὶ σεμνὴν πρᾶξιν ἐπιτετελεσμένος, καὶ βεβοηθηκὼς μὲν προθύμως τῷ κηδεστῇ, καταπεπληγμένος δὲ πάντας τοὺς ἀλλοτριάζοντας, σωμάτων δὲ καὶ χρημάτων εὐπορίαν ἐκ τοῦ δικαίου περιπεποιημένος. Τὰ δ' ἐναντία τούτοις οὐ καθεώρα, καίπερ ὄντα προφανῆ· πρῶτον μὲν, ὡς οὐκ ἀδικουμένῳ, παρασπονδοῦντι 8 δὲ τῷ κηδεστῇ τοὺς πέλας ἐβοήθει· δεύτερον, ὅτι πόλιν Ἑλληνίδα περιβαλὼν τοῖς μεγίστοις ἀτυχήμασιν ἀδίκως, ἔμελλε κυρώσειν τὴν περὶ αὐτοῦ δια-

Ll 5 δεδο-

7. πρόσεισι. πρόεισι Herv. cum mstis.
XXII. 2. ὡς οὐκ ἀδικουμ. Partic. ὡς, cum male abesset a libris, adjecit Casaub.

commodi alicujus ex alieno damno parandi ostenderit, inconsiderate ad escam accedunt; quamvis satis sciant, neminem umquam mortalium, tali modo ineseatum, exitium vitasse, sed ejusmodi administrationem reipublicæ omnibus manifeste perniciem adtulisse.

22. At *Philippus*, urbis *Cianorum* potitus, ceu præclaro & gravi aliquo facinore edito, lætitia gestiebat, ut qui & genero promte opem tulisset, & omnibus, qui a sua amicitia se alienarent, incussisset terrorem, denique captivorum & pecuniæ ingentem copiam legitima ratione sibi comparasset. Contraria vero his non videbat, etsi erant omnibus manifesta: primum, genero se, non qui injuriam passus esset, verum qui perfide aliis intulisset injuriam, suppetias tulisse. Deinde, se, qui Græcam urbem malis longe omnium maximis adfecisset, famam jam ante disse-

Ol. 144. 2. Perfidia odioſum ſe reddit Philippus.

δεδομένην Φήμην ὑπὲρ τῆς εἰς τοὺς Φίλους ὠμότητος, ἐξ ἀμφοῖν δὲ δικαίως καὶ κληρονομήσειν παρὰ πᾶσι τοῖς Ἕλλησι τὴν ἐπ' ἀσεβείᾳ δόξαν· τρίτον, ὡς ἐνυβρίκει τοῖς ἀπὸ τῶν προειρημένων πόλεων πρεσβευταῖς, οἱ παρῆσαν ἐξελούμενοι τοὺς Κιανοὺς ἐκ τῶν περιεστώτων κακῶν, ὑπὸ δ' ἐκείνου παρακαλούμενοι καὶ διαγελώμενοι καθ' ἡμέραν, * αὐτόπται γενέσθαι τούτων, ὧν ἥκιστα ἂν ἐβουλήθησαν· πρὸς δὲ τούτοις, ὅτι τοὺς Ῥοδίους οὕτως ἀπειθηκώς τότε πρὸς αὐτὸν, ὥστε μηδένα λόγον ἔτι προσίεσθαι περὶ Φιλίππου.

XXIII. Doloſa legatio ad Rhodios.

Καὶ γὰρ ἡ τύχη πρός γε τοῦτο τὸ μέρος αὐτῷ συνήργησε προφανῶς. ὅτε γὰρ ὁ πρεσβευτὴς ἐν τῷ θεάτρῳ τὸν ἀπολογισμὸν ἐποιεῖτο πρὸς τοὺς Ῥοδίους,

4. διαγελώμενοι. *Sic cod. Peirſc. Reliqui vulgo omnes* διαλεγόμενοι, *quod ex* διαγόμενοι *vel* διαγαγόμενοι *ortum ſuſpicatus eſt Reiskius. Poſſis & διελκόμενοι conjicere. Mox deinde* lacunæ ſignum *poſui, ubi verbum* ἀναγκάσθησαν, *quod voluit Reiskius, aut aliud ſimile excidiſſe videtur.* 5. ἀπειθηκ. τότε. *Sic Caſaub. ex conject. edidit.* τό γε *maluit Reisk.* ἀποτεθηρώκει τε *Herv. cum mſtis, in quo latere ſuſpicor* ἀποτεθηρίωται, *quod verum videtur.*

XXIII. 2. ὅτε γὰρ ὁ πρ. ὅ, τε γὰρ πρεσβ. *Caſaub. invitis mſtis.*

diſſeminatam de ſua in amicos crudelitate eſſe confirmaturum: qua utraque ex re impietatis opinionem apud omnes Græcos foret perpetuo obtenturus. Poſtremo, gravem ſe injuriam atque contumeliam legatis prædictarum civitatum impoſuiſſe, qui, quum veniſſent, ut *Cianos* ex urgentibus calamitatibus liberarent, illius promiſſis erecti & de die in diem extracti ſunt, donec ea, quæ minime voluiſſent, oculis ſuis ſpectare coacti ſunt. Accedebat his, quod *Rhodiorum* animos odio iraque ita tunc adverſus ſe efferavit, ut jam de *Philippo* verba fieri non poſſent pati.

23. Nam & fortuna, hac quidem ex parte, *Philippi* cauſſam manifeſto adjuverat. Differebat ejus *legatus apud Rhodios* in theatro de ejus

δίους, ἐμφανίζων τὴν τοῦ Φιλίππου μεγαλοψυχίαν, A.V.552.
καὶ διότι, τρόπον τινὰ κρατῶν ἤδη τῆς πόλεως, δί-
δωσι τῷ δήμῳ τὴν χάριν ταύτην, ποιεῖ δὲ τοῦτο, βου-
λόμενος ἐλέγξαι μὲν τὰς τῶν ἀντιπρατλόντων αὐτῷ
διαβολὰς, φανερὰν δὲ τῇ πόλει καταστῆσαι τὴν αὐ-
3τοῦ προαίρεσιν· καὶ παρῆν τις ἐκ καταπλου πρὸς
τὸ Πρυτανεῖον, ἀπαγγέλλων τὸν ἐξανδραποδισμὸν τῶν
Κιανῶν, καὶ ὠμότητα τοῦ Φιλίππου τὴν ἐν τούτοις
4γεγενημένην· ὥστε τοὺς Ῥοδίους, ἔτι μεταξὺ τοῦ
πρεσβευτοῦ τὰ προειρημένα λέγοντος, ἐπεὶ προσεί- Deprehenditur dolus.
δων ὁ Πρύτανις διεσάφει τὰ προσηγγελμένα, μὴ δύ-
νασθαι πιστεῦσαι διὰ τὴν ὑπερβολὴν τῆς ἀθεσίας.
5Φίλιππος μὲν οὖν, παρασπονδήσας οὐχ οὕτω Κια-
νοὺς, ὡς ἑαυτὸν, εἰς τοιαύτην ἄγνοιαν ἢ καὶ παρά-
πτωσιν τοῦ καθήκοντος ἦκεν, ὥστ', ἐφ' οἷς ἐχρῆν
αἰσχύνεσθαι καθ' ὑπερβολὴν, ἐπὶ τούτοις ὡς καλοῖς
σεμνύ-

4. προσελθὼν ex cod. Peir. adscivi. Vulgo προελθὼν. 5. ἄγνοιαν. ἄνοιαν edd.

ejus factis, *magnanimitatem Philippi* verbis prædicans: *ipsum, qui oppidum jam quodammodo in potestate haberet, populo Rhodiorum hoc gratificari, atque hoc ipsum facere, ut calumnias hominum factionis contrariæ refutet, summque animum & propositum civitati patefaciat.* Inter hæc aliquis, in portum modo delatus, venit in Prytaneum, captivitatem & servitutem Cianorum nuncians, & Philippi crudelitatem, qua esset in illos usus. Quem nuncium ubi Prytanis adtulit in theatrum; *Rhodii* propter legatum, ea quæ diximus tunc cum maxime commemorantem, & propter magnitudinem perfidiæ adduci non potuerunt, ut nuncio fidem haberent. *Philippus* enimvero, ubi perfidia singulari non adeo *Cianos*, ut seipsum, decepisset, eo venit amentiæ, & omnis officii fines longe adeo migravit, ut, quorum pudere ipsum vehementissime oportebat, ea sibi ipse ut præclare

Digitized by Google

Ol.144.2. συμνύεσθαι καὶ μεγαλαυχεῖν. Ὁ δὲ τῶν Ῥοδίων δῆμος ἀπὸ ταύτης τῆς ἡμέρας ὡς περὶ πολεμίου διελάμβανε τοῦ Φιλίππου, καὶ πρὸς τοῦτον τὸν σκοπὸν ἐποιεῖτο τὰς παρασκευάς. Παραπλήσιον δὲ καὶ τοῖς Αἰτωλοῖς μῖσος ἐκ ταύτης τῆς πράξεως ἐνειργάσατο πρὸς αὐτόν. ἄρτι γὰρ διαλελυμένος, καὶ τὰς χεῖρας ἐκτείνων πρὸς τὸ ἔθνος, οὐδεμιᾶς προφάσεως ἐγγιγνομένης, Φίλων ὑπαρχόντων καὶ συμμάχων Αἰτωλῶν, Λυσιμαχέων, Καλχηδονίων, καὶ Κιανῶν, βραχεῖ χρόνῳ πρότερον· πρῶτον μὲν προσηγάγετο τὴν Λυσιμαχέων πόλιν, ἀποσπάσας ἀπὸ τῆς τῶν Αἰτωλῶν συμμαχίας, δευτέραν δὲ τὴν Καλχηδονίων, τρίτην δὲ τὴν Κιανῶν ἐξηνδραπόδιστο, στρατηγοῦ παρ' Αἰτωλῶν ἐν αὐτῇ διατρίβοντος καὶ προεστῶτος τῶν κοινῶν. Προυσίας δὲ, καθὸ μὲν ἡ πρόθεσις αὐτοῦ συντελείας ἔτυχε, περιχαρὴς ἦν· καθὸ

Aetolos, nuper conciliatos, denuo offendit Philippus.

Prusias.

6. πρὸς τοῦτον emendavit Casaub. παρὰ τοῦτον Herv. cum mss, excepto Vrb. in quo est περὶ τοῦτον. 8. Φίλων ὑπαρχ. Φίλων γὰρ ὑπαρχ. Herv. consentientibus mss. Conjunctionem delevit Casaub. cum Vrsino. 8 & 9. Καλχηδ. Vulgo Χαλκηδ. invitis mss.

re facta laudi duceret, deque iis se impotenter jactaret. At *Rhodiorum* populus ab eo die Philippum loco hostis habuit, & in adparatibus faciendis ad hunc scopum semper respexit. Simile vero etiam *Aetolorum* odium ex eadem causa sibi contraxit. Nuper enim iis conciliatus, & genti Aetolorum manus porrigens, quum amicis ac sociis paullo ante uteretur Aetolis, Lysimachensibus, Chalcedoniis & Cianis; nulla re interveniente quam praetexeret, primo civitatem Lysimachensium, ab Aetolorum societate avulsam, sibi adjunxit; deinde Chalcedonem; postremo vero Cianorum urbem, quum esset ibi dux ab Aetolis missus, penes quem erat summa rerum, in servitutem misit. *Prusias* vero, quatenus quidem propositum ipsius ad exitum fuit perductum, gaudio

καθὸ δὲ τὰ μὲν ἆθλα τῆς ἐπιβολῆς ἕτερος ἀπέφε- A.V.552.
ρεν, αὐτὸς δὲ πόλεως οἰκόπεδον ἔρημον ἐκληρονόμει, δυσχερῶς διέκειτο, ποιεῖν δ' οὐδὲν οἷός τε ἦν.

(III.) *Adversus Thasios.*

Φίλιππος, κατὰ τὸν ἀνάπλουν ἕτερον ἐφ' ἑτέ- XXIV. Thasum in deditionem recipit.
ρῳ παρασπόνδημα μεταχειριζόμενος, προσέσχε περὶ τὴν τῶν Θασίων πόλιν, καὶ τέως φιλίαν οὖσαν ἐξηνδραποδίσατο. * * Θάσιοι εἶπον πρὸς Μητρόδωρον, τὸν Φιλίππου στρατηγὸν, παραδοῦναι τὴν πόλιν, εἰ διατηρήσει αὐτοὺς ἀφορολογήτους, ἀφορολογήτους, ἀνεπισταθμεύτους, νόμοις χρησαμένους τοῖς ἰδίοις. * * [Καὶ ἀπεκρίνατο Μητρόδωρος·] Συγχωρεῖν τὸν βασιλέα, εἶναι Θασίους ἀφορολογήτους, ἀφορολογήτους, ἀσταθμεύτους, καὶ νόμοις χρῆσθαι τοῖς ἰδίοις.

XXIV. *Duo Fragmenta apud Suidam conservata contexui cum Excerpto Peiresc.* Versu 2. *vero* χρησαμένους *ex conject. scripsi pro* χρῆσθαι, & v. 3. *nexus causa inserui tria verba uncis inclusa.* 3. ἀσταθμεύτους. *Vulgo* ἀνεπισταθμ. *b. l. ut supra.*

dio exsultabat; quia tamen incepti illius præmia alter abstulerat, ipse, deleta urbe, nonnisi desertum solum fortitus erat, iniquo rem animo ferebat. Sed quid ageret?

(III.) *Excerptum Valesianum, & apud Suidam.*

24. *Philippus*, per reditum alios subinde atque alios contra fœderis leges violans, circa meridiem *Thasum* adpulit; eamque, quum amica esset, in servitutem redegit. * * *Thasii* Metrodoro, Philippi duci, ajebant, *se urbem tradituros ea conditione, ut immunes sint a præsidiis, a tributis, a præbendis hospitiis, suis utentes legibus.* * * [Respondit Metrodorus:] *Concedere regem Thasiis immunitatem a præsidiis, a tributis, ab hospitiis, & ut suis legibus vivant.*

Digitized by Google

Ol. 144. 2. ἰδίοις. Ἐπισημηναμένων δὲ μετὰ κραυγῆς πάντων, παρήγαγον τὸν Φίλιππον εἰς τὴν πόλιν. * *

III.

RES AEGYPTI.

XXV. Sosibius, falsus tutor Ptolemæi Epiphanis. Σωσίβιος, ὁ ψευδεπίτροπος Πτολεμαίου, ἐδόκει γεγονέναι σκεῦος εὐκίνητον, καὶ πολυχρόνιον, ἔτι δὲ κακοποιὸν, ἐν βασιλείᾳ· καὶ πρώτῳ μὲν ἀρτύσαι φόνον Δυσιμάχῳ, ὃς ἦν υἱὸς Ἀρσινόης, τῆς Λυσιμάχου καὶ Πτολεμαίου· δευτέρῳ δὲ Μάγᾳ, τῷ Πτολεμαίου καὶ Βερενίκης, τῆς Μάγα· τρίτῃ δὲ Βερενίκῃ, τῇ Πτολεμαίου μητρὶ τοῦ Φιλοπάτορος· τετάρτῳ Κλεομένει τῷ Σπαρτιάτῃ· πέμπτῃ θυγατρὶ Βερενίκης, Ἀρσινόῃ.

Ἀγα-

4. πάντων ex conj. correxi. Vulgo πάντα.

XXV. 2. πρώτῳ. πρῶτον Suid. Ibid. Μάγᾳ τῷ Πτολεμαίου correxit Valeſ. Μάγα τοῦ Πτολ. erat in cod.

vant. Quæ verba poſtquam omnium plauſu & adclamatione ſunt excepta, *Philippum* in urbem introduxerunt. * *

III.

Excerpta Valeſiana.

25. *Soſibius*, qui *Ptolemæi* regis tutelam ſibi arripuit, callidus ac longo uſu ſubactus & maleficus in aula miniſter perhibetur fuiſſe: ac primum quidem *Lyſimacho*, qui Arſinoë Lyſimachi filia ac Ptolemæo genitus erat, necem comparaſſe; deinde *Magæ*, filio Ptolemæi ac Berenicæ, Magæ filiæ; poſtea *Berenicæ*, Ptolemæi Philopatoris matri; tum *Cleomeni* Spartano; ac poſtremo *Arſinoæ*, Berenices filiæ.

Aga-

Digitized by Google

A.V.552.

3 Ἀγαθοκλῆς, ὁ ψευδεπίτροπος Πτολεμαίου, ἐπεὶ τοὺς ἐπιφανεστάτους τῶν ἀνδρῶν ἐκποδὼν ἐποίησε, καὶ τὸ πολὺ τῆς τοῦ πλήθους ὀργῆς παρακατέσχε τῇ τῶν ὀψωνίων ἀποδόσει, παρὰ πόδας εἰς τὴν ἐξαρ- 4 χῆς συνήθειαν ἐπανῆλθε. καὶ τὰς μὲν τῶν φίλων χώρας ἀνεπλήρωσε, παρεισαγαγὼν ἐκ τῆς διακονίας καὶ τῆς ἄλλης ὑπηρεσίας τοὺς εἰκαιοτάτους καὶ 5 θρασυτάτους· αὐτὸς δὲ τὸ πολὺ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἐν μέθῃ διέτριβε, καὶ ταῖς τῇ μέθῃ παρεπομέναις ἀκρασίαις, οὐ φειδόμενος οὔτ' ἀκμαζούσης γυναικὸς, οὔτε νύμφης, οὔτε παρθένου· καὶ πάντα ταῦτα ἔπραττε μετὰ τῆς ἐπαχθεστάτης 6 φαντασίας. Ὅθεν πολλῆς μὲν καὶ παντοδαπῆς γιγνομένης δυσαρεστήσεως, οὐδεμιᾶς δὲ θεραπείας οὐδὲ βοηθείας προσαγομένης, τὸ δ' ἐναντίον ἀεὶ προσεπαγομένης ὕβρεως, ὑπερηφανίας, ῥᾳθυμίας· 7 ἀνεθυμιᾶτο πάλιν ἐν τοῖς πολλοῖς τὸ προϋπάρχον μῖσος, καὶ πάντες ἀνενεοῦντο τὰ προγεγενημένα περὶ

Agathocles falsus tutor, & perditus minister.

Agathocles, falsus Ptolemæi tutor, postquam celeberrimum quemque e medio removit, ac multitudinis furorem stipendiorum pensione compressit, e vestigio ad pristinos mores rediit: ac dignitates omnes palatii, quæ tunc vacabant, amicis suis concessit, producto ex ultimis ac servilibus ministeriis levissimo quoque atque impudentissimo. Ipse dies noctesque in vino atque iis, quæ vinum consequi solent, libidinibus agebat; nec nuptis, nec sponsis, nec virginum pudori parcens: atque hæc cuncta cum intolerabili superbia factitabat. Quare cum præsentem rerum statum universi ægre ferrent, nullum autem solatium ac remedium adhiberetur, contra potius insolentia, superbia, ac desidia quotidie invalesceret; rursus pristinum vulgi odium exarsit, cunctique calamitates regni ab his

Digitized by Google

Ol.144.2. περὶ τὴν βασιλείαν ἀτυχήματα διὰ τοὺς ἀνθρώπους τούτους. Τῷ δὲ μηδὲν ἔχειν πρόσωπον ἀξιό-1
χρεων τὸ προστησόμενον, καὶ δι' οὗ τὴν ὀργὴν εἰς
Agathoclea. τὸν Ἀγαθοκλέα καὶ τὴν Ἀγαθόκλειαν ἀπερείσονται, τὴν ἡσυχίαν ἦγον· ἔτι μίαν ἐλπίδα καρεαδο-
Tlepolemus. κοῦντες, τὴν κατὰ τὸν Τληπόλεμον, καὶ ταύτῃ προσανέχοντες.

XXVI. Agathocles se & pupillum regem commendat Macedonibus.

Πρώτους δὲ συναθροίσας τοὺς Μακεδόνας, εἰς
τούτους εἰσῆλθε μετὰ τοῦ βασιλέως καὶ τῆς Ἀγα-
θοκλείας. καὶ τὰς μὲν ἀρχὰς ὑπεκρίνετο τὸν οὐ δυ-2
νάμενον εἰπεῖν, ἃ βούλεται, διὰ τὸ πλῆθος τῶν
ἐπιφερομένων δακρύων. Ἐπεὶ δὲ, πλεονάκις ἀπο-3
μάξαντι τῇ χλαμύδι, κατεκράτησε τῆς ἐπιφορᾶς,
βαστάσας τὸ παιδίον· Λάβετε, ἔφη, τοῦτον, ὃν ὁ
πατὴρ

8. ἀξιόχρεων *scripsi cum Reisk. Vulgo h. l.* ἀξιόχρεον. Ibid. ἀπερείσονται *ex Gron. conject. scripsi, pro vulgato* ἀποσείσονται. XXVI. 2. ὑπεκρίνετο *dedit Aug. Ceteri vulgo* ὑπεκρίνατο.

his hominibus superioribus temporibus profectas in memoriam revocabant. Sed cum idoneus vir deesset, cujus ductu atque opera iram suam in *Agathoclem* & *Agathoclean* effunderent; interim quiescebant, unicam spem adhuc in *Tlepolemo* habentes, qua se tantisper sustentabant.

(*Excerpt. Antiq. Cap.* 24 - 34.)

26. Primos omnium Macedonas congregavit [*Agathocles,*] & ad eos cum rege & Agathoclea [sorore] adiit. Ibi principio, non posse se quæ vellet proloqui, simulavit, propter lacrymarum vim per genas ubertim manantium. Deinde, ut oculos chlamyde sæpius abstergens fletum illum erumpentem repressisset, puerum manibus gestans; *Accipite*, ait, *hunc, quem moriens*

Digitized by Google

πατὴρ ἀποθνήσκων εἰς μὲν τὰς ἀγκάλας ἔδωκε A.V.552.
ταύτῃ, δείξας τὴν ἀδελφήν, παρακατέθετο δ' εἰς Agathoclis oratio ad Macedones.
4 τὴν ὑμετέραν, ὦ ἄνδρες Μακεδόνες, πίστιν. ἡ μὲν οὖν καὶ ταύτης εὔνοια βραχεῖαν τινὰ ῥοπὴν ἔχει πρὸς τὴν τούτου σωτηρίαν· ἐν ὑμῖν δὲ κεῖται καὶ
5 ταῖς ὑμετέραις χερσὶ τὰ τούτου νυνὶ πράγματα. Πτολεμαῖος γὰρ πάλαι μὲν ἦν δῆλος τοῖς ὀρθῶς σκοπουμένοις μειζόνων ἐφιέμενος ἢ καθ' ἑαυτὸν πραγμάτων· νῦν δὲ καὶ τὴν ἡμέραν καὶ τὸν καιρὸν ὥρικεν,
6 ἐν ᾗ μέλλει τὸ διάδημα ἀναλαμβάνειν. Καὶ περὶ τούτων οὐχ αὑτῷ πιστεύειν ἐκέλευεν, ἀλλὰ τοῖς εἰδόσιν τὴν ἀλήθειαν, καὶ παροῦσι νῦν ἐξ αὐτῶν τῶν
7 πραγμάτων. Καὶ τοῦτ' εἰπὼν, εἰσῆγε τὸν Κριτόλαον, ὃς ἔφη, καὶ τοὺς βωμοὺς αὐτὸς ἑωρακέναι κατασκευαζομένους, καὶ τὰ θύματα παρὰ τοῖς πλήθεσιν ἑτοιμαζόμενα πρὸς τὴν τοῦ διαδήματος
8 ἀνάδεξιν. Ὧν οἱ Μακεδόνες ἀκούοντες, οὐχ οἷον ἠλέουν

4. πράγματα cum Vrsino correxit Casaub. γράμματα mendose Herv. cum mitis. 7. παρὰ τοῖς πλήθ. τὰ τοῖς πλήθ. maluerat Reisk. Ibid. ἀνάδεξιν. ἀνάληψιν suspicatus est Reisk.

moriens pater isti quidem (sororem simul ostendebat) in ulnas tradidit; vestræ vero, viri Macedones, fidei permisit. Et potest quidem istius quoque benevolentia leve saltem aliquod ad hujus salutem momentum adferre: ceterum in vobis & in dextris vestris universæ fortunæ illius nunc sunt positæ. Ptolemæus enim dudum ille quidem palam fecit recta ratione rem putantibus, majora se, quam pro sui loci homine, concupiscere: nunc vero & diem & horam designavit, qua sit diadema sumturus. Quibus de rebus non sibi credere illos jubebat, sed iis, qui rei veritatem nossent, & qui ex ipso negotio jam venientes adessent. Simul hæc locutus Critolaum induxit, qui aras etiam sibi visas dicebat, in eam rem structas, & paratas a multitudine victimas ad solemnia diadematis sumti celebranda. Hæc loquentem Macedones quum audi-

Ol. 144. 2. Rident eum Macedones.

ἠλέουν αὐτὸν, ἀλλὰ πρὸς οὐδὲν προσεῖχον τῶν λεγομένων, μυχθίζοντες δὲ καὶ διαψιθυρίζοντες ἐξελήφησαν οὕτως, ὥστε μηδ' αὐτὸν εἰδέναι μήτε * πῶς τοπαράπαν ἐκ τῆς ἐκκλησίας ἀπελύθη. Παραπλήσια δὲ τούτοις ἐγίγνετο καὶ περὶ τὰ λοιπὰ συστήματα κατὰ τοὺς λοιποὺς ἐκκλησιασμούς. Ἐν δὲ τῷ μεταξὺ, πολὺς ἦν ὁ καταπλέων ἐκ τῶν ἄνω στρατοπέδων, καὶ παρεκάλουν οἱ μὲν συγγενεῖς, οἱ δὲ φίλους, βοηθεῖν τοῖς ὑποκειμένοις, καὶ μὴ περιιδεῖν σφᾶς, ἀνέδην ὑφ' οὕτως ἀναξίων ὑβριζομένους. Μάλιστα δὲ παρώξυνε τοὺς πολλοὺς πρὸς τὴν κατὰ τῶν προεστώτων τιμωρίαν τὸ γινώσκειν, ὅτι τὸ μέλλειν καθ' αὐτῶν ἐστι, διὰ τὸ πάντων τῶν παρακομιζομένων ἐπιτηδείων εἰς τὴν Ἀλεξάνδρειαν κρατεῖν τοὺς περὶ τὸν Τληπόλεμον.

9 10 11

Tlepolemus commeatuum dominus.

Ἐγέ-

8. πρὸς οὐδὲν correxi. Vulgo πρὸς οὐδενί. Ibid. Particulas δὲ καὶ post μυχθίζοντες cum Vrsino adjecit Casaub. Ibid. μήτε *. An μήτε τοὺς ἑτέρους? 10. ἀνέδην. Ruvsus vulgo omnes ἀναίδην.

audirent, adeo nulla ejus misericordia tangebantur, ut nulli eorum, quæ dicerentur, adtenderent; verum hominem subsannantes, & inter se susurrantes nugarentur, ita ut ne *Agathocles* quidem sciret, quo pacto ex illa concione esset dimissus. Et quum per cetera quoque civitatis corpora deinceps conciones coëgisset, simili pacto ab omnibus est exceptus. Inter hæc multi subinde e superiorum provinciarum exercitibus adpellebant, qui suos alii cognatos, alii amicos hortabantur, ut communibus miseriis succurrerent, neque se ab hominibus adeo indignis impune contumeliis adfici paterentur. Maxime vero plebem ad sumendum supplicium de iis, qui principes civitatis tunc erant, hoc impulit, quod scirent, moræ periculum ad se spectare; quia omnem commeatum Alexandriam importari solitum *Tlepolemus* in potestate habeat.

27. Ac-

Digitized by Google

Ἐγένετο δέ τι καὶ ἐξ αὐτῶν τῶν περὶ τὸν Ἀγα- A.V.552. XXVII.
θοκλέα συνέργημα πρὸς τὸ τὴν ὀργὴν ἐπιτεῖναι τήν Tlepolemi socrus indigne tractata.
2τε τῶν πολλῶν, καὶ τὴν τοῦ Τληπολέμου. Τὴν γὰρ
Δαναΐδην, ἥ τις ἦν πενθερὰ τοῦ προειρημένου, λαβόν-
τες ἐκ τοῦ τῆς Δήμητρος ἱεροῦ, καὶ διὰ μέσου τῆς
πόλεως ἑλκύσαντες ἀκατακάλυπτον, εἰς Φυλακὴν
ἀπέθεντο, βουλόμενοι φανερὰν ποιεῖν τὴν πρὸς τὸν
3Τληπόλεμον διαφοράν. Ἐφ' οἷς τὸ πλῆθος ἀγα-
νακτοῦν, οὐκέτι κατ' ἰδίαν, οὐδὲ δι' ἀποῤῥήτων ἐποιεῖ-
το τοὺς λόγους· ἀλλ' οἱ μὲν τὰς νύκτας εἰς πάντα
τόπον ἐπέγραφον, οἱ δὲ τὰς ἡμέρας συστρεφόμενοι
κατὰ μέρη φανερῶς ἐξέφερον ἤδη τὸ μῖσος εἰς τοὺς
4προεστῶτας. Οἱ δὲ περὶ τὸν Ἀγαθοκλέα, βλέπον- Incertus consilii Agathocles.
τες τὰ συμβαίνοντα, καὶ μοχθηρὰς ἐλπίδας ἔχον-
τες περὶ αὐτῶν, τοτὲ μὲν ἐγίγνοντο περὶ δρασμόν·
οὐδενὸς δ' αὐτοῖς ἡτοιμασμένου πρὸς τοῦτο τὸ μέρος
διὰ τὴν σφετέραν ἀβουλίαν, ἀφίσταντο τῆς ἐπιβο-

XXVII. 4. τοτὲ μὲν & deinde τοτὲ δὲ a Casaub. est. τότε utrobique habet Herv. cum mss. Ibid. ἐπιβολῆς correxi cum Gron. & Reisk. Vulgo omnes ἐπιβουλῆς.

27. Acceſſit vero & ipſius *Agathoclis* facinus aliquod, quod & vulgi & Tlepolemi iram vehementius intendit. Is enim quo ſuam cum *Tlepolemo* diſcordiam faceret palam, ſocrum ipſius, *Danaïs* nomine, ex æde Cereris abreptam, & per mediam urbem revelata facie tractam, in carcerem conjecerat. Quo nomine ſuccenſens illi populus, non jam inter privatos, neque arcano, ſermones ea de re ſerebat: ſed alii noctibus animi ſui indicia quovis loco inſcribebant; alii etiam interdiu per circulos coacti, ſuum in eos, penes quos rerum ſumma erat, odium palam præ ſe ferebant. Quæ omnia vulgo fieri quum cerneret *Agathocles*, de ſalute jam ſua ſpem habens exiguam, modo fugam cogitabat; ſed qui in eam rem nihil præparaſſet, quæ fuit ejus imprudentia, incepto rurſus deſiſtebat: modo conjurationis

Digitized by Google

Ol. 144. 2. Rident eum Macedones.

ἠλέουν αὐτὸν, ἀλλὰ πρὸς οὐδὲν προσεῖχον τῶν λεγομένων, μυχθίζοντες δὲ καὶ διαψιθυρίζοντες ἐξελήφησαν οὕτως, ὥστε μηδ' αὐτὸν εἰδέναι μήτε * πῶς τοπαράπαν ἐκ τῆς ἐκκλησίας ἀπελύθη. Παραπλήσια δὲ τούτοις ἐγίγνετο καὶ περὶ τὰ λοιπὰ συστήματα κατὰ τοὺς λοιποὺς ἐκκλησιασμούς. Ἐν δὲ τῷ μεταξὺ, πολὺς ἦν ὁ καταπλέων ἐκ τῶν ἄνω στρατοπέδων, καὶ παρεκάλουν οἱ μὲν συγγενεῖς, οἱ δὲ φίλους, βοηθεῖν τοῖς ὑποκειμένοις, καὶ μὴ περιδεῖν σφᾶς, ἀνέδην ὑφ' οὕτως ἀναξίων ὑβριζομένους. Μάλιστα δὲ παρώξυνε τοὺς πολλοὺς πρὸς τὴν κατὰ τῶν προεστώτων τιμωρίαν τὸ γινώσκειν, ὅτι τὸ μέλλειν καθ' αὑτῶν ἐστι, διὰ τὸ πάντων τῶν παραπορευομένων ἐπιτηδείων εἰς τὴν Ἀλεξάνδρειαν κρατεῖν τοὺς περὶ τὸν Πτολεμαῖον.

Ptolemus commeatuum dominus.

Ἐγέ-

8. πρὸς οὐδὲν correxi. Vulgo πρὸς οὐδενὶ. Ibid. Particulas δὲ καὶ post μυχθίζοντες cum Vrsino adjecit Casaub. Ibid. μήτε *. An μήτε τοὺς ἑτέρους? 10. ἀνέδην. Rursus vulgo omnes ἀναίδην.

audirent, adeo nulla ejus misericordia tangebantur, ut nulli eorum, quæ dicerentur, adtenderent; verum hominem subsannantes, & inter se susurrantes nugarentur, ita ut ne *Agathocles* quidem sciret, quo pacto ex illa concione esset dimissus. Et quum per cetera quoque civitatis corpora deinceps conciones coëgisset, simili pacto ab omnibus est exceptus. Inter hæc multi subinde e superiorum provinciarum exercitibus adpellebant, qui suos alii cognatos, alii amicos hortabantur, ut communibus miseriis succurrerent, neque se ab hominibus adeo indignis impune contumeliis adfici paterentur. Maxime vero plebem ad sumendum supplicium de iis, qui principes civitatis tunc erant, hoc impulit, quod scirent, moræ periculum ad se spectare; quia omnem commeatum Alexandriam importari solitum *Ptolemæus* in potestate habeat.

27. Ac-

Digitized by Google

Ἐγένετο δέ τι καὶ ἐξ αὐτῶν τῶν περὶ τὸν Ἀγα- A.V.552. XXVII.
θοκλέα συνέργημα πρὸς τὸ τὴν ὀργὴν ἐπιτεῖναι τήν Tlepolemi
2τε τῶν πολλῶν, καὶ τὴν τοῦ Τληπολέμου. Τὴν γὰρ socrus indigne
Δανάην, ἥ τις ἦν πενθερὰ τοῦ προειρημένου, λαβόν- tractata.
τες ἐκ τοῦ τῆς Δήμητρος ἱεροῦ, καὶ διὰ μέσου τῆς
πόλεως ἑλκύσαντες ἀκατακάλυπτον, εἰς Φυλακὴν
ἀπέθεντο, βουλόμενοι φανερὰν ποιεῖν τὴν πρὸς τὸν
3Τληπόλεμον διαφοράν. Ἐφ' οἷς τὸ πλῆθος ἀγα-
νακτοῦν, οὐκέτι κατ' ἰδίαν, οὐδὲ δι' ἀποῤῥήτων ἐποιεῖ-
το τοὺς λόγους· ἀλλ' οἱ μὲν τὰς νύκτας εἰς πάντα
τόπον ἐπέγραφον, οἱ δὲ τὰς ἡμέρας συστρεφόμενοι
κατὰ μέρη φανερῶς ἐξέφερον ἤδη τὸ μῖσος εἰς τοὺς
4προεστῶτας. Οἱ δὲ περὶ τὸν Ἀγαθοκλέα, βλέπον- Incertus
τες τὰ συμβαίνοντα, καὶ μοχθηρὰς ἐλπίδας ἔχον- consilii Agatho-
τες περὶ αὐτῶν, τοτὲ μὲν ἐγίγνοντο περὶ ὁρασμόν· cles.
οὐδενὸς δ' αὐτοῖς ἡτοιμασμένου πρὸς τοῦτο τὸ μέρος
διὰ τὴν σφετέραν ἀβουλίαν, ἀφίσταντο τῆς ἐπιβο-

XXVII. 4. *τοτὲ μὲν & deinde τοτὲ δὲ a Casaub. est.* τότε νιτrobique *habet Herv. cum nostris.* Ibid. *ἐπιβολῆς correxi cum Gron. & Reisk. Vulgo omnes ἐπιβουλῆς.*

27. Accessit vero & ipsius *Agathoclis* facinus aliquod, quod & vulgi & Tlepolemi iram vehementius intendit. Is enim quo suam cum *Tlepolemo* discordiam faceret palam, socrum ipsius, *Danaën* nomine, ex æde Cereris abreptam, & per mediam urbem revelata facie tractam, in carcerem conjecerat. Quo nomine succensens illi populus, non jam inter privatos, neque arcano, sermones ea de re serebat: sed alii noctibus animi sui indicia quovis loco inscribebant; alii etiam interdiu per circulos coacti, suum in eos, penes quos rerum summa erat, odium palam præ se ferebant. Quæ omnia vulgo fieri quum cerneret *Agathocles*, de salute jam sua spem habens exiguam, modo fugam cogitabat; sed qui in eam rem nihil præparasset, quæ fuit ejus imprudentia, incepto rursus desistebat: modo conjurationis

Ol. 144. 2. λῆς· τοτὲ δὲ συνωμότας κατέγραφον καὶ κοινωνοὺς 5
τῆς τόλμης, ὡς αὐτίκα μάλα τῶν ἐχθρῶν τοὺς μὲν
καταφθάξοντες, τοὺς δὲ συλλήψόμενοι, μετὰ δὲ
Mœragenes, Tlepolemi amicus, ταῦτα τυραννικὴν ἐξουσίαν περιποιησόμενοι. Ταῦ- 6
τα δ' αὐτῶν διανοουμένων, προσέπεσε διαβολὴ κα-
τά τινὸς Μοιραγένους, ἑνὸς τῶν σωματοφυλάκων,
διότι μηνύοι πάντα τῷ Τλιπολέμῳ καὶ συνεργοίη,
διὰ τὴν πρὸς Ἀδαῖον οἰκειότητα τὸν ἐπὶ τῆς Βουβα-
στοῦ τότε καθεσταμένον. Ὁ δ' Ἀγαθοκλῆς εὐθέως 7
συνέταξε Νικοστράτῳ τῷ πρὸς τοῖς γράμμασι τε-
ταγμένῳ, συλλαβόντι τὸν Μοιραγένη φιλοτίμως
in eo est, ut flagris cædatur. ἐξετάσαι, πᾶσαν προτιθέντα βάσανον. Οὗτος μὲν 8
οὖν παραχρῆμα συλληφθεὶς ὑπὸ τοῦ Νικοστράτου,
καὶ παραχθεὶς εἴς τινα μέρη τῆς αὐλῆς ἀποκεχω-
ρηκότα, τὸ μὲν πρῶτον ἐξ ὀρθῆς ἀνεκρίνετο περὶ
τῶν προσπεπτωκότων. πρὸς οὐδὲν δὲ τῶν λεγομένων 9
ἀνθομολογούμενος, ἐξεδύθη· καὶ τινὲς μὲν τὰ πρὸς
τὰς βασάνους ὄργανα διεσκεύαζον, οἱ δὲ, τὰς μά-
στιγας

tionis socios & audaciæ centuriabat, quasi mox hostes suos partim jugulaturus esset, partim comprehensurus, ac deinde potentiam tyrannicam sibi paraturus. Hæc cogitante Agathocle, delatum est *Mœragenis* nomen, satellitum unius, quod omnia *Tlepolemo* indicaret, ejusque adjuvaret conatus, propter illam necessitudinem, quæ ipsi intercederet cum *Adæo*, præfecto urbis Bubasti. Confestim Agathocles præcepit *Nicostrato*, qui erat a cura epistolarum, Mœragenem ut prehenderet, & omni tormentorum genere propositio veritatem de illo exprimeret. Is igitur extemplo correptus a Nicostrato, & in semotam quamdam regiæ partem abductus, principio vestigiis suis insistens, de iis, quæ nunciata fuerant, diligenter est interrogatus. Deinde quum nihil eorum quæ dicebantur fateretur, est exutus: & erant jam, qui torquendi instrumenta disponerent aptarentque; alii,

Digitized by Google

στιγας ἔχοντες μετὰ χεῖρας, ἀπεδύοντο τὰς χλα- A.V.552.
μύδας. Κατὰ δὲ τὸν καιρὸν τοῦτον προστρέχει τις
τῶν ὑπηρετῶν πρὸς τὸν Νικόστρατον, καὶ ψιθυρί-
σας πρὸς τὴν ἀκοὴν ἄττα δήποτ' οὖν, ἀπηλλάττετο
μετὰ σπουδῆς. ὁ δὲ Νικόστρατος ἐκ ποδὸς ἐπηκο-
λούθει τούτῳ, λέγων μὲν οὐδέν, τύπτων δὲ συνεχῶς
τὸν μηρόν.

Περὶ δὲ τὸν Μοιραγένην ἄφατον ἦν καὶ παράλο- XXVIII.
γον τὸ συμβαῖνον. οἱ μὲν γὰρ μονονοὺ διατεταμένοι Miro modo evadit Mœragenes.
τὰς μάστιγας παρέστησαν, οἱ δὲ πρὸ ποδῶν αὐτοῦ
τὰ πρὸς ἀνάγκας ὄργανα διεσκεύαζον. τοῦ δὲ Νι-
κοστράτου παραχωρήσαντος, ἔστησαν ἀχανεῖς πάν-
τες, ἐμβλέποντες ἀλλήλοις, προσδοκῶντες ἀεί ποτε
τὸν προειρημένον, εἰ ἀνακάμψει. χρόνου δὲ γιγνομέ-
νου, κατὰ βραχὺ διέῤῥεον οἱ παρεστῶτες, τέλος δὲ
ὁ Μοιραγένης ἀπελείφθη· καὶ μετὰ ταῦτα διελθὼν
τὴν αὐλὴν, ἀνελπίστως παρέπεσε γυμνὸς εἴς τινα

XXVIII. 3. *εἰ ἀνακάμψει. ὅταν ἀνακάμψει edd. Sed conjunctio abest ab Aug. Regiis, Veſont. Tubing. εἰ recepi ex marg. cod. Veſont.*

alii, flagra manibus tenentes, chlamydes exuebant. Inter hæc adcurrit aliquis adparitorum ad Nicoſtratum, &, poſtquam aliquid ei in aures immurmuraſſet, quidquid tandem illud eſſet, feſtinanter ab eo diſcedit. *Nicoſtratus* abeuntem e veſtigio ſequitur, tacitus ille quidem, ſed femur adſidue feriens.

28. *Mœrageni* vero res tunc evenit dictu difficilis & prorſus inopinata. Stabant prope ipſum hinc illi, qui flagra tantum non ad feriendum jam intenderant, inde illi, qui inſtrumenta ad torquendum diſponebant & concinnabant. At poſtquam loco exceſſit *Nicoſtratus*; omnes ſeſe invicem intuentes, ſtupore ſunt defixi, reditum illius præſtolantes. Vbi aliquamdiu eſt exſpectatum, paullatim, qui aderant, dilabi cœperunt, & *Mœragenes* nudus eſt relictus, qui poſtea per regiam tranſiens præter ſpem ſuam nudus ad Macedonum quoddam taber-

nacu-

Ol. 144. 2. σκηνὴν τῶν Μακεδόνων, σύνεγγυς κειμένην τῆς αὐλῆς.
Macedonas concitat adv. Agathoclem. Καταλαβὼν δὲ κατὰ τύχην ἀριστῶντας καὶ συνηθροισμένους, ἔλεγε τὰ περὶ αὐτὸν συμβεβηκότα, καὶ τὸ παράλογον τῆς σωτηρίας. οἱ δὲ τὰ μὲν ἠπίστουν, τὰ δὲ πάλιν, ὁρῶντες αὐτὸν γυμνὸν, ἠναγκάζοντο πιστεύειν. Ἐκ δὲ ταύτης τῆς περιπετείας ὅ τε Μοιραγένης μετὰ δακρύων ἐδεῖτο τῶν Μακεδόνων, μὴ μόνον τῆς αὐτοῦ συνεπιλαβέσθαι σωτηρίας, ἀλλὰ καὶ τῆς τοῦ βασιλέως, καὶ μάλιστα τῆς σφῶν αὐτῶν. προδήλαν γὰρ εἶναι πᾶσι τὸν ὄλεθρον, ἐὰν μὴ συναίψωνται τοῦ καιροῦ, καθ' ὃν ἀκμάζει τὸ τῶν πολλῶν μῖσος, καὶ πᾶς ἕτοιμός ἐστι πρὸς τὴν κατ' Ἀγαθοκλέους τιμωρίαν. ἀκμάζειν δὲ νῦν μάλιστα, ἔφη, καὶ προσδεῖσθαι τῶν καταρξομένων.

XXIX. Insurrectionem parant milites. Οἱ δὲ Μακεδόνες, ἀκούσαντες τούτων, παροξύνονται, καὶ πέρας ἐπείθησαν τῷ Μοιραγένει· καὶ πρώτας μὲν εὐθέως ἐπῆσαν τὰς τῶν Μακεδόνων σκηνὰς,

naculum regiæ vicinum devenit. Eo loci ad prandium congregatos nactus *Macedonas*, casum illis suum aperuit, & insperatam salutem, quæ sibi obtigisset. Illi primo fidem dictis nullam habere: deinde, quum nudum cernerent, cogi credere. Enimvero *Mœragenes*, tam inopinato defunctus periculo, cum lacrymis *Macedonas* hortari institit, ut *non suæ tantum ipsius, sed regis quoque atque inprimis propriæ ipsorum consulerent salu-*

ti. Certum namque exitium omnibus impendere, nisi temporis occasionem prehendissent, quando odium multitudinis in Agathoclem vigeat maxime, & ad pœnas ab eo exigendas nemo non sit paratus ac promtus. Ejus autem rei nunc cum maxime esse tempus, & duces tantum atque auctores opus esse.

29. His auditis, Macedones iram concipiunt, ac tandem Mœrageni morem gerunt. Omnium prima tabernacula Macedonum adeunt, deinde

σκηνὰς, μετὰ δὲ ταῦτα τὰς τῶν ἄλλων στρατιωτῶν. A.V.552.
2εἰσὶ δ' αὗται συνεχεῖς, πρὸς ἓν μέρος ἀπονενευκυῖαι Insurrectionem parant
3τῆς πόλεως. Οὔσης δὲ τῆς μὲν ὁρμῆς πάλαι προ- milites.
χείρου τῆς τῶν πολλῶν, προσδεομένης δὲ τοῦ προκαλεσομένου μόνον καὶ τολμήσοντος, ἅμα τῷ λαβεῖν ἀρχὴν τὸ πρᾶγμα, ταχέως οἱονεὶ πῦρ ἐξέλαμψεν. 4οὐ γὰρ ἐγεγήθησαν ὥραι τέσσαρες, καὶ πάντα τὰ γένη συμπεφωνήκει, καὶ τὰ στρατιωτικὰ, καὶ τὰ 5πολιτικὰ, πρὸς τὴν ἐπίθεσιν. Συνήργησε γὰρ μεγάλα καὶ ταὐτόματον ἐν τῷ καιρῷ τούτῳ πρὸς τὴν 6συντέλειαν. Ὁ μὲν γὰρ Ἀγαθοκλῆς, ἀνενεχθείσης πρὸς αὐτὸν ἐπιστολῆς, καὶ κατασκόπων ἐπαναχθέντων, καὶ τῆς μὲν ἐπιστολῆς γεγραμμένης πρὸς τὰς δυνάμεις παρὰ τοῦ Τληπολέμου, καὶ δηλούσης, ὅτι παρέσται ταχέως, τῶν δὲ κατασκόπων διασαφούντων, ὅτι πάρεστιν· οὕτως ἐξέστη τῶν φρενῶν, ὥστ', ἀφέμενος τοῦ πράττειν τι καὶ διανοεῖσθαι περὶ τῶν

XXIX. 3. προκαλ. *correxit Casaub.* προσκαλεσ. *Harv. cum mistis.*

deinde aliorum militum. Sunt autem hæc continua, & in unam urbis partem vergunt omnia. Quum autem vulgi in eam rem jampridem esset paratus impetus, nec quidquam deesset præter eum, qui hortaretur & daret incentivum; simulac res cœpta est, repente incendium quasi quoddam effulsit. Necdum enim quatuor elapsæ erant horæ, cum & militarium virorum & civium omnia genera ad *insurgendum in Agathoclem* consenserunt. Quo tempore & casus quidam ad rem cito perficiendam valuit plurimum. *Agathocli* reddita est quædam epistola, & speculatores ad eum deducti. Epistolam *Tlepolemus* scripserat ad exercitus, *cito se adfuturum* nuncians: speculatores, *jam adesse*, nunciabant. Hæc ita Agathoclem de statu mentis dejecerunt, ut agendi aliquid & consultandi de iis, quæ nunciata fue-

Digitized by Google

Ol.144.2. προσπεπτωκότων, ἀπῆλθε κατὰ τὸν εἰθισμένον καιρὸν εἰς τὸν πότον, κἀκεῖ κατὰ τὴν εἰθισμένην ἀγωγὴν ἐπετέλει τὴν συνουσίαν. Ἡ δὲ Οἰνάνθη πε- 8
Oenanthe, mater Agathoclis. ρικακοῦσα παρῆν εἰς τὸ Θεσμοφορεῖον, ἀνεῳγμένου τοῦ νεὼ διά τινα θυσίαν ἐπέτειον. καὶ τὸ μὲν πρῶ- 9
τον ἐλιπάρει γονυπετοῦσα καὶ μαγδανεύουσα πρὸς τὰς θεάς· μετὰ δὲ ταῦτα καθίσασα πρὸς τὸν βω-
μὸν, εἶχε τὴν ἡσυχίαν. Αἱ μὲν οὖν πολλαὶ τῶν γυ- 10
ναικῶν, ἡδέως ὁρῶσαι τὴν δυθυμίαν καὶ περικάκησιν αὐτῆς, ἀπεσιώπων· αἱ δὲ τοῦ Πολυκράτους συγγε-
νεῖς καί τινες ἕτεραι τῶν ἐνδόξων, ἀδήλου τῆς περι-
στάσεως αὐταῖς ἀκμὴν ὑπαρχούσης, προσελθοῦσαι παρεμυθοῦντο τὴν Οἰνάνθην. ἡ δ' ἀναβοήσασα με- 11
γάλῃ τῇ φωνῇ, μή μοι πρόσιτε, φησὶ, θηρίοις· καλῶς γὰρ ὑμᾶς γινώσκω, διότι καὶ φρονεῖθ' ἡμῖν ἐναντία, καὶ ταῖς θεαῖς εὔχεσθε τὰ δυσχερέστερα καθ' ἡμῶν.

11. *Φησὶ correxit Casaub. Φημὶ Herv. cum mstis.* Ibid. *δυσχερέστερα. δυσχερέστατα voluit Reisk.*

fuerant, cura omissa, mox, qua solitus erat hora, ad convivium abiret, atque ibi pro consueto more genio inter suos indulgeret. *Oenanthe* vero, malis ingemens suis, ad Thesmophorium, [ea est Cereris ac Proserpinæ ædes] forte tunc anniversarii cujusdam sacri caussa apertum, se contulit. Ibi statim flexis genibus cum multo lenocinio preces deabus fundere cœpit: deinde ad aram residens, quieta manebat. Lætæ illam pleræque mulieres, animum ita despondentem, & mala sua lamentantem, spectabant tacitæ: verum Polycratis cognatæ & quædam aliæ e nobilioribus, Oenanthæ casum penitus ignorantes, ad eam accedunt, & consolari adgrediuntur. Illa clamore edito, *ne me*, ait, *accedatis, bestiæ! Vos enim ego probe novi; nostris partibus contrarias vos scio esse, & nunc deas orare, ut diriora quæque*

Digitized by Google

12 ἡμῶν. οὐ μὴν, ἀλλὰ ἔτι πέποιθα, τῶν θεῶν βουλο- A.V.552.
13 μένων, γεύσειν ὑμᾶς τῶν ἰδίων τέκνων. Καὶ ταῦτ' Oenan-
εἰποῦσα, ταῖς ῥαβδούχοις ἀνείργειν προσέταξε καὶ the.
14 παίειν τὰς μὴ πειθαρχούσας. Αἱ δ', ἐπιλαβόμεναι τῆς προφάσεως ταύτης, ἀπηλάσσοντο πᾶσαι, τοῖς θεοῖς ἀνίσχουσαι τὰς χεῖρας, καὶ καταρώμεναι λαβεῖν αὐτὴν ἐκείνην πεῖραν τούτων, ἃ κατὰ τῶν πέλας ἐπανετείνετο πράξειν.

Ἤδη δὲ κεκριμένου τοῦ καινοτομεῖν τοῖς ἀνδράσιν, ἐπιγενομένης καθ' ἑκάστην οἰκίαν καὶ τῆς ἐκ τῶν γυναικῶν ὀργῆς, διπλάσιον ἐξεκαύθη τὸ μῖσος. XXX. Tumultus Alexandriæ.

2 Ἅμα δὲ τῷ μεταλαβεῖν τὸ τῆς νυκτὸς, πᾶσα πλήρης ἦν ἡ πόλις θορύβου καὶ φώτων καὶ διαδρομῆς. 3 οἱ μὲν γὰρ εἰς τὸ Στάδιον ἠθροίζοντο μετὰ κραυγῆς, οἱ δὲ παρεκάλουν ἀλλήλους, οἱ δὲ κατεδύοντο διαδι- 4 δράσκοντες εἰς ἀνυποπτήτους οἰκίας καὶ τόπους. Ἤδη

12. πέποιθα correxit Casaub. nescio an ex Vrb. πέπεισθα Hero. πέπεισθε Regii, Vesont. Tub. πέπεισθε Aug. 13. ταῖς ῥαβδούχοις ex Aug. adscivi. Ceteri vulgo ταῖς ῥαβδούχοις. 14. ἐπανετείνετο. Sic Aug. & Vrb. Ceteri vulgo ἐπανετείνατο.

que nobis eveniant. At spero tamen futurum, diis volentibus, ut ipsa vos ad proprios comedendos liberos adigam. Hæc locuta, fœminas, quæ sibi adparebant, jubet, illas ut summoverent, & si non parerent, eas virgis suis uti cæderent. Mulieres, hac occasione arrepta, discedunt omnes, manus ad deos tollentes, & *Oenanthæ* imprecantes, *experiretur ipsamet, quæ ut experirentur aliæ facturam sese minaretur.*

30. Quum igitur jam viri res novas moliri constitutum haberent; ubi ira illa accessit, quam per domos singulas mulieres etiam concitabant, duplo vehementius odium exarsit. Vt primum nox ingruit, tumultus, luminum, cursitationis plena urbs erat. Alii in Stadio cum clamore congregari, alii mutuo sese cohortari, alii, ut fuga malum præverterent, in domos & loca minime suspecta se abdere. Iam quidquid est vacuæ areæ circa

omnino declinabant *Rhodii*: crebris vero inter ordines hoſtilium navium diſcurſibus, remos illis detrahentes, reddebant ipſos inutiles; deinde rurſus, modo hinc, modo illinc adnavigantes, alios a puppi invadentes, aliis obliquis & ſeſe cum maxime vertentibus impingentes, nonnullos ſauciabant, nonnullis vero partem ſemper aliquam nautici inſtrumenti corrumpebant. Et hoc pacto pugnantes, hoſtium complures naves perdebant.

5. Inſigne vero præ ceteris trium quinqueremium *Rhodiarum* fuit diſcrimen: prætoriæ, in qua *Theophiliſcus* erat; deinde illius, cui *Philoſtratus* trierarchus præerat; poſtremo illius, quæ *Autolycum* gubernatorem habebat, & *Nicoſtratum* vehebat. Hæc enim navis quum in hoſtilem quamdam feciſſet impetum, atque in ea roſtrum reliquiſſet: evenit, ut & quæ icta fuerat cum ipſis viris demergeretur, & *Autolycus*, aqua maris per proram ingrediente, cinctus

Ol. 144. 3. Pugna navalis.

θέντας ὑπὸ τῶν πολεμίων, τὰς μὲν ἀρχὰς ἀγωνίζεσθαι γενναίως· τέλος δὲ τὸν μὲν Αὐτόλυκον ἐκπεσεῖν τρωθέντα μετὰ τῶν ὅπλων εἰς τὴν θάλατταν, τοὺς δὲ λοιποὺς ἐπιβάτας ἀποθανεῖν μαχομένους γενναίως. Ἐν ᾧ παιρῷ Θεοφιλίσκος, βοηθήσας μετὰ τριῶν πεντήρων, τὴν μὲν ναῦν οὐκ ἠδυνήθη σῶσαι, διὰ τὸ πλήρη θαλάττης εἶναι· δύο δὲ ναῦς πολεμίας τρώσας, τοὺς ἐπιβάτας ἐξέβαλε. ταχὺ δὲ περιχυθέντων αὐτῷ λέμβων πλειόνων καὶ καταφρακτῶν νεῶν, τοὺς μὲν πλείστους ἀπέβαλε τῶν ἐπιβατῶν, ἐπιφανῶς ἀγωνισαμένους· αὐτὸς δὲ τρίαι τραύματα λαβὼν, καὶ παραβόλως τῇ τόλμῃ κινδυνεύσας, μόλις ἐξέσωσε τὴν ἰδίαν ναῦν, ἐπιβοηθήσαντος αὐτῷ Φιλοστράτου, καὶ συναναδεξαμένου τὸν ἐνεστῶτα κίνδυνον εὐψύχως. Συνάψας δὲ τοῖς αὐτοῦ σκάφεσι, πάλιν ἐξ ἄλλης ὁρμῆς συνεπλέκετο τοῖς πολεμίοις, τῇ μὲν σωματικῇ δυνάμει παραιρούμενος

V. 6. παραβόλως. Forſan παραβόλῳ.

cinctus ab hoſtibus generoſe quidem primo pugnaret, poſtea vero vulnere accepto, ut erat armatus, in mare decideret, ac ceteri quoque epibatæ ſtrenue dimicantes occumberent. Quo tempore *Theophiliſcus*, cum tribus quinqueremibus auxilio adcurrens, navem ille quidem, utpote aqua plenam, ſervare non potuit; ſed hoſtium duas ſauciavit, & defenſores ex ea ejecit. Mox vero lembis compluribus & quibuſdam conſtratis eum circumdantibus, amiſſa parte maxima ſuorum epibatarum, poſtquam infigniter decertaſſent; ipſe, tribus vulneribus ſaucius, in magnum præ audacia præcipiti adductus periculum, ægre tandem, djuvante *Philoſtrato*, qui animo forti in præſenti diſcrimine comitem ſe illi adjecerat, navem ſuam ſervavit. Qui mox ubi ſuorum navibus ſe conjunxiſſet, denuo pugnam capeſſens, hoſtes eſt adortus, corporis quidem viribus ſolutis ex vulne-

Digitized by Google

μενος ὑπὸ τῶν τραυμάτων, τῇ δὲ τῆς ψυχῆς γεν- A.V.553.
ναιότητι λαμπρότερος ὢν καὶ παραστατικώτερος, ἢ Pugna navalis.
πρόσθεν. Συνέβη δὲ, δύο γενέσθαι ναυμαχίας, πολὺ διεστώσας ἀλλήλων. τὸ μὲν γὰρ δεξιὸν κέρας τοῦ Φιλίππου, κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν ἀεὶ τῆς γῆς ὀρεγόμενον, οὐ μακρὰν ἀπεῖχε τῆς Ἀσίας· τὸ δ' εὐώνυμον, διὰ τὸ παραβοηθῆσαι τοῖς ἐπὶ τῆς εὐρεγίας ἐξ ὑποστροφῆς, οὐ πολὺ τῆς Χίας ἀποσχὸν ἐναυμάχει τοῖς Rodiois.

Οὐ μὴν, ἀλλὰ παρὰ πολὺ τοῦ δεξιοῦ κέρατος κα- VI.
τακρατούντων τῶν περὶ τὸν Ἄτταλον, καὶ συνεγεί- Attalus victor;
ζόντων ἤδη πρὸς τὰς νησίδας, ὑφ' αἷς ὁ Φίλιππος ὥρμει παραδοκῶν τὸ συμβησόμενον· συνιδὼν Ἄτταλος μίαν πεντήρη τῶν ἰδίων, ἐκτὸς τοῦ κινδύνου τετραμένην καὶ βαπτιζομένην ὑπὸ νεὼς πολεμίας, ὥρμητε παραβοηθήσων ταύτῃ μετὰ δύο τετρήρων. τοῦ

9. Χίας. *Χίου fuspicari licet cum Reiskio.*
VI. 2. τετρήρων. πεντήρων *fuspicatus eft Caſaub. & vertit* quinqueremibus.

vulneribus; ſed animi robore vehementior & ferocior, quam ante. Accidit autem, ut duæ navales pugnæ, adnodum inter ſe diſtantes, committerentur. Nam dexrum Philippi cornu, terram emper, ut ab initio fuerat conſtitutum, petens, non procul aberat ab *Aſia;* at ævum, quod ſe converterat, ut poſtremæ aciei ravibus præſidium ferret, haud longe a *Chio* diſtans cum Rhodiis decertavit.

6. Iam claſſis Attali, de dextro Philippi cornu certam victoriam modo non manibus tenens, parvis illis inſulis adpropinquabat, in quibus *Philippus*, prælii eventum exſpectans, in ancoris ſtabat; quando *Attalus*, quinqueremem unam e ſuis extra prælium animadvertens ſauciatam, quæ ab hoſtili nave demergebatur, cum duabus quadriremibus ad ferendam ei opem contendit. Et quum inimica navis

Digitized by Google

Ol.144.3. δὲ πολεμίου σκάφους ἐγκλίναντος, καὶ ποιουμένου τὴν ἀποχώρησιν ὡς πρὸς τὴν γῆν, ἐπέκειτο φιλοτιμώτερον, ἐγκρατὴς γενέσθαι σπουδάζων τῆς νεώς.

per Philippum interclusus a suis,

4 Ὁ δὲ Φίλιππος, συνθεασάμενος ἀπεσπασμένον πολὺ τὸν Ἄτταλον ἀπὸ τῶν ἰδίων, παραλαβὼν τέτταρας πεντήρεις καὶ τρεῖς ἡμιολίας, ἔτι δὲ τῶν λέμβων τοὺς ἐγχὺς ὄντας, ὥρμησε, καὶ διακλείσας τὸν Ἄτταλον ἀπὸ τῶν οἰκείων νεῶν, ἠνάγκασε μετὰ μεγάλης ἀγωνίας εἰς τὴν γῆν ἐκβαλεῖν τὰ σκάφη.

egre evadit Erythras.

Τούτου δὲ συμβάντος, αὐτὸς μὲν ὁ βασιλεὺς μετὰς τῶν πληρωμάτων εἰς τὰς Ἐρυθρὰς ὠπεχώρησε· τῶν δὲ πλοίων καὶ τῆς βασιλικῆς παρασκευῆς ἐγκρατὴς ὁ Φίλιππος ἐγένετο. Καὶ γὰρ ἐποίησάν τινες τεχνικὸν ἐν τούτοις τοῖς καιροῖς οἱ περὶ τὸν Ἄτταλον· τὰ γὰρ ἐπιφανέστατα τῆς βασιλικῆς κατασκευῆς ἐπὶ τὸ κατάστρωμα τῆς νεὼς ἐξέβαλον. Ὅθεν οἱ πρῶτοι τῶν Μακεδόνων, συνάψαντες ἐν τοῖς λέμβοις, συνθεασάμενοι ποτηρίων πλῆθος, καὶ πορ-

6. κατασκευῆς. παρασκευῆς Bayf. ut paulo ante.

navis inclinaſſet in fugam, ſeque verſus terram recepiſſet; inſequitur rex, cupidius quam par erat navis potiri ſtudens. *Philippus*, ut *Attalum* vidit longo intervallo a ſuis ſeparatum, quinqueremibus quatuor adſumtis & tribus hemioliis, cum ea lemborum copia, quæ præſto erat, in eum eſt profectus: qui Attalum, intercluſum a ſua claſſe, coëgit, de ſua ſalute vehementer anxium, naves in continentem ejicere. Quo facto, ipſe quidem rex cum ſociis navalibus *Erythras* conceſſit; at naves & regiam ſupellectilem *Philippus* cepit. Nam *Attalus* & qui circa eum erant, illo tempore arte quadam uſi, pretioſiſſima quæque de ſupellectile regia ſuper tabulatum navis expoſuerant: unde evenit, ut Macedones, qui in eam lembis vecti primi inciderunt, conſpicati pocula multa, veſtesque purpureas, & vaſa alia,

πορφυρῶν ἱματίων, καὶ τῶν τούτοις παρεπομένων σκευῶν, ἀφέμενοι τοῦ διώκειν, ἀπένευσαν ἐπὶ τὴν τούτων ἁρπαγήν. Διὸ συνέβη, τὸν Ἄτταλον ἀσφαλῆ ποιήσασθαι τὴν ἀποχώρησιν εἰς τὰς Ἐρυθράς. Φίλιππος δὲ, τοῖς μὲν ὅλοις ἠλατλωμένος παρὰ πολὺ τὴν ναυμαχίαν, τῇ δὲ περιπετείᾳ τῇ κατὰ τὸν Ἄτταλον ἐπαρθεὶς, ἐπανέπλει, καὶ πολὺς ἦν συναθροίζων τὰς σφετέρας ναῦς, καὶ παρακαλῶν τοὺς ἄνδρας εὐθαρσεῖς εἶναι, διότι νικῶσι τῇ ναυμαχίᾳ. Καὶ γὰρ ὑπέδραμέ τις ἔννοια καὶ πιθανάτης τοῖς ἀνθρώποις, ὡς ἀπολωλότος τοῦ Ἀτλάλου, διὰ τὸ κατάγειν τοὺς περὶ τὸν Φίλιππον ἀναδεδεμένους τὴν βασιλικὴν ναῦν. Ὁ δὲ Διονυσόδωρος, ὑπονοήσας τὸ περὶ τὸν αὐτοῦ βασιλέα γεγονὸς, ἤθροιζε τὰς οἰκείας ναῦς, ἐξαίρων σύνθημα· ταχὺ δὲ συλλεχθεισῶν πρὸς αὐτὸν, ἀπέπλει μετ' ἀσφαλείας εἰς τοὺς κατὰ τὴν Ἀσίαν ὅρμους. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν οἱ πρὸς

Philippus victus, regiam victoris navem capit. A.V. 553.

7. πορφυρῶν ἱματίων correxi. Vulgo πορφυροῦν ἱμάτιον. Sed Bayf. & Reg. F. πορφυροῦν ἱματίων.

alia, res ejusmodi comitari solita, omissa persequendi cura, ad ea diripienda se converterent. Qua ex re id consecutus est *Attalus*, ut tuto sibi Erythras profugere liceret. *Philippus*, qui universi prælii victoriam luculentam hosti tradiderat, casu inopinato Attali elatus, in altum vela dedit, & studio summo naves suas colligens, bono animo esse militem jubebat, quandoquidem navali prælio vicissent. Plerosque' sane hominum, qui videbant, Philippum regiam Attali navim suis adligatam in portum deducere, cogitatio subierat, non parum probabilis, quasi *Attalus* periisset. At *Dionysodorus*, conjectans id, quod regi suo acciderat, sublato in altum signo, naves suas coëgit: quibus brevi ad ipsum collectis, ad oræ Asiaticæ stationes sine periculo se contulit. Quæ dum aguntur, qui cum Rhodiis dimi-

Digitized by Google

Ol. 144. 3. Rhodii Chium redeunt.

τοὺς Ῥοδίους ἀγωνιζόμενοι τῶν Μακεδόνων, πάλαι κακῶς πάσχοντες, ἐξέλυον αὐτοὺς ἐκ τοῦ κινδύνου, μετὰ προφάσεως κατὰ μέρη ποιούμενοι τὴν ἀποχώρησιν, ὡς ταῖς οἰκείαις σπεύδοντες ἐπικουρῆσαι ναυσίν. οἱ δὲ Ῥόδιοι, τὰς μὲν ἀναδησάμενοι τῶν νεῶν, 13
τὰς δὲ προδιαφθείραντες ταῖς ἐμβολαῖς, ἀπέπλευσαν εἰς τὴν Χίον.

VII. Exitus pugnæ navalis ad Chium.

Ἐφθάρησαν δὲ τοῦ μὲν Φιλίππου ναῦς ἐν μὲν τῇ πρὸς Ἄτταλον ναυμαχίᾳ δεκήρης, ἐννήρης, ἑπτήρης, ἑξήρης, τῶν δὲ λοιπῶν κατάφρακτοι μὲν δέκα, καὶ τριημιολίαι τρεῖς, λέμβοι δὲ πέντε καὶ εἴκοσι, καὶ τὰ τούτων πληρώματα. ἐν δὲ τῇ πρὸς Ῥοδίους διε- 2
φθάρησαν κατάφρακτοι μὲν δέκα, λέμβοι δὲ περὶ τετταράκοντα τὸν ἀριθμόν· ἥλωσαν δὲ δύο τετρήρεις, καὶ λέμβοι σὺν τοῖς πληρώμασιν ἑπτά. Τῶν 3
δὲ παρ' Ἀττάλου κατέδυσαν μὲν τριημιολίαι μία καὶ δύο πεντήρεις, καὶ τὸ τοῦ βασιλέως σκάφος. τῶν 4
δὲ

12. μετὰ προφάσεως &c. *Inversa oratione edidit Meibomius:* κατὰ μέρη ποιούμ. τὴν ἀποχώρ. μετὰ προφάσ. εἰς ταῖς οἰκ.

VII. 3. *Aut ante* τριημιολία, *aut ante* καὶ τὸ τοῦ βασιλέως *intercidisse nonnihil videtur de* captis Attali navibus.

dimicabant *Macedones*, jamdiu laborantes, prælio excesserunt; & alii post alios, per speciem suis navibus opitulatum festinandi, sese receperunt. At *Rhodii*, naves alias suis revinctas trahentes, alias rostrorum ictibus quassatas relinquentes, *Chium* navigarunt.

7. Amisit *Philippus* e *navibus* suis, in prælio quidem adversus *Attalum*, decerem, ennerem, hepterem, hexerem, & ex ceteris confractas decem, triemiolias tres, lembos quinque & viginti, cum sociis navalibus. In conflictu cum *Rhodiis* perierunt eidem tectæ naves decem, lembi ad quadraginta: captæ sunt quadriremes duæ, & lembi septem cum remigibus. *Attalus* vero e suis desideravit triemioliam unam, & duas quinqueremes, quæ sunt submersæ, & regiam ipsam navem. *Rhodiorum*

periere

δὲ Ῥοδίων διεφθάρησαν μὲν δύο πεντήρεις, καὶ τριή- A.V.553.
ρης· ἦλω δ' οὐδέν. Ἄνδρες δὲ τῶν μὲν Ῥοδίων ἀπέ-
θανον εἰς ἑξήκοντα, τῶν δὲ παρ' Ἀτάλου πρὸς
ἑβδομήκοντα· τῶν δὲ τοῦ Φιλίππου, Μακεδόνες μὲν
εἰς τρισχιλίους, τῶν δὲ πληρωμάτων εἰς ἑξακισχι-
λίους. ἐάλωσαν δὲ ζωγρείᾳ τῶν μὲν συμμάχων καὶ
Μακεδόνων εἰς δισχιλίους, τῶν δ' Αἰγυπτίων εἰς
ἑπτακοσίους.

Καὶ τὸ μὲν τέλος τῆς περὶ Χίον ναυμαχίας τοιοῦ- VIII.
τον συνέβη γενέσθαι. τῆς δὲ νίκης ὁ Φίλιππος ἀντε- Victus
ποιεῖτο κατὰ δύο προφάσεις, κατὰ μίαν μὲν, ἣν τὸν Philip-
Ἄτταλον εἰς τὴν γῆν ἐκβαλὼν ἐγκρατὴς τῆς νεὼς pus vi-
ἐγεγόνει· καθ' ἑτέραν δὲ, ἣ καθορμισθεὶς ἐπὶ τὸ κα- ctoriam
λούμενον Ἀργεννόν, ἐδόκει πεποιῆσθαι τὸν ὅρμον ἐπὶ fibi vin-
τῶν ναυαγίων. Ἀκόλουθα δὲ τούτοις ἔπραττε, καὶ dicat.
κατὰ τὴν ἑξῆς ἡμέραν συνάγων τὰ ναυάγια, καὶ
τῶν νεκρῶν ποιούμενος ἀναίρεσιν τῶν ἐπιγινωσκομέ-

 νων,

4. καὶ τριήρης ex Ang. adſtivi. Vulgo καὶ τριῆρεις. 5. πρὸς ἑβδομήκ. εἰς ἑβδομήκ. Boſſ. 6. Αἰγυπτίων. An Ἀτταλικῶν vel Ἀσιανῶν?

periere quinqueremes duæ, & triremis: capta autem nulla eſt. *Viri mortui* ſunt, Rhodii quidem, ad ſexaginta; de copiis vero Attali ad ſeptuaginta. E claſſe Philippi, Macedones circiter tria millia; ſocii vero navales ad ſex millia. *Capti* ſunt vivi Macedones cum ſociis circiter bis mille; Aegyptii ad ſeptingentos.

8. Et *pugnæ* quidem *navalis ad Chium* pugnatæ hic fuit *exitus*. Victoriam vero *Philippus* duplici prætextu fibi vindicabat. Vnus erat, quod, *Attalo* in terram expulſo, navem ipſius ceperat: alter, quod, quum ea nocte circa *Argeunum promontorium* in ancoris ſtetiſſet, viſus erat ſtationem occupaſſe, quæ naufragiis imminebat. Convenienter his & poſtero die ſeſe idem geſſit, tabulas naufragii colligens, & mortuos, qui poterant agnoſci, ad ſepulturam tollens; ut eam opinionem, quam dixi,

in

Ol.144.3. νων, χάριν τοῦ συναύξειν τὴν προειρημένην φαντασίαν. Ὅτι γὰρ οὐδ' αὐτὸς ἐπέπειστο νικᾶν, ἐξήλεγξαν αὐτὸν οἵ τε Ῥόδιοι καὶ Διονυσόδωρος μετ' ὀλίγον. κατὰ γὰρ τὴν ἐπιοῦσαν ἡμέραν ἔτι περὶ ταῦτα γενομένου τοῦ βασιλέως, διαπεμψάμενοι πρὸς ἀλλήλους, ἐπέπλευσαν αὐτῷ, καὶ στήσαντες ἐν μετώπῳ τὰς ναῦς, οὐδενὸς ἐπ' αὐτοὺς ἀνταναγομένου, πάλιν ἀπέπλευσαν εἰς τὴν Χίον. Ὁ δὲ Φίλιππος οὐδέποτε τοσούτους ἄνδρας ἀπολωλεκὼς, οὔτε κατὰ γῆν, οὔτε κατὰ θάλατταν ἐνὶ καιρῷ, βαρέως μὲν ἔφερε τὸ γεγονὸς, καὶ τὸ πολὺ τῆς ἐρμῆς αὐτοῦ παρῃρεῖτο· πρὸς μέν τοί γε τοὺς ἐκτὸς ἐπειρᾶτο κατὰ πάντα τρόπον ἐπικρύπτεσθαι τὴν αὐτοῦ διάληψιν, καίπερ οὐκ ἐώντων αὐτῶν τῶν πραγμάτων. Χωρὶς γὰρ τῶν ἄλλων, καὶ τὰ μετὰ τὴν μάχην συμβαίνοντα πάντας ἐξέπληττε τοὺς θεω-

Graviſſima clades Philippi.

VIII. 3. συναύξειν cum Bayfio edidit Caſaub. συντάξειν Herv. conſentientibus codd. noſtris. 6. Verba οὔτε κατὰ γῆν, quæ abſunt vulgo ab edd. & mſtis, ex conject. adjeci. Ibid. παρῃρεῖτο ex Gron. & Reiskii conject. poſui. Vulgo omnes παρῃτᾶτο. Forſan παρεῖτο.

in animis hominum confirmaret. Nam alioquin ne ipſi quidem Philippo fuiſſe perſuaſum, ſe viciſſe, *Rhodii* & *Dionyſodorus* paullo poſt evicerunt. Nam die ſequenti, quum in ea re *Philippus* eſſet adhuc occupatus, per nuncios conſilio inter ſe communicato, adverſus eum ſunt profecti: collocatisque in frontem navibus, nemine contra ipſos prodeunte, Chium ſunt reverſi. *Philippus*, qui numquam uno tempore, neque terra, neque mari, tantum virorum amiſerat, dolebat ille quidem de accepta clade, adeo ut prior ille impetus magna jam ex parte in eo reſideret: at apud exteros tamen ſenſum animi occulere modis omnibus conabatur, licet res ipſæ ejus rei facultatem nequaquam concederent. Nam ut alia taceam, vel illa ipſa, quæ poſt prælium contigerunt, omnes qui ſpectarent pavore ſtupefacie-

Digitized by Google

9 θεωμένους. γενομένης γὰρ τοσαύτης φθορᾶς ἀνθρώ- A.V.553.
πων, πάρ' αὐτὸν μὲν τὸν καιρόν πως ὁ πόρος ἐπλη-
ρώθη νεκρῶν, αἵματος, ὅπλων, ναυαγίων· ταῖς δ' ἑξῆς
ἡμέραις τοὺς αἰγιαλοὺς ἦν ἰδεῖν φύρδην σεσω-
ρευμένους ἀναμὶξ πάντων τῶν προειρημένων. Ἐξ
ὧν οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ πάντες οἱ Μακεδόνες
εἰς διατροπὴν ἐνέπιπτον οὐ τὴν τυχοῦσαν.

Θεοφιλίσκος δὲ μίαν ἡμέραν ἐπιβιώσας, καὶ τῇ IX.
πατρίδι γράψας ὑπὲρ τῶν κατὰ τὴν ναυμαχίαν, Laus
καὶ Κλεωναῖον ἡγεμόνα συστήσας ἑαυτοῦ ταῖς Theophi-
δυνάμεσι, μετήλλαξε τὸν βίον ἐκ τῶν τραυμάτων· lifci Rho-
2ἀνὴρ καὶ κατὰ τὸν κίνδυνον ἀγαθὸς γενόμενος, καὶ dii.
3κατὰ τὴν προαίρεσιν μνήμης ἄξιος. Μὴ γὰρ ἐκεί-
νου τολμήσαντος προσπιβαλεῖν τῷ Φιλίππῳ τὰς
χεῖρας, πάντες ἂν καταπροεῖντο τοὺς καιρούς, δε-
4διότες τὴν τοῦ Φιλίππου τόλμαν. Νῦν δ' ἐκεῖνος,
ἀρχὴν πολέμου ποιήσας, ἠνάγκαζε μὲν τὴν αὐτοῦ
πατρίδα

faciebant. Quum enim cædes tot hominum esset facta, repente quidem totus ille maris tractus cadaveribus, sanguine, armis & fractis navibus est refertus: insecutis vero diebus cerneres per littora earum rerum omnium, quas diximus, inter se permixtarum acervos, passim ac temere congestos. Quo spectaculo non ipse tantum, sed etiam cuncti Macedones, haud mediocriter confusi perturbabantur.

9. *Theophiliscus*, quum diem unum supervixisset, & de prælio navali ad patriam literas exarasset, *Cleonæum* denique suam vicem exercitui præfeciisset, ex vulneribus obiit: vir, & propter navatam egregie operam in prælio, & ob genus institutorum ac consiliorum dignus memoria. Qui si auctor audendi & moliendi aliquid adversus Philippum non extitisset, videntur omnes, Philippi audacia territi, rei bene gerendæ occasionem fore prætermissuri. Nunc ille, bellum inchoans, cives suos coëgit, ad oblatam opportu-

Digitized by Google

Ol. 144. 3. πατρίδα συνεξαναστῆναι τοῖς καιροῖς· ἠνάγκασε δὲ τὸν Ἄτταλον μὴ μέλλειν, καὶ παρασκευάζεσθαι τὰ πρὸς τὸν πόλεμον, ἀλλὰ πολεμεῖν ἐῤῥωμένως καὶ κινδυνεύειν. Τοιγαροῦν εἰκότως αὐτὸν οἱ Ῥόδιοι καὶ μεταλλάξαντα τοιαύταις ἐτίμησαν τιμαῖς, δι' ὧν οὐ μόνον τοὺς ζῶντας, ἀλλὰ καὶ τοὺς ἐπιγενομένους ἐξεκαλέσαντο πρὸς τοὺς ὑπὲρ τῆς πατρίδος καιρούς.

✲ ✲ ✲

X. Temere & capiunt & objiciunt consilia mortales.

Τί οὖν ἦν τὸ τῆς ὁρμῆς ἐπιλαβόμενον; οὐδὲν ἕτερον, ἀλλ' ἡ φύσις τῶν πραγμάτων. Ἐκ πολλοῦ μὲν γὰρ ἐνίοτε πολλοὶ τῶν ἀδυνάτων ἐφίενται διὰ τὸ μέγεθος τῶν προφαινομένων ἐλπίδων, κρατούσης τῆς ἐπιθυμίας τῶν ἑκάστου λογισμῶν· ὅταν δ' ἐγγίσωσι τοῖς ἔργοις, οὐδενὶ λόγῳ πάλιν ἀφίστανται τῶν προθέσεων, ἐπισκοτούμενοι καὶ παραλογιζόμενοι τοῖς λογισμοῖς, διὰ τὴν ἀμηχανίαν καὶ τὴν δυσχρηστίαν τῶν ἀπαντωμένων.

III. Ca-

portunitatem ſeſe excitare, & in Macedonem inſurgere: coëgit & Attalum non cunctari, nec jam bellum adparare, ſed gerere omnibus viribus, & periculum adire. Merito igitur hunc *Rhodii* etiam mortuum honoribus adfecerunt ejusmodi, per quos non illos dumtaxat, qui tum vivebant, ſed & poſteros, ad bene merendum de patria neceſſariis ipſius temporibus erant provocaturi.

✲ ✲ ✲

10. Quidnam erat igitur, quod eorum inhiberet impetum? Ipſa nempe rerum natura, nec quidquam aliud. Multi enim ſæpe, dum e longinquo res intuentur, etiam ea quæ fieri nequeunt concupiſcunt, propter magnitudinem ſpei quæ oſtentatur, cupiditate uſum mentis & rationis in ſingulis mortalium vincente: qui, ubi ad rem propius eſt ventum, temere rurſus inceptis abſiſtunt, difficultatibus atque impedimentis, quæ occurrunt, oculis ipſorum caliginem obfundentibus, & in varios errores ipſos inducentibus.

III. Ex-

Digitized by Google

III. *Cariam invadit Philippus.* A.V.553.

Μετὰ ταῦτα δὲ ποιησάμενος ὁ Φίλιππός τινας ἀπράκτους προσβολὰς διὰ τὴν ὀχυρότητα τοῦ πολίσματος, αὖθις ἀπεχώρει, πορθῶν τὰ Φρούρια, καὶ τὰς κατὰ τὴν χώραν συναικίας. ὅθεν ἀπαμβλυνόμενος προσεστρατοπέδευσε τῇ Πριναττῷ. ταχὺ δὲ γέφυρα καὶ τὴν τοιαύτην ἑτοιμάσας παρασκευὴν, ἤρξατο πολιορκεῖν διὰ τῶν μεταλλων. οὔσης δ' ἀπράκτου τῆς ἐπιβολῆς αὐτῷ διὰ τὸ πετρώδη τὸν τόπον ὑπάρχειν, ἐπινοεῖ τι τοιοῦτον. Τὰς μὲν ἡμέρας ψόφον ἐποίει κατὰ γῆς, ὡς ἐνεργουμένων τῶν μεταλλων· τὰς δὲ νύκτας ἔξωθεν ἔφερε χοῦν, καὶ παρέβαλε παρὰ τὰ στόμια τῶν ὀρυγμάτων· ὥστε διὰ τοῦ πλήθους τῆς σωρευομένης γῆς στοχαζομένους καταπλαγεῖς γενέσθαι τοὺς ἐν τῇ πόλει. Τὰς μὲν οὖν ἀρχὰς ὑπέμενον οἱ Πριναττεῖς εὐγενῶς. ἐπεὶ

XI. Prinassum obsidet Philippus.

XI. 2. πολιορκῶν cum Vrsino correxit Casaub. πολιορκῶν Herv. cum multis.

III. *Excerpt. Antiq. ex Lib.* XVI. *Cap.* 10 *seq.*

II. Secundum hæc *Philippus*, quum impressionibus urbem aliquoties tentasset, neque exitum conatus, propter egregiam loci munitionem, habuisset, castris inde motis, castella & agrorum vicos populari instituit. Deinde profectus ex eo loco, ad *Prinassum* oppidum cum exercitu consedit: ubi crates & reliquo urbium obsidendarum adparatu celeriter expedito, cuniculis agendis oppugnationem est aggressus. Quoniam vero saxosis locis irritum erat ejus inceptum, hujusmodi commentum excogitavit. Sonum interdiu sub terra edens, quasi agerentur cuniculi, noctis silentio terram aliunde convehebat, & ad ora foveārum adponebat; ut oppidani terræ congestæ copiam ingentem secum reputantes, pavore quaterentur. Igitur principio quidem *Prinassen-*

ses

Digitized by Google

Ol.144.3. ἐπεὶ δὲ προσπέμψας ὁ Φίλιππος ἐνεφάνιζε, διότι πρὸς δύο πλέθρα τοῦ τείχους αὐτοῖς ἐξερήρεισται, καὶ προσεπυνθάνετο, πότερα βούλονται λαβόντες τὴν ἀσφάλειαν ἐκχωρεῖν, ἢ μετὰ τῆς πόλεως συναπολέσθαι πανδημεί, τῶν ἐρεισμάτων ἐμπρηθέντων· τηνικάδε πιστεύσαντες τοῖς λεγομένοις παρέδοσαν τὴν πόλιν.

* * *

XII. Iassi urbis, situs & origo.

Ἡ δὲ τῶν Ἰασσέων πόλις κεῖται μὲν ἐπὶ τῆς Ἀσίας ἐν τῷ κόλπῳ τῷ μεταξὺ κειμένῳ τοῦ τῆς Μιλησίας Ποσειδίου καὶ τῆς Μυνδίων πόλεως, προσαγορευομένῳ * παρὰ δὲ τοῖς πλείστοις Βαργυλιητικῷ, συνωνύμως ταῖς περὶ τὸν μυχὸν αὐτοῦ πόλεσιν ἐκτισμέναις. Εὔχονται δὲ τὸ μὲν ἀνέκαθεν Ἀργείων

5. ἐξερήρεισται ex conject. edidit Casaub. ἐξερήρεισται Herv. cum Aug. Vrb. & Tub. ἐξερήρεισαι & ἐξερήρεισε Regii & Vesont. Forsan ἐξυπήρεισται legendum. 6. παρέδοσαν dedit Aug. Ceteri vulgo mendose παρέδωσαν, quod in παρέδωκαν mutavit Ernest.

XII. 1. Ante παρὰ δὲ lacunæ signum posui, & intercidisse puto verba μὲν παρά τισι Ἰασίῳ. Casaubonus sua auctoritate edidit προσαγορ. δὲ παρὰ τοῖς πλ.

ses obsidionem generose tolerare: ubi vero missi sunt a *Philippo*, qui significarent, *ad duo ferme jam murorum jugera se sublicis suspendisse*, & quærerent ab ipsis, *utrum mallent*, *impunitatisne fide accepta oppido excedere*, *an cum ipsa urbe*, *postquam incendio consumtæ forent sublicæ*, *simul cuncti perire*: tum enimvero fide habita eis, quæ dicebantur, urbem tradiderunt.

* * *

12. Vrbs *Iassensium* in ora Asiæ sita est ad *sinum*, qui ab altera parte Neptuni fano terminatur, in Milesiorum ditione posito, ab altera Myndiorum urbe, & [a nonnullis quidem *Iassius*,] a plerisque vero *Bargylieticus* adpellari solet, adpellatione indita ab iis urbibus, quæ in ejus recessu sunt conditæ. Hi primam sibi generis originem fuisse ab Argivis gloriantur,

Digitized by Google

γείων ἄποικοι γεγονέναι, μετὰ δὲ ταῦτα Μιλησίων, A.V.553.
ἐπαγαγομένων τῶν προγόνων τὸν Νηλέως υἱὸν, τοῦ
κτίσαντος Μίλητον, διὰ τὴν ἐν τῷ Καρικῷ πολέμῳ
γενομένην φθορὰν αὐτῶν. τὸ δὲ μέγεθος τῆς πό-
3λεώς ἐστι δέκα σταδίων. Καταπεφήμισται δὲ καὶ Diana Cindyas nunquam compluitur.
πεπίστευται παρὰ μὲν τοῖς Βαργυλιήταις, διότι τὸ
τῆς Κινδυάδος Ἀρτέμιδος ἄγαλμα, καίπερ ὂν ὑπαί-
θριον, οὔτε νίφεται τὸ παράπαν, οὔτε βρέχεται·
4παρὰ δὲ τοῖς Ἰασσεῦσι, τὸ τῆς Ἑστιάδος· καὶ ταῦ-
5τα τινὲς εἰρήκασι καὶ τῶν συγγραφέων. Ἐγὼ δὲ
πρὸς τὰς τοιαύτας ἀποφάσεις τῶν ἱστοριογράφων
οὐκ οἶδ' ὅπως παρ' ὅλην τὴν πραγματείαν ἐναντιού-
6μενος καὶ δυσαναισχετῶν διατελῶ. Δοκεῖ γάρ μοι
τὰ τοιαῦτα παντάπασι παιδικῆς εἶναι τῆς * ὅσα
μὴ μόνον τῆς τῶν εὐλόγων ἐκτὸς πίπτει θεωρίας,
ἀλλὰ

2. *Ante* τὸν Νηλέως υἱὸν *excidisse* Ἰασσὸν *suspicatus est Reisk.* τὸν Νηλ. υἱὸν *ex ing. edidit Casaub. cum esset* τῶν Νηλ. υἱῶν, *quod servari poterat adjecto* ἕνα. *Sed mox rursus corrupte libri omnes* τοὺς κτίσαντας, *quod pariter correxit Casaub.* 4. *In* Ἑστιάδος *consentiunt libri, nisi quod* ἀστιάδος *det Reg. G.* Ἑστίας *suspicatus est Casaub. quod & cum eodem in vers. lat. expressi.* Ἑστιάδος *defendit Reisk.* Dianam, Vestalem vel Focalem *cognominatam suspicans.* 6. *Hiatus notam adposuit Casaub. Deesse videtur* ἀπειρίας.

riantur, proximam a Milesiis; quum majores ipsorum, post ingentem bello Carico acceptam cladem civium, filium *Nelei*, qui Miletum coloniam deduxerat, in suam acciviſſent urbem. Oppidi magnitudo decem eſt ſtadiorum. Fama eſt, eaque apud Bargylietas pro vera obtinet, *ſimulacrum Dianæ Cindyadis, etſi ſub divo poſitum, neque ningi umquam, neque compluiſſe:* quod etiam de *Veſta* apud *Iaſſenſes* dicitur. Nec deſunt, ne ex hiſtoriæ quidem ſcriptoribus, qui hæc in literas retulerunt. Ego vero dictis hujusmodi eorum, qui res geſtas ſcribunt, neſcio quo modo per totum hoc opus non poſſum non obſiſtere, & impatientiſſime illa ferre. Nam equidem puerilis utique levitatis duco hæc talia, quæ propius conſiderata non ſolum a rationibus probabilibus abhorrent,

Digitized by Google

Ol. 144. 3. Theopompi levitas.

ἀλλὰ καὶ τῆς τοῦ δυνατοῦ. Τὸ γὰρ φάσκειν, ἔνιαι τῶν σωμάτων ἐν φωτὶ τιθέμενα μὴ ποιεῖν σκιάν, ἀπηλιγηκυίας ἐστὶ ψυχῆς· ὃ πεποίηκε Θεόπομπος, φήσας, τοὺς εἰς τὸ τοῦ Διὸς ἄβατον ἐμβάντας κατ' Ἀρκαδίαν ἀσκίους γίγνεσθαι. τούτῳ δὲ παραπλή-

In narrandis mirabilibus modus tenendus.

σιόν ἐστι καὶ τὸ νῦν λεγόμενον. Ὅσα μὲν οὖν συν-τείνει πρὸς τὸ διασώζειν τὴν τοῦ πλήθους εὐσέβειαν πρὸς τὸ θεῖον, δοτέον ἐστὶ συγγνώμην ἐνίοις τῶν συγγραφέων, τερατευομένοις καὶ λογοποιοῦσι περὶ τὰ τοιαῦτα· τὸ δ' ὑπεραῖρον οὐ συγχωρητέον. Τάχα μὲν οὖν ἐν παντὶ δυσπαράγραφός ἐστιν ἡ ποσότης· οὐ μὴν ἀπαράγραφός γε. Διὸ καὶ παρὰ βραχὺ μὲν ἢ καὶ ἀγνοεῖν ἢ καὶ ψευδοδοξεῖν, δεδόσθω συγγνώμη· τὸ δ' ὑπεραῖρον ἀθετείσθω κατά γε τὴν ἐμὴν δόξαν.

IV. *Res*

11. ἢ καὶ ἀγνοεῖν ἢ καὶ. *Sic Caſaub. ex conjecł. Libri omnes cum Flor-vagio* εἰ καὶ ἀγνοεῖν καὶ ψευδ. *Vnde Reiskius maluit* μέν τι καὶ ἀγνοεῖν καὶ ψευδ.

rent, ſed etiam ab eo quod fieri poteſt. Dicere enim, *quædam corpora in lumine poſita umbram non efficere*, hominis eſt deplorati ingenii. Hoc tamen *Theopompus* fecit, qui auctor eſt, *eos, qui in templum Iovis in Arcadia, quod nemini adire licet, fuerint ingreſſi, umbræ expertes reddi.* Cui ſimile eſt, quod modo dicebamus. Enimvero in ils quidem, quæ ad conſervandam vulgi pietatem erga divinum numen pertinent, danda eſt nonnullis ſcriptorum venia, ſi miraculorum narrationibus & id genus fabulis indulgeant: verumtamen, quod modum excedit, id illis non condonandum. Et eſt quidem fortaſſe in omni re difficile, terminum invenire, ubi ſiſtas; non plane tamen ejus inveniendi negata eſt facultas. Itaque, ſi meo ſtandum judicio, detur his venia aut ignorantibus quædam, aut falſa etiam opinantibus, dumtaxat intra modum: ſin autem res modum penitus exceſſerit, repudianda cenſetor.

IV. *Ex-*

Digitized by Google

IV. *Res Peloponnesi.*

A.V.553.

XIII. Nabis, tyrannus Laced.

Κατὰ τὴν Πελοπόννησον τίνα μὲν ἐξαρχῆς προαίρεσιν ἐνεστήσατο Νάβις, ὁ τῶν Λακεδαιμονίων τύραννος, καὶ πῶς, ἐκβαλὼν τοὺς πολίτας, ἠλευθέρωσε τοὺς δούλους καὶ συνώκισε ταῖς τῶν δεσποτῶν γυναιξὶ καὶ θυγατράσιν· ὁμοίως δὲ καὶ τίνα τρόπον, ἀναδείξας τὴν ἑαυτοῦ δύναμιν οἷον ἄσυλον ἱερὸν τοῖς ἢ δι' ἀσέβειαν ἢ πονηρίαν φεύγουσι τὰς ἑαυτῶν πατρίδας, ἤθροισε πλῆθος ἀνθρώπων ἀνοσίων εἰς τὴν Σπάρτην· ἐν τοῖς πρὸ τούτων δεδηλώκαμεν. Πῶς δὲ καὶ τίνα τρόπον κατὰ τοὺς προειρημένους καιροὺς, σύμμαχος ὑπάρχων Αἰτωλοῖς, Ἠλείοις, Μεσσηνίοις, καὶ πᾶσι τούτοις ὀφείλων καὶ κατὰ τοὺς ὅρκους, καὶ κατὰ τὰς συνθήκας βοηθεῖν, εἴ τις ἐπ' αὐτοὺς ἴοι, παρ' οὐδὲν ποιησάμενος τὰς προειρημένας πίστεις, ἐπεβάλετο παρασπονδῆσαι τὴν τῶν Μεσσηνίων πόλιν, νῦν ἐροῦμεν. * * *

Messenam proditione capit.

V. *Poly-*

IV. *Excerptum Valesianum.*

13. In Peloponneso quodnam ab initio fuerit institutum *Nabidis*, Lacedæmoniorum tyranni, ac quomodo expulsis civibus servos ad libertatem vocaverit, ac dominorum uxoribus ac filiabus matrimonio conjunxerit, superioribus libris ostendimus; ac præterea quomodo potentiam suam tamquam asylum quoddam cunctis, ob impietatem ac malitiam patria profugis, ostentans, perditorum hominum colluviem Spartam congregaverit. Nunc vero, qua ratione his temporibus, quæ paullo ante notavi, socius cum esset Aetolorum, Elensium ac Messeniorum, iisque omnibus, ubi opus esset, opem ferre teneretur, cum ex juramento solenniter præstito, tum ex fœdere, nihilominus calcata omni fide *Messeniorum* urbem violare sit adgressus, deinceps referam. * * *

Ol.144.3.

V. *Polybii Excurſus, de Zenone & Antiſthene, ſcriptoribus Rhodiis.*

XIV. Zeno & Antiſthenes Rhodii, Hiſtorici illuſtres.

Ἐπεὶ δέ τινες τῶν τὰς κατὰ μέρος γραφόντων πράξεις γεγράφασι καὶ περὶ τούτων τῶν καιρῶν, ἐν οἷς τά τε κατὰ Μεσσηνίους, καὶ τὰ κατὰ τὰς προειρημένας ναυμαχίας συνετελέθη, βούλομαι βραχέα περὶ αὐτῶν διαλεχθῆναι. Ποιήσομαι δὲ οὐ πρὸς ἅπαντας, ἀλλ' ὅσους ὑπολαμβάνω μνήμης ἀξίους εἶναι καὶ διαστολῆς· εἰσὶ δ' οὗτοι Ζήνων καὶ Ἀντιθένης, οἱ Ῥόδιοι. Τούτους δὲ ἀξίους εἶναι κρίνω διὰ πλείους αἰτίας. καὶ γὰρ κατὰ τοὺς καιροὺς γεγόνασι, καὶ πατρίδι πεπολίτευνται, καὶ καθόλου πεποίηνται τὴν πραγματείαν οὐκ ὠφελείας χάριν, ἀλλὰ δόξης καὶ τοῦ καθήκοντος ἀνδράσι πολιτικοῖς. Τῷ δὲ τὰς αὐτὰς γράφειν ἡμῖν πράξεις, ἀναγκαῖόν ἐστι,

XIV. 1. *ναυμαχίας correxi cum Reisk. Vulgo συμμαχίας.* 3. *καὶ πατρίδι ex conject. ſcripſi. Vulgo mendoſe καὶ περὶ περι ex cod. Peireſc. edebatur, quod ex καὶ πρὸς ἔτι corruptum ſuſpicatus eſt Valeſ. καὶ ἐν τῇ πατρίδι voluit Reisk.*

V. *Excerptum Valeſianum.*

14. Sed quoniam nonnulli ex iis, qui *particulares Hiſtorias* condiderunt, de his quoque temporibus ſcripſere, quibus & iſta Meſſeniis acciderunt, & pugnatæ ſunt navales illæ pugnæ, quæ a nobis expoſitæ ſunt; fert animus, pauca de ipſis illis ſcriptoribus differere. Dicam autem non de omnibus, ſed de iis dumtaxat, qui memoratu maxime digni atque illuſtres mihi videntur. Hi ſunt *Zeno atque Antiſthenes, Rhodii:* quos multis ex cauſſis nobiliſſimos eſſe exiſtimo. Nam & illis ipſis temporibus vixerunt, & rempublicam in patria ſua adminiſtrarunt, atque poſtremo non utilitatis propriæ cauſſa, ſed gloriæ ſtudio, ac prout viros decet in republica verſatos, ad ſcribendum ſe contulerunt. Quoniam vero easdem res ac nos ipſi hiſtoriæ mandarunt, non ſunt ſilentio

Digitized by Google

ἐστι, μὴ παρασιωπᾶν, ἵνα μὴ τῷ τῆς πατρίδος ὀνό- A.V.553.
ματι καὶ τῷ δοκεῖν οἰκειοτάτας εἶναι Ῥοδίοις τὰς
κατὰ θάλατταν πράξεις, ἡμῶν ἀντιδοξούντων πρὸς Dissentiunt a
αὐτοὺς, ἔνιοι μᾶλλον ἐπακολουθήσωσιν ἐκείνοις, ἥπερ Polybio
ἡμῖν, οἱ Φιλομαθοῦντες. Οὗτοι τοιγαροῦν ἀμφότε- de Pugna
ροι πρῶτον μὲν τὴν περὶ Λάδην ναυμαχίαν οὐχ ἧτ- navali ad
του τῆς περὶ Χίον, ἀλλ' ἐνεργεστέραν καὶ παραβο- Laden.
λωτέραν ἀποφαίνουσι· καὶ τῇ κατὰ μέρος τοῦ κιν-
δύνου χρείᾳ καὶ συντελείᾳ, καὶ καθόλου, φασὶ, τὸ
νίκημα γεγονέναι κατὰ τοὺς Ῥοδίους. Ἐγὼ δὲ, διότι
μὲν δεῖ ῥοπὰς διδόναι ταῖς αὐτῶν πατρίσι τοὺς συγ-
γραφέας, συγχωρήσαιμ' ἄν· οὐ μὴν τὰς ἐναντίας
τοῖς συμβεβηκόσιν ἀποφάσεις ποιεῖσθαι περὶ αὐτῶν.
ψεύδεσθαι γὰρ τὰ κατ' ἄγνοιαν γινόμενα τοῖς γρά-
φουσιν, ἃ διαφυγεῖν ἄνθρωπον δυσχερές. Ἐὰν δὲ
κατὰ προαίρεσιν ψευδογραφῶμεν, ἢ πατρίδος ἕνε-
κεν, ἢ φίλων, ἢ χάριτος, τί διοίσομεν τῶν ἀπὸ τού-

tio prætereundi; ne hiſtoriæ ſtudioſi, patriæ celebritate eaque opinione inducti, quod rei navalis gloria Rhodiorum propria eſſe videtur, ſi quando ab illis ſcriptoribus diſſentiamus, illorum ſententiæ libentius quam noſtræ accedant. Igitur ambo illi primum quidem ajunt, *Prælium navale ad Laden non inferius fuiſſe pugna ad Chium, ſed longe acrius ac formidoloſius: & cum particulatim in ſingulis pugnæ momentis atque rebus geſtis, tum in ſumma rei penes Rhodios ſtetiſſe victoriam*, adfirmant. Ego vero, ſcriptores paululum in patriæ ſuæ gratiam inclinare debere, non diffitear: ſed ita tamen, ut ne talia de ea prædicent, quæ ſunt rebus geſtis contraria. Etenim ſunt alia ſat multa peccata, in quæ ex veri ignoratione ſcriptores incurrunt; quæ quidem, cum homines nati ſimus, vitare difficile eſt. Quod ſi etiam de induſtria falſum ſcientes ſcribamus, ſive in patriæ, ſive in amicorum gratiam; quid intereſt inter nos atque eos,

Digitized by Google

Ol. 144. 3. De Pugna nav. ad Laden.

του τὸν βίον πορίζομένων; ὥσπερ γὰρ ἐκεῖνοι, τῷ 9
λυσιτελεῖ μετροῦντες, ἀδοκίμους ποιοῦσι τὰς αὐτῶν
συντάξεις· οὕτως οἱ πολιτικοὶ, τῷ μισεῖν ἢ τῷ φι-
λεῖν ἑλκόμενοι, πολλάκις εἰς τὸ αὐτὸ τέλος ἐμπί- ϕ
πτουσι τοῖς προειρημένοις. διὸ δεῖ καὶ τοῦτο τὸ μέ- 10
ρος ἐπιμελῶς τοὺς μὲν ἀναγινώσκοντας παρατηρεῖν,
τοὺς δὲ γράφοντας αὐτοὺς παραφυλάττεσθαι.

XV. Δῆλον δ' ἔστι τὸ λεγόμενον ἐκ τῶν ἐνεστώτων.
Ὁμολογοῦντες γὰρ οἱ προειρημένοι, διὰ τῶν κατὰ
μέρος, ἐν τῇ περὶ Λάδην ναυμαχίᾳ δύω μὲν αὐτάν-
δρους πεντήρεις τῶν Ῥοδίων ὑποχειρίους γενέσθαι τοῖς
πολεμίοις· ἐκ δὲ τοῦ κινδύνου μιᾶς νηὸς ἐπαραμένης 2
τὸν δόλωνα διὰ τὸ τετρωμένην αὐτὴν θαλαττοῦσθαι,
πολλοὺς καὶ τῶν ἐγγὺς τὸ παραπλήσιον ποιοῦντας
ἀποχωρεῖν πρὸς τὸ πέλαγος· τέλος δὲ μετ' ὀλίγων 3
καταλειφθέντα τὸν ναύαρχον ἀναγκαθῆναι ταυτὸ
τοῖς προειρημένοις πράττειν· καὶ τότε μὲν εἰς τὴν 4
Μυ-

9. τὸ αὐτὸ. *Adjeci articulum, qui aberat vulgo.*

eos, qui ejusmodi inſtituto victum ſibi comparant? Nam quemadmodum illi, veritatem utilitate ſua metiendo, ſcriptis ſuis auctoritatem detrahunt: ſic viri in republica exercitati, ſæpenumero odio aut amore attracti, in idem atque iſti vitium incidere ſolent. Proinde & lectores diligenter ad hoc attendere oportet, & ſcriptores ipſos ſedulo ſibi ab hac parte cavere.

15. Atque hoc ex iis, quæ in manibus nunc habemus, perſpicuum eſt. Nam cum auctores illi ſuperius nominati in rerum ſingularum expoſitione fateantur, *in pugna navali ad Laden duas Rhodiorum quinqueremes cum ipſis viris ab hoſte eſſe captas; & in ipſo diſcrimine, cum navis una vulnerata, jamjamque ſubmergenda, dolonem ſuſtuliſſet, multos ex proximis navibus exemplum ſecutos, in altum refugiſſe, tandemque præfectum claſſis, cum paucis relictum, idem invitum feciſſe; ac tum quidem*

Μυνδίαν ἀπουρώσαντας καθορμισθῆναι, τῇ δ' ἐπαύ- A.V.553.
5ριον ἀναχθέντας εἰς Κῶ διαβῆναι· τοὺς δὲ πολεμίους De Pugna nav. adLaden.
τὰς πεντήρεις ἐναύσασθαι, καὶ καθορμισθέντας ἐπὶ
τὴν Λάδην, ἐπὶ τῇ κείνων στρατοπεδείᾳ ποιήσασθαι
6τὴν ἔπαυλιν· ἔτι δὲ, τοὺς Μιλησίους, καταπλαγέν-
τας τὸ γεγονὸς, οὐ μόνον τὸν Φίλιππον, ἀλλὰ καὶ
7τὸν Ἡρακλείδην στεφανῶσαι διὰ τὴν ἔφοδον. Ταῦ-
τα δ' εἰρηκότες, ἃ προφανῶς ἐστιν ἴδια τῶν ἡτ[ημέ-
νων, ὅμως καὶ διὰ τῶν κατὰ μέρος, καὶ διὰ τῆς κα-
θολικῆς ἀποφάσεως, νικῶντας ἀποφαίνουσι τοὺς
8Ῥοδίους· καὶ ταῦτα, τῆς ἐπιστολῆς ἔτι μενούσης ἐν
τῷ πρυτανείῳ, τῆς ὑπ' αὐτοὺς τοὺς καιροὺς ὑπὸ
τοῦ ναυάρχου πεμφθείσης περὶ τούτων τῇ τε βουλῇ
καὶ τοῖς πρυτάνεσιν, οὐ ταῖς Ἀντισθένους καὶ Ζήνω-
νος ἀποφάσεσιν *, ἀλλὰ ταῖς ἡμετέραις.

Ἑξῆς δὲ τοῖς προειρημένοις, γράφουσι περὶ τοῦ XVI.
2κατὰ Μεσσηνίους παρασπονδήματος. Ἐν ᾧ φησιν

XV. 8. *Post ἀποφάσεσιν supple μαρτυρούσης aut simile verbum.*

dem in Myndiam tempestate ejectos, postridie inde profectos in insulam Co trajecisse; hostes vero & quinqueremes captas ad naves suas reliquisse, &, adpulsis navibus ad insulam Laden, in ipsis Rhodiorum castris stationem fecisse; præterea Milesios, rei eventu territos, non Philippo solum, sed etiam Heraclidi urbem ingressis coronas obtulisse: hæc cum illi fateantur, quæ victos manifesto arguunt; nihilominus cum in singulis partibus, tum in generali sententia, quam de summa rei ferunt, *Rhodios victores* pronunciant: idque, cum etiamnunc in prytaneo exstent literæ, his de rebus per id ipsum tempus a nauarcho scriptæ ad senatum magistratusque Rhodiorum, quæ literæ non *Antisthenis ac Zenonis* narrationi, sed nostræ, consentiunt.

16. Postea iidem auctores de injuria scribunt, contra fœderis leges Messeniis illata.

Digitized by Google

Ol. 144. 3. De expeditione Nabidis adv. Messenam.

ὁ Ζήνων, ὁρμήσαντα τὸν Νάβιν ἐκ τῆς Λακεδαίμονος, καὶ διαβάντα τὸν Εὐρώταν ποταμὸν, παρὰ τὸν Ὁπλίτην προσαγορευόμενον πορεύεσθαι διὰ τῆς ὁδοῦ τῆς στενῆς παρὰ τὸ Πολιάσιον, ἕως ἐπὶ τοὺς κατὰ Σελλασίαν ἀφίκετο τόπους· ἐντεῦθεν δὲ ἐπὶ Θαλάμας ἐπιβαλόντα κατὰ Φάρας παραγενέσθαι πρὸς τὸν Πάμισον ποταμόν. Ὑπὲρ ὧν οὐκ οἶδα, πῶς χρὴ λέγειν. τοιαύτην γὰρ φύσιν ἔχει τὰ προειρημένα πάντα συμβήβδην, ὥστε μηδὲν διαφέρειν τοῦ λέγειν, ὅτι ποιησάμενός τις ἐκ Κορίνθου τὴν ὁρμὴν, καὶ διαπορευθεὶς τὸν Ἰσθμὸν, καὶ συνάψας τοῖς Σκιρωνίσιν, εὐθέως ἐπὶ τὴν Κοντοπορίαν ἐπεβάλετο, καὶ παρὰ τὰς Μυκήνας ἐποιεῖτο τὴν πορείαν εἰς Ἄργος. Ταῦτα γὰρ οὐχ οἷον παρὰ μικρόν ἐστιν, ἀλλὰ τὴν ἐναντίαν διάθεσιν ἔχει πρὸς ἄλληλα. καὶ τὰ μὲν κατὰ τὸν Ἰσθμόν ἐστι καὶ τὰς Σκιράδας πρὸς ἀνατολὰς τοῦ Κορίνθου, τὰ δὲ κατὰ τὴν Κοντοπορίαν καὶ

XVI. 2. κατὰ Σελλασίαν correxi ex mente Valesii. Vulgo h. l. κατὰ ἕλλας ex cod. Peir. 4. Σκιρωνίσιν correxi monente Valesio. Mendose h. l. codex Κυρυνίσιν. Ibid. Κοντοποριάν. Vulgo h. l. Κοντοπόρειαν. Ibid. ἐπεβάλετο. Immo ἐπέβαλε. Ibid. παρὰ τὰς Μυκ. ex conj. correxi. Vulgo περὶ τὰς Μυκ.

ta. Quo loco *Zeno* ait: *Nabim, Lacedæmone profectum, trajecto Eurota fluvio, juxta rivum, qui Hoplites vocatur, via, quam Sthenen seu angustam vocant, iter feciſſe præter Poliaſium, donec ad Sellaſiæ agrum pervenit. Inde Thalamas delatum per oppidum Pharas ad Pamiſum fluvium veniſſe.* De quibus equidem quid dicam, non habeo. Prorſus enim idem eſt, ac ſi diceres, Corintho profectum quempiam, trajecto Iſthmo, poſtquam Scironidas ad petras acceſſit, recta Contoporiam veniſſe, ac præter Mycenas iter Argos feciſſe. Hæc enim haudquaquam levi differentia, ſed plane contrario ſitu ſibi invicem ſunt oppoſita: quippe Iſthmus & Scironia ſaxa ad ortum ſunt Corintho; Contoporia autem

6 καὶ Μυκήνας, ἔγγιστα πρὸς δύσεις χειμερινάς. ὥστ' A.V.553.
ἔναγ τελέως ἀδύνατον, ἀπὸ τῶν προηγουμένων ἐπι- De expe-
7 βαλεῖν τοῖς προειρημένοις τόποις. Τὸ δ' αὐτὸ καὶ Nabidis
8 περὶ τοὺς κατὰ τὴν Λακεδαίμονα συμβέβηκεν. ὁ μὲν adv. Mes-
γὰρ Εὐρώτας καὶ τὰ περὶ τὴν Σελλασίαν κεῖται τῆς senam.
Σπάρτης ὡς πρὸς τὰς θερινὰς ἀνατολάς· τὰ δὲ
κατὰ Θαλάμας, καὶ Φάρας, καὶ Παμισὸν, ὡς πρὸς
9 τὰς χειμερινὰς δύσεις. ὅθεν οὐχ οἷόν ἐπὶ τὴν Σελ-
λασίαν, ἀλλ' οὐδὲ τὸν Εὐρώταν δέον ἐστὶ διαβαίνειν
τὸν προτιθέμενον παρὰ Θαλάμας ποιεῖσθαι τὴν πο-
ρείαν εἰς τὴν Μεσσηνίαν.

Πρὸς δὲ τούτοις φησὶ, τὴν ἐπάνοδον ἐκ τῆς Μεσ- XVII.
σήνης πεποιῆσθαι τὸν Νάβιν κατὰ τὴν πύλην, τὴν
2 φέρουσαν ἐπὶ Τέγεαν. Τοῦτο δ' ἔστιν ἄλογον. πρό-
κειται γὰρ τῆς Τεγέας ἡ Μεγάλη Πόλις ὡς πρὸς
τὴν Μεσσήνην, ὥστ' ἀδύνατον εἶναι, καλεῖσθαί τινα
3 πύλην παρὰ τοῖς Μεσσηνίοις ἐπὶ Τέγεαν. ἀλλ' ἔστι
παρ' αὐτοῖς πύλη Τεγεάτις προσαγορευομένη, καθ'

2 & 9. *Pro* Σελλασίαν *h. l. ubique* Βελλασίαν *dabat ed. Peiresc.*

tem ac Mycenæ proxime ad occasum hibernum. Proinde fieri nullo modo potest, ut, qui iter illud teneat, ad loca superius memorata umquam accedat. Eadem vero ratio est illorum Laconiæ locorum. Namque *Eurotas* & ager *Sellasiorum* ad orientem æstivum *Spartæ* siti sunt; *Thalamæ* vero & *Pharæ* ac *Pamisus* amnis proxime ad occasum hibernum. Quo fit, non modo ut Sellasiam pervenire, sed ne Eurotam quidem trajicere debeat is, qui per Thalamas in Messeniam iter instituerit.

17. Insuper scribit, *Nabidem Messena reversum esse per portam, qua iter est Tegeam.* Quod est absurdum. Namque ante Tegeam, versus ipsam Messenam, sita est Megalopolis; ut nulla porta apud Messenios ita vocari possit, *ad Tegeam.* Est quidem apud eos porta, quæ *Tegeatis* appellatur, qua Nabis

Ol. 144. 3. De expeditione Nabidis adv. Meſſenam.

ἣν ἐποίησε τὴν ἐπάνοδον Νάβις· ᾧ πλανηθεὶς, ἔγγιον ὑπέλαβε τὴν Τέγεαν εἶναι Μεσσηνίων. τὸ δ' ἔστιν οὐ τοιοῦτον, ἀλλ' ἡ Λακωνικὴ καὶ ἡ Μεγαλοπολίτις χώρα μεταξὺ κεῖται τῆς Μεσσηνίας καὶ Τεγεατίδος. Τὸ δὲ τελευταῖον· φησὶ γὰρ, τὸν Ἀλφειὸν, ἐκ τῆς πηγῆς εὐθέως κρυφθέντα, καὶ πολὺν ἐνεχθέντα τόπον ὑπὸ γῆς, ἐκβάλλειν περὶ Λυκόαν τῆς Ἀρκαδίας. Ὁ δὲ ποταμὸς, οὐ πολὺν τόπον ἀποσχὼν τῆς πηγῆς, καὶ κρυφθεὶς ἐπὶ δέκα στάδια, πάλιν ἐκπίπτει· καὶ τὸ λοιπὸν φερόμενος διὰ τῆς Μεγαλοπολίτιδος, τὰς μὲν ἀρχὰς ἐλαφρὸς, ἔστι λαμβάνων αὔξησιν, καὶ διανύσας ἐπιφανῶς πᾶσαν τὴν προειρημένην χώραν ἐπὶ σ' σταδίους, γίγνεται πρὸς Λυκόαν, ἤδη προσειληφὼς καὶ τὸ τοῦ Λουσίου ῥεῦμα, καὶ παντελῶς ἄβατος ὢν καὶ βαρύς. * * * Οὐ μὴν, ἀλλὰ καὶ πάντα μοι δοκεῖ τὰ προειρημένα, διὰ-

bis domum reverſus eſt: qua re in errorem inductus Zeno, proximam Meſſenæ Tegeam eſſe exiſtimavit. Atqui aliter res habet: nam Laconicus ac Megalopolitanus ager Meſſeniam inter ac Tegeatidem interjacet. Poſtremo idem *Zeno* adfirmat: *Alpheum, ab ipſo ſtatim fonte occultatum, poſtquam per longinqua terræ ſpatia ſubterraneus fluxit, circa Lycoam Arcadiæ oppidum ſeſe egerere.* At hic fluvius, non procul a ſuis fontibus infra terram ſubiens, ac per decem ſtadia occultus, rurſus erumpit: ac deinceps per Megalopolitanum agrum fluens, initio quidem modicus, poſtea incremento accepto, celebris univerſam illam regionem permeat per ducenta ſtadia, & ſic demum Lycoam attingit, adſcito jam flumine Luſio validus omnino, nec vado permeabilis. * * * Enimvero cuncta hujusmodi mihi quidem

XVII. 3. *Μεσσηνίων* ex *Valeſii conj. correxi. Corrupte vulgo μόνον.* 6. *στάδια. σταδίους Suid.* 7. *ἐπὶ σ' σταδίους. ἐπὶ δέκα σταδίους ἐκφανεὶς γίγνεται Suid.* Ibid. *Λουσίου correxi ex Suida. Vulgo Λυσίου.* Ibid. *ἄβατος ὢν. Abeſt vulgo ὢν, quod ex Suida adjeci. Sed apud eumdem Suidam abeſt καὶ ante παντελῶς.* 8. *Vbi lacunæ notam poſui, ibi in mſto legitur: Ζήτει· ὀλίγα διέλειπε.*

Digitized by Google

διαπτώματα μὲν εἶναι, πρόφασιν δὲ ἐπιδέχεσθαι καὶ παραίτησιν· τὰ μὲν γὰρ δι' ἄγνοιαν γέγονε, τὸ δὲ περὶ τὴν ναυμαχίαν διὰ τὴν πρὸς τὴν πατρίδα φι-
9λοστοργίαν. Εἶτα, τίς οὐκ εἰκότως ἂν Ζήνωνι μέμ-
ψαιτο, διότι τὸ πλεῖον οὐ περὶ τὴν τῶν πραγμάτων ζήτησιν, οὐδὲ περὶ τὸν χειρισμὸν τῆς ὑποθέσεως, ἀλλὰ περὶ τὴν τῆς λέξεως κατασκευὴν ἐσπούδακε, καὶ δῆλός ἐστι πολλάκις ἐπὶ τούτῳ σεμνυνόμενος, καθάπερ καὶ πλείους ἕτεροι τῶν ἐπιφανῶν συγγρα-
10φέων; Ἐγὼ δὲ φημὶ μὲν, δεῖν πρόνοιαν ποιεῖσθαι καὶ σπουδάζειν ὑπὲρ τοῦ δέοντος ἐξαγγέλλειν τὰς πράξεις· δῆλον γὰρ, ὡς οὐ μικρὰ, μεγάλα δὲ συμβάλλεται τοῦτο πρὸς τὴν ἱστορίαν· οὐ μὴν ἡγεμονικώτατόν γε καὶ πρῶτον αὐτὸ παρὰ τοῖς μετρίοις ἀν-
11θρώποις τίθεσθαι. πολλοῦ γε δεῖ· ἄλλα γὰρ ἂν εἴη πολλῷ μέρη τῆς ἱστορίας, ἐφ' οἷς ἂν μᾶλλον σεμνυνθείη πολιτικὸς ἀνήρ.

A.V.553. De expeditione Nabidis adv. Meſſenam.

9. Εἶτα τίς οὐκ correxi cum Reiskio. Mendoſe vulgo Εἴ τις οὖν. 11. πολλοῦ γε δεῖ. Correxi vulgatum δέον.

dem peccata eſſe videntur, ſed quæ excuſationem ac veniam admittant: hæc enim ex ignoratione veri profecta ſunt; illud vero, de pugna navali, ex innato erga patriam amore fluxit. Quamquam non immerito aliquis *Zenonem* accuſet, quod non in ipſa rerum inquiſitione, neque in argumenti ſui tractatione, ſed in *dictionis elegantia* plurimum ſtudii poſuit, atque in eo ſæpiuscule ſe jactat: quod quidem & plerique alii ſcriptores celeberrimi nominis fecere. Ego vero curam quidem ac ſtudium in eo collocandum eſſe cenſeo, ut res geſtæ eleganter atque ornate proferantur; neque enim exigua, ſed maxima inde utilitas hiſtoriæ accedit: ita tamen, ut ne prima ac potiſſima ea pars a viris moderatis habeatur. Multum profecto abeſt: aliæ enim ſunt præſtantiores Hiſtoriæ partes, in quibus vir, rerum civilium gnarus, juſtius ſeſe oſtentet.

18. Hoc,

Digitized by Google

Ol.144.3. XVIII. De pugna Antiochi & Scopae ad Panium. Ol.145.2. A.V.556.

Ὁ δὲ λέγειν βούλομαι, γένοιτ' ἂν οὕτω μάλιστα καταφανές. Ἐξηγούμενος γὰρ ὁ προειρημένος συγγραφεὺς τήν τε Γάζης πολιορκίαν καὶ τὴν γενομένην παράταξιν Ἀντιόχου πρὸς Σκόπαν ἐν Κοίλῃ Συρίᾳ περὶ τὸ Πάνιον, περὶ μὲν τὴν τῆς λέξεως κατασκευὴν δῆλός ἐστιν ἐπὶ τοσοῦτον ἐσπουδακὼς, ὡς ὑπερβολὴν τερατείας μὴ καταλιπεῖν τοῖς τὰς ἐπιδεικτικὰς καὶ πρὸς ἔκπληξιν τῶν πολλῶν συντάξεις ποιουμένοις. τῶν γε μὴν πραγμάτων ἐπὶ τοσοῦτον ὠλιγώρηκεν, ὥστε πάλιν ἀνυπέρβλητον εἶναι τὴν εὐχέρειαν καὶ τὴν ἀπειρίαν τοῦ συγγραφέως. Προθέμενος γὰρ πρώτην διασαφεῖν τὴν τῶν περὶ τὸν Σκόπαν ἔκταξιν, τῷ μὲν δεξιῷ κέρατι φησὶ τῆς ὑπωρείας ἔχεσθαι τὴν φάλαγγα μετ' ὀλίγων ἱππέων· τὸ δ' εὐώνυμον αὐτῆς, καὶ τοὺς ἱππεῖς πάντας τοὺς ἐπὶ τούτου τεταγμένους, ἐν τοῖς ἐπιπέδοις κεῖσθαι. τὸν δ' Ἀντίοχον ἔτι μὲν τῆς ἑωθινῆς ἐκπέμψαι φησὶς τὸν πρεσβύτερον υἱὸν Ἀντίοχον, ἔχοντα μέρος τι τῆς

XVIII. 5. ἔτι μὲν correxi cum Relsk. Vulgo ἐπὶ μὲν.

18. Hoc, quod dico, ex sequenti exemplo manifestum fiet. Idem hic Scriptor, ubi *Gazae obsidionem* atque illud *praelium* narrat, *quo Antiochus in Syria Coele ad Panium cum Scopa conflixit*, in sermonis ornatu tantum studium posuisse deprehenditur, ut illos etiam, qui ex professo ad ostentationem ac plausum scripta sua componunt, longo intervallo superarit. In rebus autem ipsis adeo negligens fuit, ut hac levitate illius atque imperitia nulla major esse possit. Ordinem enim *instructae a Scopa aciei* primum exponere exorsus, *in dextro quidem cornu phalangem cum modica parte equitatus ad pedem montis constitisse* scribit; *cornu vero ejusdem sinistrum, atque omnes in eo cornu ordinatos equites, planitiem tenuisse. Ceterum Antiochum prima etiamnum luce partem copiarum, praefecto majore e filiis Antiocho, praemi-*

Digitized by Google

τῆς δυνάμεως, ἵνα προκαταλάβηται τῆς ὀρεινῆς τοὺς A.V.553. De pugna ad Panium, A.V.556.
ὑπερκειμένους τῶν πολεμίων τόπους· τὴν δὲ λοιπὴν
δύναμιν ἅμα τῷ φωτὶ διαβιβάσαντα τὸν ποταμὸν,
μεταξὺ τῶν στρατοπέδων ἐν τοῖς ἐπιπέδοις ἐκτάτ-
τειν, τιθέντα τοὺς μὲν φαλαγγίτας ἐπὶ μίαν εὐ-
θεῖαν κατὰ μέσην τὴν τῶν πολεμίων τάξιν, τῶν δ'
ἱππέων τοὺς μὲν ἐπὶ τὸ λαιὸν κέρας τῆς φάλαγγος,
τοὺς δ' ἐπὶ τὸ δεξιὸν, ἐν οἷς εἶναι καὶ τὴν κατάφρα-
κτον ἵππον, ἧς ἡγεῖτο πάσης ὁ νεώτερος Ἀντίοχος
τῶν υἱῶν. μετὰ δὲ ταῦτα, φησὶ, τὰ θηρία προτά-
ξαι τῆς φάλαγγος ἐν διαστήματι, καὶ τοὺς μετ' Ἀν-
τιπάτρου Ταραντίνους, τὰ δὲ μεταξὺ τῶν θηρίων
πληρῶσαι τοῖς τοξόταις καὶ σφενδονήταις, αὐτὸν δὲ
μετὰ τῆς ἑταιρικῆς ἵππου καὶ τῶν ὑπασπιστῶν κα-
τόπιν ἐπιστῆναι τοῖς θηρίοις. Ταῦτα δὲ ὑποθέμε-
νος, τὸν μὲν νεώτερον Ἀντίοχον, φησὶν, ἐν ἐν τοῖς
ἐπιπέδοις ἔθηκε κατὰ τὸ λαιὸν τῶν πολεμίων, ἔχον-
τα τὴν κατάφρακτον ἵππον, τοῦτον ἐκ τῆς ὀρεινῆς
ἀπενε-

præmisisse, ut editiora montium loca, quæ hostibus imminebant, occuparet: dein sole illucescente, trajecto cum reliquis copiis fluvio, inter utraque castra in planitie aciem instruxisse; ac phalangem quidem uno ordine mediæ hostium aciei opposuisse; equitatus vero partem ad sinistrum phalangis cornu constituisse, partem ad dextrum, in quo & cataphracti erant equites, quibus Antiochus, filiorum junior, erat præfectus. Deinde subdit, *elephantos ante ipsam phalangem in prima acie certis intervallis ordinatos fuisse cum equitibus Tarentinis, quibus præerat Antipater; intervalla autem belluarum sagittariis ac funditoribus Antiochum complevisse; ipsum, cum Amicorum ala & corporis custodibus, post belluas stetisse.* Atque his ita præmissis, mox *juniorem Antiochum*, quem *in planitie e regione sinistri hostium cornu cataphractis equitibus præfectum* posuerat, *eumdem*, ait, *subito*

Ol.144.3. Depugna ad Panium, Ol.145.2.

ἐπενεχθέντα τρέψασθαι τοὺς ἱππέας τοὺς περὶ τὸν Πτολεμαῖον τὸν Ἀερόπου, καὶ καταδιώκειν, ὃς ἐτύγχανε τοῖς Αἰτωλοῖς ἐπιτεταγμένος ἐν τοῖς ἐπιπέδοις ἐπὶ τῶν εὐωνύμων. τὰς δὲ φάλαγγας, ἐπεὶ συνέβαλον ἀλλήλαις, μάχην ποιεῖν ἰσχυράν. ὅτι δὲ συμβαλεῖν ἀδύνατον ἦν, τῶν θηρίων καὶ τῶν ἱππέων καὶ τῶν εὐζώνων προτεταγμένων, τοῦτο οὐκέτι συνορᾷ.

XIX. Μετὰ δὲ ταῦτα, φησὶ, καταπροτερουμένην τὴν φάλαγγα ταῖς εὐχερείαις καὶ πιεζομένην ὑπὸ τῶν Αἰτωλῶν, ἀναχωρεῖν ἐπὶ πόδας· τὰ δὲ θηρία, τοὺς ἐγκλίνοντας ἐκδεχόμενα, καὶ συμπίπτοντα τοῖς πολεμίοις, μεγάλην παρέχεσθαι χρείαν. Πῶς δὲ ταῦτα γέγονεν ὀπίσω τῆς φάλαγγος, οὐ ῥᾴδιον καταμαθεῖν, ἢ πῶς, γενόμενα, παρείχετο χρείαν μεγάλην. ὅτε γὰρ ἅπαξ αἱ φάλαγγες συνέπεσον ἀλλήλαις, οὐκέτι δυνατὸν ἦν, κρῖναι τὰ θηρία, τίς τῶν

XIX. 1. εὐχερείαις. *Forsan* εὐχερίαις. Ibid. τὰ δὲ θηρία. *Adjecit* δὲ, *quod abeſt vulgo.*

ſubito ex collibus coortum, equites, quibus Ptolemæus Alëropi filius præerat, in fugam vertiſſe, ac diu perſecutum eſſe; qui quidem Ptolemæus Aetolos in planitie ad lævam poſitos ducebat: ipſas autem phalanges, poſtquam congreſſæ invicem ſunt, acre prælium feciſſe. Atqui non animadverrit, prorſus fieri non potuiſſe, ut, in prima acie conſiſtentibus elephantis & equitibus levique armatura, phalanges inter ſe congrederentur.

19. Poſtea ſubjicit, *Macedonum phalangem, agilitati cedentem incumbentium Aetolorum, pede preſſo ſe recepiſſe; elephantos vero, cum cedentes reciperent, atque in hoſtem ferrentur, magno adjumento fuiſſe.* Qua ratione autem elephanti a tergo phalangis fuerint, aut, ſi ibi fuerunt, quo pacto magnum adtulerint commodum, intelligere difficile eſt. Simul enim ac phalanges inter ſe concurrerunt, diſcernere belluæ amplius non potue-

Digitized by Google

4 τῶν ὑποπιπτόντων φίλιος ἢ πολέμιός ἐστι. Πρὸς δὲ τούτοις φησὶ, τοὺς Αἰτωλῶν ἱππέας δυσχρηστεῖσθαι κατὰ τὸν κίνδυνον διὰ τὴν ἀσυνήθειαν τῆς τῶν 5 θηρίων φαντασίας. Ἀλλ' οἱ μὲν ἐπὶ τοῦ δεξιοῦ ταχθέντες ἐξαρχῆς ἀκέραιοι διέμενον, ὡς αὐτός φησι· τὸ δὲ λοιπὸν πλῆθος τῶν ἱππέων, τὸ μεριωθὲν ἐπὶ τὸ λαιὸν, ὑποφεύγει πᾶν ὑπὸ τῶν περὶ τὸν Ἀν- 6 τίοχον ἡττημένον. ποῖον οὖν μέρος τῶν ἱππέων ἦν κατὰ μέσην τὴν φάλαγγα τὸ τοὺς ἐλέφαντας ἐκπλητ- 7 τόμενον; Ποῦ δὲ ὁ βασιλεὺς γέγονε; καὶ τίνα παρέσχηται χρείαν ἐν τῇ μάχῃ, τὸ κάλλιστον σύστημα περὶ αὐτὸν ἐσχηκὼς καὶ τῶν πεζῶν καὶ τῶν ἱππέων; 8 Ἁπλῶς γὰρ οὐδὲν εἴρηται περὶ τούτων. Ποῦ δὲ ὁ πρεσβύτερος τῶν υἱῶν Ἀντίοχος, ὁ μετὰ μέρους τινὸς τῆς δυνάμεως προκαταλαβόμενος τοὺς ὑπερδε- 9 ξίους τόπους; Οὗτος μὲν γὰρ οὐδὲ εἰς τὴν στρατοπεδείαν ἀνακεχώρηκεν αὐτῷ μετὰ τὴν μάχην. εἰκότως·

A.V.553. De pugna ad Panium, A.V.556.

3. *τῶν ὑποπιπτόντων. Articulum adjeci cum Reiskio.*

potuerunt, uter cedentium amicus, uter hostis esset. Praeterea, *equitatum*, ait, *Aetolorum inusitata belluarum specie inter pugnandum territum esse.* Atqui *in dextro locati cornu equites, incolumes atque integri perstitere*, ut idem refert: *ceteri vero, in sinistro cornu distributi, ab juniore Antiocho superati, terga verterunt.* Quinam igitur sunt equites illi, in media phalange positi, qui belluarum adspectu cohorruerunt? Vbinam vero rex ipse adfuit? & quem sui usum in pugna praebuit, cum lectissimum & peditum & equitum agmen circa se haberet? Neque enim de his quidquam omnino dicit. Vbinam vero gentium est major Antiochus, filius, qui cum parte exercitus praemissus superiora loca occupaverat? Hic enim ne confecto quidem praelio in castra reversus ab illo memoratur. Atque id merito:

duos

Ol. 144. 3. De pugna ad Panium.

των· δύω γὰρ Ἀντιόχους ὑπέθετο, τοῦ βασιλέως υἱοὺς ὄντας, ἑνὸς τοῦ τότε συνεστρατευμένου. Πῶς δὲ ὁ Σκόπας ἅμα μὲν αὐτῷ πρῶτος, ἅμα δ' ἔσχατος ἀναλέλυκεν ἐκ τοῦ κινδύνου; Φησὶ γὰρ, αὐτὸν ἰδόντα τοὺς περὶ τὸν νεώτερον Ἀντίοχον ἐκ τοῦ διώγματος ἐπιφαινομένους κατὰ νώτου τοῖς Φαλαγγίταις, καὶ διὰ τοῦτο τὰς τοῦ νικᾶν ἐλπίδας ἀπογνόντα, ποιεῖσθαι τὴν ἀποχώρησιν· μετὰ δὲ ταῦτα συστῆναι τὸν μέγιστον κίνδυνον, κυκλωθείσης τῆς Φάλαγγος ὑπό τε τῶν θηρίων καὶ τῶν ἱππέων, καὶ τελευταῖον ἀποχωρῆσαι τὸν Σκόπαν ἀπὸ τοῦ κινδύνου.

duos enim Antiochi filios posuit, cum non nisi unus tunc ad bellum cum patre esset profectus. Denique quonam pacto *Scopas*, apud hunc Scriptorem, primus simul ac postremus ex pugna discessit? Etenim, *Scopam*, scribit, *cum juniorem Antiochum, a persequendo reversum, a tergo phalangitis instare cerneret, tum penitus de victoria desperantem se recepisse: postea vero, maximum in discrimen adductam rem esse, inclusa hinc ab elephantis, inde ab equitibus phalange; Scopamque postremam cessisse ex discrimine.*

XX. Stylum colens Zeno, neglexit res.

Ταῦτα δέ μοι δοκεῖ, καὶ καθόλου τὰ τοιαῦτα τῶν ἁλισγημάτων, πολλὴν ἐπιφέρειν αἰσχύνην τοῖς συγγραφεῦσι. Διὸ δεῖ μάλιστα μὲν πειρᾶσθαι πάντων κρατεῖν τῶν τῆς ἱστορίας μερῶν· καλὸν γάρ· εἰ δὲ μὴ τοῦτο δυνατὸν, τῶν ἀναγκαιοτάτων καὶ τῶν μεγίστων ἐν αὐτῇ πλείστην ποιεῖσθαι πρόνοιαν.

20. Hæc vero atque omnino hujusmodi errata magno pudori Scriptoribus esse existimo. Proinde maxime quidem enitendum est, ut omnes Historiæ partes ac numeros expleamus; id enim imprimis laudabile est: sin vero illud consequi non possumus, maxime in præcipuis ac summe necessariis ejus partibus est elaborandum.

Ταῦτα

Atque,

Digitized by Google

3 Ταῦτα μὲν οὖν προήχθην εἰπεῖν, θεωρῶν, νῦν, καὶ- A.V.553.
Θάπερ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν καὶ ἐπιτηδευμάτων, τὸ μὲν ἀληθινὸν καὶ πρὸς τὴν χρείαν ἀνῆκον
4 ἐν ἑκάστοις, ἐπισεσυρμένον· τὸ δὲ πρὸς ἀλαζονείαν καὶ φαντασίαν, ἐπαινούμενον καὶ ζηλούμενον, ὡς μέγα τι καὶ θαυμάσιον, ὃ καὶ τὴν κατασκευὴν ἔχει ῥᾳδιεστέραν, καὶ τὴν εὐδόκησιν ὀλιγοδεεστέραν, καὶ-
5 Θάπερ αἱ λοιπαὶ τῶν γραφῶν. Περὶ δὲ τῆς τῶν τόπων ἀγνοίας τῶν κατὰ τὴν Λακωνικὴν, διὰ τὸ μεγάλην εἶναι τὴν παράπτωσιν, οὐκ ὤκνησα γρά- Ad Zenonem scripsit Polybius.
6 ψαι καὶ πρὸς αὐτὸν Ζήνωνα· κρίνων, καλὸν εἶναι τὸ μὴ τὰς τῶν πέλας ἁμαρτίας ἴδια πρωτερήματα νομίζειν, καθάπερ ἔνιοι ποιεῖν εἰώθασιν· ἀλλὰ μὴ μόνον τῶν ἰδίων ὑπομνημάτων, ἀλλὰ καὶ τῶν ἀλλοτρίων, καθόσον οἷοί τε ἐσμὲν, ποιεῖσθαι πρόνοιαν καὶ διόρ-
7 θωσιν χάριν τῆς κοινῆς ὠφελείας. Ὁ δὲ, λαβὼν τὴν ἐπιστολὴν, καὶ γνοὺς ἀδύνατον οὖσαν τὴν μετάθεσιν,

Atque, hæc ut dicerem, eo ſum adductus, quod, perinde ut in ceteris quibusque artibus ac ſtudiis, ſic etiam in Hiſtoria, veram rationem, atque id quod ad uſum pertinet, plerumque negligi videam; quod vero *ad oſtentationem & ad pompam compoſitum* eſt, laudari ac probari tamquam magnum aliquid atque mirabile; cum tamen id ipſum in *Hiſtoria* perinde ac in reliquis ſcribendi generibus, & elaboratu facilius ſit, & ad placendum multo minoribus indigeat adjumentis. Ceterum de illa locorum agri Laconici ignoratione, eo quod gravis eſſe is error videretur, ad ipſum *Zenonem* literas ſcribere non dubitavi; hominis ingenui eſſe arbitratus, non ex alienis erratis gloriam captare, quod nonnulli ſolent, ſed cum noſtris, tum etiam alienis commentariis, utilitatis publicæ gratia, quantum in nobis eſt, curam atque emendationem adhibere. Ille autem, accepta epiſtola, cum exemplaria emendari non poſſe cerneret,

Digitized by Google

Ol.144.3. θεσιν, διὰ τὸ προεκδεδωκέναι τὰς συντάξεις, ἐλυπήθη μὲν, ὡς ἔνι μάλιστα, ποιεῖν δ' οὐδὲν εἶχε· τήν γε μὴν ἡμετέραν αἵρεσιν ἀπεδέξατο Φιλοφρόνως. Ὃ δὴ καὶ ἐγὼ παρακελεύσαιμι περὶ αὐτοῦ τοὺς καθ' ἡμᾶς καὶ τοὺς ἐπιγιγνομένους· ἐὰν μὲν κατὰ πρόθεσιν εὑρισκώμεθά που κατὰ πραγματείαν διαψευδόμενοι, καὶ παροροῦντες τὴν ἀλήθειαν, ἀπαραιτήτως ἐπιτιμᾶν· ἐὰν δὲ κατ' ἄγνοιαν, συγγνώμην ἔχειν, καὶ μάλιστα πάντων ἡμῖν, διὰ τὸ μέγεθος τῆς συντάξεως, καὶ διὰ τὴν καθόλου περιβολὴν τῶν πραγμάτων.

VI. *Res Aegypti.*

XXI. Tlepolemus administrator Aegypti.

Τληπόλεμος, ὁ τὰ τῆς βασιλείας τῶν Αἰγυπτίων πράγματα μεταχειριζόμενος, ἦν μὲν κατὰ τὴν ἡλικίαν

XX. 7. *Vulgo ex usto editum erat* ὡς ἔνι μάλιστα φαίνεται. *Delevi postremum verbum: quod si tenendum est, fuerit* λυπηθῆναι *reponendum pro* ἐλυπήθη. 8. περὶ αὐτοῦ τοὺς καθ' ἡμᾶς. *Articulum* τοὺς, *qui abest vulgo, ex conj. adjeci; ac malim* καὶ τοὺς καθ' ἡμᾶς. *Pro* περὶ αὐτοῦ καθ' ἡμᾶς *Valesius* περὶτων καθ' ἡμᾶς *suspicatus est reponendum. Reiskius* περὶ αὐτοὺς ἡμᾶς καὶ αὐτῷ καὶ τοῖς ἐπιγενομένοις.

neret, quia jam in vulgus edita essent, doluit quidem quam maxime; sed facere nihil potuit: ceterum consilium nostrum benevole probavit. Atque id ipsum quoque & ab æqualibus meis, & ab eis qui posthac victuri sunt, ipsemet postulo, sicubi forte in hoc opere de industria mentitus, aut veritatem sciens dissimulasse compertus fuero, ut acerbe citra veniæ spem increpare ne dubitent: sin vero ignoratione lapsus, ut veniam indulgeant, ac maxime omnium nobis, propter operis magnitudinem rerumque copiam, quas hic complexi sumus.

VI. *Excerptum Valesianum.*

21. *Tlepolemus*, qui Aegyptiaci regni negotia administrabat, ætate quidem juvenis erat, atque in militari vita

κίαν νέος, καὶ κατὰ τὸ συνεχὲς ἐν στρατιωτικῷ βίῳ A.V.553.
2διεγεγόνει μετὰ φαντασίας· ἦν δὲ καὶ τῇ φύσει με-
τέωρος καὶ φιλόδοξος, καὶ καθόλου πολλὰ μὲν εἰς
πραγμάτων λόγον ἀγαθὰ προσεφέρετο, πολλὰ δὲ
3καὶ κακά. Στρατηγεῖν μὲν γὰρ ἐν τοῖς ὑπαίθροις
καὶ χειρίζειν πολεμικὰς πράξεις δυνατὸς ἦν, καὶ
ἀνδρώδης ὑπῆρχε τῇ φύσει, καὶ πρὸς τὰς στρατιω-
4τικὰς ὁμιλίας εὐφυῶς διέκειτο· πρὸς δὲ ποικίλων
πραγμάτων χειρισμὸν, δέομενον ἐπιστάσεως καὶ νή-
ψεως, καὶ πρὸς φυλακὴν χρημάτων, καὶ καθόλου Pecuniæ regiæ prodigus.
τὴν περὶ τὸ λυσιτελὲς οἰκονομίαν, ἀφυέστατος ὑπῆ-
5χε πάντων. ἣ καὶ ταχέως οὐ μόνον ἔσφηλεν, ἀλλὰ
6καὶ τὴν βασιλείαν ἠλάττωσε. Παραλαβὼν γὰρ τὴν
τῶν χρημάτων ἐξουσίαν, τὸ μὲν πλεῖστον μέρος τῆς
ἡμέρας κατέτριβε σφαιρομαχῶν, καὶ πρὸς τὰ μει-
7ράκια διαμιλλώμενος ἐν τοῖς ὅπλοις· ἀπὸ δὲ τούτων
γιγνό-

XXI. 2. προσεφέρετο correxi. Vulgo προεφέρετο. 4. ποικίλων. πολιτικῶν exp. essit Valesius in lat. verf. civilium rerum. ποικίλον πραγμάτων χειρισμὸν δεομένων volvit Reisk. Ibid. περὶ τὸ λυσιτ. πρὸς τὸ malvit Reisk. 5. ἔσφηλεν. Aut ἐσφάλη putem legendum, aut cum Reiskio οὐ μόνον ἑαυτὸν ἔσφηλεν.

vita adſidue cum ſplendore verſatus; ingenio autem tumido, gloriæque avido, denique ad rerum adminiſtrationem & multas virtutes, & multa vitia attulerat. Namque exercitum ducere, resque bellicas tractare idoneus erat imprimis, natura quoque robuſtus, & ad militares congreſſus ac ſermones aptiſſimus. Ad variarum autem rerum tractationem, quæ attentionem ac vigilantiam animi deſiderant, & ad pecuniæ cuſtodiam, atque in univerſum ad utilitatis rationem ineundam ineptiſſimus erat omnium mortalium. Itaque brevi non ſolum ipſe concidit, ſed regnum etiam labefactavit. Pecuniæ enim regiæ adminiſtrationem nactus, maximam diei partem pilæ luſu, & armorum exercitatione cum adoleſcentibus conterebat. Ab his deinde ad convi-

Digitized by Google

Ol.144.3. γιγνόμενος, εὐθέως πότους συνῆγε, καὶ τὸ πλεῖον μέρος τοῦ βίου περὶ ταῦτα καὶ σὺν τούτοις εἶχε τὴν διατριβήν. ὃν δέ ποτε χρόνον τῆς ἡμέρας ἀπεμέριζε πρὸς ἐντεύξεις, ἐν τούτῳ διεδίδου, μᾶλλον δὲ, εἰ δεῖ τὸ φαινόμενον εἰπεῖν, διεῤῥίπτει τὰ βασιλικὰ χρήματα τοῖς ἀπὸ τῆς Ἑλλάδος παραγεγονόσι πρεσβευταῖς, καὶ τοῖς περὶ τὸν Διόνυσον τεχνίταις, μάλιστα δὲ τοῖς περὶ τὴν αὐλὴν ἡγεμόσι καὶ στρατιώταις. Καθόλου γὰρ ἀνανεύειν οὐκ ἤδει· τῷ δὲ πρὸς χάριν ὁμιλήσαντι πᾶν ἐξ ἑτοίμου τὸ φανὲν ἐδίδου. Τὸ λοιπὸν, ηὔξανε τὸ κακὸν, ἐξ αὐτοῦ λαμβάνον τὴν ἐπίδοσιν. πᾶς γὰρ ὁ παθὼν εὖ πρὸς τὴν προσδοκίαν, καὶ τοῦ γεγονότος χάριν καὶ τοῦ μέλλοντος ὑπερεβάλλετο ταῖς τῶν λόγων εὐχαριστίαις. ὁ δὲ, πυνθανόμενος τὸν γιγνόμενον ἐκ πάντων ἔπαινον ὑπὲρ αὐτοῦ, καὶ τὰς ἐν τοῖς πότοις ἐπιχύσεις, ἔτι δὲ

Superbia tumens.

10. ηὔξανε τὸ κακὸν. Forsan ηὐξάνετο τὸ κακὸν. 12. ἐπιχύσεις adfictivi ex Valesii conjectura. ἐπιλύσεις ex codice editum erat. ἐπιπλύσεις etiam cogitaverat idem Vales.

convivia & compotationes transibat, ac maximam vitæ partem his in rebus atque in hujusmodi contubernio exigebat. Quod si interdum aliquod diei tempus audiendis negotiis vacabat, tum vero distribuebat, aut ut verius dicam, dissipabat regiam pecuniam, eamque legatis e Græcia advectis, & scenicis artificibus, ac maxime degentibus in aula ducibus ac militibus erogabat. Prorsus enim recusare & abnuere non poterat; sed unicuique, qui ad ejus gratiam aliquid dixisset, quidquid ad manum erat, temere donabat. Quod malum, ipsomet fovente atque augente, in pejus semper abiit. Quicunque enim præter spem beneficium ab eo acceperant, cum ob præteritum, tum futuri spe, in agenda gratia omnibus eum laudibus cumulabant. Cumque ipse laudes suas ab omnibus prædicari acciperet, & in conviviis *Tlepolemum* ad singula pocula adpellari, tum & in-

δὲ τὰς ἐπιγραφὰς, καὶ τὰ διὰ τῶν ἀκροαμάτων εἰς A.V.553.
αὐτὸν ᾀδόμενα παίγνια κατὰ τὴν πόλιν, εἰς τέλος
ἐχαυνοῦτο, καὶ μᾶλλον ἀεὶ καὶ μᾶλλον ἐξετυφοῦτο,
καὶ προχειρότερος ἐγίγνετο πρὸς τὰς ξενικὰς καὶ
στρατιωτικὰς χάριτας.

XXII. Sosibius, Sosibii fil. sigilli regii custos.

Ἐφ' οἷς οἱ περὶ τὴν αὐλὴν ἀσχάλλοντες, πάντα
παρεσημαίνοντο, καὶ βαρέως αὐτοῦ τὴν αὐθάδειαν
ὑπέφερον, τὸν δὲ Σωσίβιον ἐκ παραθέσεως ἐθαύμα-
2ζον. Ἐδόκει γὰρ οὗτος τοῦ τε βασιλέως προεστά-
ναι φρονιμώτερον ἢ κατὰ τὴν ἡλικίαν, τήν τε πρὸς
τοὺς ἐκτὸς ἀπάντησιν ἀξίαν ποιεῖσθαι τῆς ἐγκεχει-
ρισμένης αὐτῷ πίστεως· αὕτη δ' ἦν ἡ σφραγὶς, καὶ
3τὸ τοῦ βασιλέως σῶμα. Κατὰ δὲ τὸν καιρὸν τοῦ- Ptolemæus, ejus frater.
τον ἀνακομιζόμενος ἥκει παρὰ τοῦ Φιλίππου Ητο-
4λεμαῖος ὁ Σωσιβίου. καὶ πρὶν μὲν οὖν ἐκ τῆς Ἀλε-
ξανδρείας ἐκπλεῦσαι, πλήρης ἦν τύφου, διά τε τὴν
ἰδίαν φύσιν, καὶ διὰ τὴν προσγεγενημένην ἐκ τοῦ

Qq 2 πα-

XXII. 1. *βαρέως ex noſtra conject. Vulgo βραχέως.* 4. *προσγεγενημένην cum Reiskio correxi. Vulgo προγεγενημ.*

& inſcriptiones & ludicra carmina per urbem ab acroamatis de ipſo cani ſolita audiret, prorſus efferri cœpit, magisque ac magis in dies intumeſcere, atque ad peregrinas ac militares largitiones eo facilius ferri.

22. Quamobrem indignati aulici, omnia ejus facta dictaque obſervabant, atque ejus inſolentiam ægre ferebant: contra vero *Sofibium* comparantes admirabantur. Namque hic regis curam majori prudentia gerere videbatur, quam ejus ætas ferret, atque in congreſſibus cum extraneis eam ſpeciem atque auctoritatem ſervare, quam locus ejus ac dignitas poſtulabat. Regii enim ſigilli & corporis cuſtodia ipſi mandata erat. Circa hæc tempora *Ptolemæus*, *Sofibii filius*, a Philippo ex Macedonia eſt reverſus: qui quidem priusquam Alexandria ſoluiſſet, cum ſuopte ingenio, tum ob paternas opes faſtu turgebat.

Digitized by Google

Ol.144.3. πατρὸς εὐκαιρίαν. ὡς δὲ καταπλεύσας εἰς τὴν Μακεδονίαν συνέμιξε τοῖς περὶ τὴν αὐλὴν νεανίσκοις, ὑπολαβὼν, εἶναι τὴν Μακεδόνων ἀνδρείαν ἐν τῇ τῆς ὑποδέσεως καὶ τῇ τῆς ἐσθῆτος διαφορᾷ, παρὴν ταῦτα πάντα ἐζηλωκὼς, καὶ πεπιστευμένος, αὐτὸν μὲν ἄνδρα γεγονέναι διὰ τὴν ἐκδημίαν, καὶ διὰ τὸ Μακεδόσιν ὡμιληκέναι, τοὺς δὲ κατὰ τὴν Ἀλεξάνδρειαν ἀνδραπόδια καὶ βλάκας διαμένειν. διόπερ εὐθέως ἐζηλοτύπει καὶ παρετρίβετο πρὸς τὸν Τληπόλεμον. Πάντων δ' αὐτῷ συγκατατιθεμένων τῶν περὶ τὴν αὐλὴν, διὰ τὸ τὸν Τληπόλεμον καὶ τὰ πράγματα καὶ τὰ χρήματα μὴ ὡς ἐπίτροπον, ἀλλ' ὡς κληρονόμον χειρίζειν, ταχέως ηὐξήθη τὰ τῆς διαφορᾶς. Καθ' ὃν καιρὸν ὁ Τληπόλεμος, προσπιπτόντων αὐτῷ λόγων δυσμενικῶν ἐκ τῆς τῶν αὐλικῶν παρατηρήσεως καὶ κακοπραγμοσύνης, τὰς μὲν ἀρχὰς παρήκουε καὶ κατεφρόνει τῶν λεγομένων. ὡς δὲ ποτε καὶ

7. διὰ τὸ. Et hoc corrigendum Reiskius monuit. Vulgo διά τε.

gebat. Poſtquam vero in Macedoniam adpulſus cum illius aulæ juventute familiariter verſatus eſt, Macedonum virtutem in ipſa calceamenti ac veſtis proprietate poſitam eſſe ratus, cuncta hujusmodi ſtudioſe æmulatus tum aderat; atque ex hac ſua profectione, quod cum Macedonibus congreſſus fuiſſet, ſe quidem virum eſſe ſibi perſuaſerat, ceteros vero Alexandrinos mancipia ac fatuos eſſe. Quamobrem ſtatim *Tlepolemo* obtrectare eique infenſum ſe gerere cœpit. Univerſis autem aulicis ei faventibus, eo quod Tlepolemus negotia ac pecuniam regiam, non ut curator, ſed quaſi hæres adminiſtrabat, brevi in majus aucta eſt diſſenſio. Quo tempore *Tlepolemus*, cum infenſi de ipſo ſermones, ab aulicorum obſervatione ac malitia profecti, ad eum deferrentur, initio quidem hæc ſpernebat: ſed

Digitized by Google

καὶ κοινῇ συνεδρεύσαντες ἐτόλμησαν ἐν τῷ μέσῳ κα- A.V.553.
ταμέμφεσθαι τὸν Τληπόλεμον, ὡς κακῶς χειρίζοντα
10 τὰ κατὰ τὴν βασιλείαν, οὐ παρόντος αὐτοῦ· τότε
δὴ παροξυνθεὶς σύνηγε τὸ συνέδριον, καὶ παρελθὼν,
ἐκείνους μὲν, ἔφη, λάθρα καὶ κατ' ἰδίαν ποιεῖσθαι
κατ' αὐτοῦ τὰς διαβολὰς, αὐτὸς δ' ἔκρινα κοινῇ καὶ
κατὰ πρόσωπον αὐτῶν ποιήσασθαι τὴν κατηγορίαν.

* * *

11 Μετὰ τὴν δημηγορίαν ἔλαβε καὶ τὴν σφραγῖδα παρὰ Σωσιβίου· καὶ ταύτην παρειληφὼς ὁ Τληπόλεμος, λοιπὸν ἤδη πάντα τὰ πράγματα κατὰ τὴν αὐτοῦ προαίρεσιν ἔπραττεν.

VII. *Scipio triumphat de Pœnis.*

* * *

Πόπλιος δὲ Σκιπίων ἦκεν ἐκ Λιβύης οὐ πολὺ κατό- XXIII.
πιν τῶν προειρημένων καιρῶν. Οὔσης δὲ τῆς προσ-

10 seq. *Vbi defectus notam posui, ibi Epitomator scripsit* Ζήτει ἐν τῷ περὶ Δημηγοριῶν. Reliqua petenda sunt ex Excerptis de Concionibus.

XXIII. 1. Σκιπίων. *Vulgo h. l. omnes* Σκηπίων.

fed posteaquam, communi consilio inter se habito, cum Tlepolemus abesset, de prava ejus administratione palam conqueri sunt ausi; tum vero commotus consilium coëgit, atque in medium progressus, *ipsos quidem clam & se absente calumniari sese*, dixit; *sibi vero in animo esse, adversus ipsos simul omnes coram accusationem instituere.*

* * *

Postquam *Tlepolemus* dicendi finem fecisset, annulum quoque a *Sosibio* accepit: quo accepto, cuncta jam deinceps arbitratu suo administravit.

VII. *Excerpt. Antiq. ex Lib.* XVI. *Cap.* 12.

* * *

23. Non multo post illa, de quibus modo egimus, tempora *Publius Scipio* ex Africa Romam est reversus. Cujus viri quum ea esset exspectatio,

Digitized by Google

Ol. 144. 3. Læta Roma finito bello Pun.

δοκίας τῶν πολλῶν ἀκολούθου τῷ μεγέθει τῶν πρά-
ξεων, μεγάλην εἶναι συνέβαινε καὶ τὴν φαντασίαν
περὶ τὸν ἄνδρα, καὶ τὴν τοῦ πλήθους εὔνοιαν πρὸς
αὐτόν. καὶ τοῦτο εἰκότως ἐκ τῶν κατὰ λόγον ἐγίγνε-
το καὶ καθηκόντος. Οὐδέποτε γὰρ ἂν ἐλπίσαντες
Ἀννίβαν ἐκβαλεῖν ἐξ Ἰταλίας, οὐδ' ἀποτρίψασθαι
τὸν ὑπὲρ αὐτῶν καὶ τῶν ἀναγκαίων κίνδυνον· τότε
δοκοῦντες ἤδη βεβαίως οὐ μόνον ἐκτὸς γεγονέναι παν-
τὸς φόβου καὶ πάσης περιστάσεως, ἀλλὰ καὶ κρα-
τεῖν τῶν ἐχθρῶν, ὑπερβολὴν οὐ κατέλιπον χαρᾶς.
Ὡς δὲ καὶ τὸν θριαμβὸν εἰσῆγε, τότε καὶ μᾶλλον
ἔτι διὰ τῆς τῶν εἰσαγομένων ἐναργείας μιμησκόμε-
νοι τῶν προγεγονότων κινδύνων, ἐκπαθεῖς ἐγίγνοντο
κατά τε τὴν πρὸς θεοὺς εὐχαριστίαν, καὶ κατὰ τὴν
πρὸς τὸν αἴτιον τῆς τηλικαύτης μεταβολῆς εὔνοιαν.
Καὶ γὰρ ὁ Σύφαξ, ὁ τῶν Μασαισυλίων βασιλεὺς,
ἦλθε

5. ἐναργείας *Casaub. ex conject. edidit.* ἐνεργείας *Herveag. consentientibus libris.*

ctatio, quanta par erat tantis rebus geſtis; & ſummam ſpeciem ejus pompa habùit, & multitudo ingentem ei benevolentiam demonſtravit. Neque hæc temere eveniebant, ſed juſtis de cauſſis atque merito. Nam qui numquam ſperare erant auſi, Hannibalem ex Italia ſe ejecturos, neque amolituros a ſuis cervicibus atque ſuorum neceſſariorum imminens periculum; quum eo tempore non ſolum omni plane jam liberatos metu ſeſe viderent, & adverſis ſuis defunctos, ſed etiam hoſtes a ſe devictos; ad ſummum gaudium nihil eis reliquum erat. Vbi vero urbem *triumphans* eſt invectus; tum ſane multo etiam magis per intuitum eorum, quæ traducebantur, in memoriam ſuperiorum malorum redeuntes, ad gratias diis agendas, & ad benevolentiam præſtandam auctori tantæ mutationis converſi, vix præ adfectu apud ſe erant. Tunc enim *Syphax* quoque, Maſæſyliorum rex,

Digitized by Google

ἦχθη τότε διὰ τῆς πόλεως ἐν τῷ θριάμβῳ μετὰ τῶν αἰχμαλώτων· ὃς καὶ μετά τινα χρόνον ἐν τῇ φυλακῇ τὸν βίον μετήλλαξε. Τούτων δὲ συντελεσθέντων, οἱ μὲν ἐν τῇ Ῥώμῃ κατὰ τὸ συνεχὲς ἐπὶ πολλὰς ἡμέρας ἀγῶνας ἦγον καὶ πανηγύρεις ἐπιφανῶς, χορηγὸν ἔχοντες εἰς ταῦτα τὴν Σκιπίωνος μεγαλοψυχίαν. A.V.553. Syphax in triumpho ductus.

VIII. *Philippus hiemat in Caria.*

Φίλιππος ὁ βασιλεὺς, τοῦ χειμῶνος ἤδη καταρχομένου, καθ' ὃν Πόπλιος Σολπίκιος ὕπατος κατεστάθη ἐν Ῥώμῃ, παιούμενος τὴν διατριβὴν ἐν τοῖς Βαργυλίοις, θεωρῶν καὶ τοὺς Ῥοδίους καὶ τὸν Ἄτταλον οὐχ οἷον διαλύοντας τὸ ναυτικὸν, ἀλλὰ καὶ προσπληροῦντας ναῦς, καὶ φιλοτιμώτερον προσκειμένους ταῖς φυλακαῖς, δυσχρήστως διέκειτο, καὶ πολλὰς καὶ ποικίλας εἶχε περὶ τοῦ μέλλοντος ἐπινοίας. ἅμα μὲν XXIV. P. Sulpicius Cos. Philippus Bargyliis.

rex, cum reliquis captivis per urbem in triumpho ductus est; qui non ita multo post in carcere diem obiit supremum. Quibus rebus peractis, Romani per continuos aliquot dies ludos & spectacula insigni cum apparatu celebrarunt; *Scipiones* in eam rem, qua fuit magnificentia, sumtus suppeditante.

VIII. *Excerptum Valesianum.*

24. *Philippus* rex, ineunte jam hieme, qua *P. Sulpicius Galba* Romæ *consul* creatus est, *Bargyliis* moratus, cum *Attalum & Rhodios* intelligeret non modo copias navales non dimittere, sed remige etiam ac militibus naves instruere, majorique studio vigiliis ac custodiæ oræ maritimæ incumbere; ipse maxima in difficultate versabatur, multaque ac varia consilia animo agitabat. Simul

Ol. 144. 3. μὲν γὰρ ἠγωνίαε τὸν ἐκ τῶν Βαργυλίων ἔκπλουν, καὶ προεωρᾶτο τὸν κατὰ θάλατταν κίνδυνον· ἅμα δὲ τοῖς κατὰ τὴν Μακεδονίαν πράγμασι διαπιστῶν, οὐδαμῶς ἐβούλετο παραχειμάζειν κατὰ τὴν Ἀσίαν· φοβούμενος μὲν οὖν καὶ τοὺς Αἰτωλοὺς καὶ τοὺς Ῥωμαίους, καὶ γὰρ οὐδ' ἠγνόει τὰς ἐξαποστελλομένας κατ' αὐτοῦ πρεσβείας εἰς Ῥώμην, διόπερ πέρας ἔχει τὰ κατὰ τὴν Λιβύην. Ἐξ ὧν ἐδυσχρηστεῖτο μὲν ὑπερβαλλόντως, ἠναγκάζετο δὲ κατὰ τὸ παρὸν ἐπιμένων αὐτοῦ, τὸ δὴ λεγόμενον, λύκου βίον ζῆν. παρ' ὧν μὲν γὰρ ἁρπάζων καὶ κλέπτων, τοὺς δὲ ἀποβιαζόμενος, ἐνίους δὲ παρὰ φύσιν αἰκάλλων διὰ τὸ λιμώττειν αὐτῷ τὸ στράτευμα, ποτὲ μὲν ἐσιτεῖτο κρέα, ποτὲ δὲ σῦκα, ποτὲ δὲ σιτάρια βραχέα παντελῶς· ὧν τινὰ μὲν αὐτῷ Ζεῦξις ἐχορήγει, τὰ δὲ Μυλασεῖς, καὶ Ἀλαβανδεῖς, καὶ Μάγνητες· οὓς, ὁπότε μέν τι δοῖεν, ἔσαινεν, ὅτε δὲ μὴ δοῖεν, ὑλάκτει, καὶ

Hiemat in Caria.

Raptu vivit, luporum ritu.

XXIV. 3. διόπερ πέρας. Forsan διότι πέρας, vel οὐδὲ διότι, ut volvit Reisk. 6. Μυλασεῖς. Μυλασσεῖς b. l. editum erat.

mul enim profectionem e portu Bargyliorum timebat, ac maritimum discrimen prævidebat. Ex alia parte Macedonicis rebus diffidens, prorsus hiemare in Asia nolebat, quippe Aetolos verebatur ac Romanos. Neque enim ignorabat legationes, quæ, utpote *confecto* jam *Punico bello*, Romam undique adversus ipsum mittebantur. Proinde maxima anxietate distractus, cogebatur interim ibidem sedens, *lupino*, ut ajunt, *ritu vivere;* ab his enim per furtum ac latrocinium, ab his vi rapiens, aliis præter ingenium blanditus, eo quod ejus copiæ fame laborabant, modo carnes, modo ficus, interdum frumentum, oppido modicum, vescebatur: quorum partem ei *Zeuxis*, partem Mylasenses & Alabandenses & Magnetes suppeditabant; quibus, cum aliquid offerrent, adulabatur; cum nihil dabant, adlatrabat, & insidias

Digitized by Google

7καὶ ἐπεβούλευεν αὐτοῖς. Τέλος ἐπὶ τὴν Μυλασέων A.V.553.
πόλιν πράξεις συνεστήσατο διὰ Φιλοκλέους, ἐσφά-
8λη δὲ διὰ τὴν ἀλογίαν τῆς ἐπιβολῆς. τὴν δ' Ἀλα-
βανδέων χώραν ὡς πολεμίαν κατέφθειρε, φήσας,
ἀναγκαῖον εἶναι πορίζειν τῷ στρατεύματι τὰ πρὸς
9τὴν τροφήν. * Παρὰ δὲ Μαγνήτων, ἐπεὶ σῖτον οὐκ
ἔσχον, σῦκα ἔλαβε. διὸ καὶ Μυοῦντος κυριεύσας, τοῖς
Μάγνησιν ἐχαρίσατο τὸ χωρίον ἀντὶ τῶν σύκων.

IX. *Attalus & Rhodii concitant Athenienſes ad belli ſocietatem contra Philippum.*

Ol.144.4. A.V.554.

Ὁ τῶν Ἀθηναίων δῆμος ἐξέπεμπε πρεσβευτὰς πρὸς XXV. Attalus invitatur Athenas.
Ἄτταλον τὸν βασιλέα, τοὺς ἅμα μὲν εὐχαριστήσον-
τας ἐπὶ τοῖς γεγονόσι, ἅμα δὲ παρακαλέσοντας αὐ-
τὸν ἐλθεῖν Ἀθήναζε, χάριν τοῦ συνδιαλαβεῖν περὶ
τῶν ἐνεστώτων. Ὁ δὲ βασιλεὺς, μετά τινας ἡμέ-
ρας πυθόμενος καταπεπλευκέναι Ῥωμαίων πρεσβευ-

9. Παρὰ δὲ &c. *Hæc, & quæ ſequuntur, ex Athenæo adjecit Valeſius.*

dias comparabat. Denique *Mylaſenſium* oppido ſtructis opera *Philoclis* inſidiis, ob incepti imprudentiam fruſtratus receſſit; & Alabandenſium agros quaſi hoſtiles vaſtavit, cauſatus alimenta militi ſuo conquirenda eſſe. * A *Magnetibus*, quoniam frumentum non habebant, *ficus* accepit. Itaque, *Myunte* potitus, locum hunc Magnetibus, pro datis ficis, adtribuit.

IX. *Ecloga III. de Legationibus.*

25. Miſſi ſunt a populo *Athenienſi* ad regem *Attalum* legati, partim gratias acturi pro eis quæ ab eo geſta fuerant, partim petituri, ut ad deliberandum in commune de iis, quæ inſtabant, Athenas vellet venire. Rex ubi poſt paucos dies cognoviſſet, *Romanorum legatos in Piræeum*

Digitized by Google

Ol. 144. 4. Eodem veniunt legati Romani, & Attalus.

τὰς εἰς τὸν Πειραιᾶ, καὶ νομίζων ἀναγκαῖον εἶναι τὸ συμμίξαι τούτοις, ἀνήχθη κατὰ σπουδήν. Ὁ δὲ τῶν 3 Ἀθηναίων δῆμος, γνοὺς τὴν παρουσίαν αὐτοῦ, μεγαλομερῶς ἐψηφίσατο περὶ τῆς ἀπαντήσεως, καὶ τῆς ὅλης ἀποδοχῆς τοῦ βασιλέως. Ἄτταλος δὲ, κατα- 4 πλεύσας εἰς τὸν Πειραιᾶ, τὴν μὲν πρώτην ἡμέραν ἐχρημάτισε τοῖς ἐκ τῆς Ῥώμης πρεσβευταῖς· θεωρῶν δ' αὐτοὺς καὶ τῆς προγεγενημένης κοινοπραγίας μνημονεύοντας, καὶ πρὸς τὸν κατὰ τοῦ Φιλίππου πόλεμον ἑτοίμους ὄντας, περιχαρὴς ἦν. Τῇ δὲ ἐπαύ- 5 ριον ἅμα τοῖς Ῥωμαίοις καὶ τοῖς τῶν Ἀθηναίων ἄρχουσιν ἀνέβαινεν εἰς ἄστυ μετὰ μεγάλης προστασίας. οὐ γὰρ μόνον οἱ τὰς ἀρχὰς ἔχοντες, μετὰ τῶν ἱππέων, ἀλλὰ καὶ πάντες οἱ πολῖται μετὰ τέκνων καὶ γυναικῶν ἀπήντων αὐτοῖς. Ὡς δὲ συνέμιξαν, 6 τοιαύτη παρὰ τῶν πολλῶν ἐγένετο κατὰ τὴν ἀπάντησιν φιλανθρωπία πρός τε Ῥωμαίους καὶ ἔτι μᾶλλον

Honores Attalo habiti Athenis.

XXV. 5. *Ἱππέων* mouente Reiskio revocavi ex Vrsini codice. *Ἱερέων* ex eiusdem Vrsini coniect. edidit Casaubonus: sacerdotes.

raeum adpulisse, existimans sibi illis conventis opus esse, celeriter eo est profectus. Populus Athenienſium, cognito ejus adventu, de procedendo obviam regi & tota ratione ejus excipiendi magnifice decernit. *Attalus*, qua primum die navim ad Piræeum adplicuit, cum Romanorum legatis colloquium habuit, quumque injecta ab iis fuisset mentio pristinæ ſocietatis, & ad bellum contra Philippum paratum animum ostendissent, ovare lætitia Attalus. Postridie ejus diei una cum Romanis & Athenienſium magiſtratibus magno comitatu in urbem Athenas adscendit: non enim magiſtratus ſolummodo & equites, ſed & cives omnes cum liberis & conjugibus obviam ei prodierunt. Qui postquam venientibus juncti ſunt, tanta in eo occurſu humanitatis ac benevolentiæ cum erga Romanos; tum & multo quidem

Digitized by Google

λον πρὸς τὸν Ἄτταλον, ὥσθ' ὑπερβολὴν μὴ καταλι- A.V.554.
7πεῖν. Ἐπεὶ δ' εἰσῆει κατὰ τὸ Δίπυλον, ἐξ ἑκατέ-
ρου τοῦ μέρους παρέστησαν τὰς ἱερείας καὶ τοὺς
ἱερεῖς. μετὰ δὲ ταῦτα πάντας μὲν τοὺς ναοὺς ἀνέῳ-
ξαν, ἐπὶ δὲ πᾶσι θύματα τοῖς βωμοῖς παραστή-
8σαντες, ἠξίωσαν αὐτὸν θῦσαι. Τὸ δὲ τελευταῖον
ἐψηφίσαντο τιμὰς τηλικαύτας, ἡλίκας οὐδενὶ τε-
χέως τῶν πρότερον εἰς αὐτοὺς εὐεργετῶν γεγονότων.
9πρὸς γὰρ τοῖς ἄλλοις, καὶ Φυλὴν ἐπώνυμον ἐποίησαν Tribus Attalica.
Ἀττάλῳ, καὶ κατένειμαν αὐτὸν εἰς τοὺς Ἐπωνύμους
τῶν ἀρχηγετῶν.

Μετὰ δὲ ταῦτα συναγαγόντες ἐκκλησίαν, ἐκά- XXVI.
Concionem per epistolam adloquitur Attalus.
λουν τὸν προφερημένον. παραιτουμένου δὲ καὶ φάσκον-
τος, εἶναι φορτικὸν, τὸ κατὰ πρόσωπον εἰσελθόντα
διαπορεύεσθαι τὰς εὐεργεσίας τὰς αὐτοῦ τοῖς εὖ πε-
3πονθόσι, τῆς εἰσόδου παρῆκαν· γράψαντες δ' αὐτὸν
ἠξίουν

XXVI. 2. παρῆκαν *correxi cum Reiskio. Vulgo* παρῆκε. *Procul dubio autem* τῆς μὲν εἰσόδου *scripsit Polyb. inserta conjunctione.*

quidem magis erga Attalum indicia sunt præstita, ut nihil posset amplius. Vbi Dipylum *Attalus* est ingressus, utriusque sexus sacerdotes ad dextram finistramque illi adstiterunt. Omnia dein templa illi patuerunt, omnibus aris paratæ victimæ adstabant, æquum censentibus Athenienſibus, ut sacra ubique faceret. Postremo tantos ei honores decreverunt, quantos nemini umquam temere ex omnibus, quos ante hanc memoriam bene de se meritos agnoverunt. Vt cetera missa faciam, etiam *tribum* unam de nomine *Attali* nuncuparunt, & inter illos generis sui auctores, a quibus suas tribus adpellarunt, hujus quoque nomen consecrarunt.

26. Deinde populo in concionem congregato, regem eo vocarunt. Sed id quidem deprecante rege, dicenteque, *rem fore illiberalem atque odiosam, si ipse coram prodiret, ac sua ipse beneficia in os illis commemoraret, qui acceperint*, instare ut intraret noluerunt: rogarunt autem,

Digitized by Google

Ol. 144. 4. ἠξίουν ἐκδοῦναι, περὶ ὧν ὑπολαμβάνει συμφέρειν πρὸς τοὺς ἐνεστῶτας καιρούς. τοῦ δὲ πεισθέντος καὶ γράψαντος, εἰσήνεγκαν τὴν ἐπιστολὴν οἱ προεστῶτες. Ἦν δὲ τὰ κεφάλαια τῶν γεγραμμένων· ἀνάμνησις τῶν πρότερον ἐξ αὐτοῦ γεγονότων εὐεργετημάτων εἰς τὸν δῆμον· ἐξαρίθμησις τῶν πεπραγμένων αὐτῷ πρὸς Φίλιππον κατὰ τοὺς ἐνεστῶτας καιρούς· τελευταία δὲ παράκλησις εἰς τὸν κατὰ Φιλίππου πόλεμον, καὶ διορκισμὸς, ὡς, ἐὰν μὴ νῦν ἔλωνται συνεμβαίνειν εὐγενῶς εἰς τὴν ἀπέχθειαν ἅμα Ῥοδίοις καὶ Ῥωμαίοις καὶ αὐτῷ, μετὰ δὲ ταῦτα, παρέντες τοὺς καιροὺς, κοινωνεῖν βούλωνται τῆς εἰρήνης, ἄλλων αὐτὴν κατεργασαμένων, ἀστοχήσειν αὐτοὺς τοῦ τῇ πατρίδι συμφέροντος. Τῆς δὲ ἐπιστολῆς αὐτῆς ἀναγνωσθείσης, ἕτοιμον ἦν τὸ πλῆθος ψηφίζεσθαι τὸν πόλεμον, καὶ διὰ τὰ λεγόμενα καὶ διὰ

Attali epistola ad pop. Athen.

5. πρότερον *perite cum Reiskio correxi. Vulgo* προτέρων. 6. συνεμβαίνειν *cum eodem dedi, pro vulgato* συμβαίνειν.

tem, ut scripto ea complecteretur, de quibus pro rerum præsentium statu tractandum in concione existimaret. Quod cum facturum se *Attalus*, recepisset, atque adeo feciſſet; principes Athenienſium ipſius epiſtolam ad populum detulerunt. Capita ejus ſcriptionis erant hæc: commemoratio *ſuperiorum ipſius erga populum Athenienſem beneficiorum:* enumeratio *eorum, quæ his ipſis temporibus adverſus Philippum geſſerat:* poſtremo *adhortatio ad bellum contra Philippum:* cum adjecto jurejurando, *niſi jam nunc in odium Philippi cum Rhodiis & Romanis atque ipſo fortiter conſenſerint, poſthac, ubi prætermiſſa ab eis fuerit occaſio, ſi venire in ſocietatem pacis, quæ fuerit ab aliis confecta, optaverint, nequaquam illis integrum tunc futurum, publicæ rei ſuæ conſulere.* Poſt recitatam epiſtolam, jam tum paratus fuit populus bellum decernere, & propter adla-

tas

διὰ τὴν εὔνοιαν τὴν πρὸς τὸν Ἄτταλον. Οὐ μὴν, A.V.554. Attali epistola ad pop. Athen.
ἀλλὰ καὶ τῶν Ῥοδίων ἐπεισελθόντων, καὶ πολλοὺς πρὸς τὴν αὐτὴν ὑπόθεσιν διαθεμένων λόγους, ἔδοξε τοῖς Ἀθηναίοις, ἐκφέρειν τῷ Φιλίππῳ τὸν πόλεμον.
9 Ἀπεδέξαντο δὲ καὶ τοὺς Ῥοδίους μεγαλομερῶς, καὶ τόν τε δῆμον ἐστεφάνωσαν ἀριστείων στεφάνῳ, καὶ πᾶσι Ῥοδίοις ἰσοπολιτείαν ἐψηφίσαντο, διὰ τὸ κἀκείνους αὐτοῖς χωρὶς τῶν ἄλλων τάς τε ναῦς ἀποκαταστῆσαι, τὰς αἰχμαλώτους γενομένας, καὶ τοὺς ἀνδρας. Οἱ μὲν οὖν πρέσβεις οἱ παρὰ τῶν Ῥοδίων, ταῦτα διαπραξάμενοι, ἀνήχθησαν εἰς τὴν Κίον ἐπὶ τὰς νήσους μετὰ τοῦ στόλου.

X. *Initium belli Romanorum cum Philippo.*

Καθ' ὃν χρόνον οἱ τῶν Ῥωμαίων πρέσβεις ἐν ταῖς Ἀθήναις ἐποιοῦντο τὴν διατριβὴν, Νικάνορος τοῦ παρὰ XXVII. Philippo bellum indicunt Romani,

9. ἀριστείων *correxi cum Reisk. Mendose* ἀριστείῳ *erat in codice, quod Casaub. cum Vrsino in* ἀριστέλας *mutavit.* 10. Κίον. *Forsan* Κίαν *scripsit, aut* Κέων *vel* Κέω. Ibid. ἐπὶ τὰς. *An* καὶ ἐπὶ τὰς.

tas in ea rationes, & propter benevolentiam, qua *Attalum* prosequebatur. Sed ubi postea ingressi essent *Rhodiorum legati*, multaque dixissent, quo ad idem bellum *Athenienses* concitarent; tum vero plane *bellum inferre Philippo* decreverunt. Etiam in honorem Rhodiorum multa magnifice sunt decreta: populo corona virtutis ergo delata, omnibus Rhodiis æquum cum ipsis Athenienſibus jus civitatis; idque & alias quidem ob causſas, & quod captivas Athenienſium naves eis restituissent cum ipsis hominibus. Et legati quidem Rhodiorum, rebus hisce confectis, *Cium* sunt profecti, & per reliquas insulas [domum navigarunt.]

X. *Ecloga IV. de Legationibus.*

27. Quo tempore *Romanorum legati Athenis* versabantur, *Nicanore Philippi duce* agrum Atticum populante ad

Ol. 144. 4. παρὰ Φιλίππου κατατρέχοντος τὴν Ἀττικὴν ἕως τῆς Ἀκαδημίας, προδιαπεμψάμενοι πρὸς αὐτὸν οἱ Ῥωμαῖοι κήρυκας, συνέμιξαν αὐτῷ· καὶ παρεκάλεσαν ἀναγεῖλαι τῷ Φιλίππῳ, διότι Ῥωμαῖοι παρακαλοῦσι τὸν βασιλέα, τῶν μὲν Ἑλλήνων μηδενὶ πολεμεῖν, τῶν δὲ γεγονότων εἰς Ἄτταλον ἀδικημάτων δίκας ὑπέχειν ἐν ἴσῳ κριτηρίῳ· καὶ διότι πράξαντι μὲν ταῦτα τὴν εἰρήνην ἄγειν ἔξεστι πρὸς Ῥωμαίους, μὴ βουλομένῳ δὲ πείθεσθαι, τἀναντία συνεξακολουθήσειν ἔφασαν. Ὁ μὲν οὖν Νικάνωρ ταῦτα ἀκούσας ἀπῆλάγη. Τὸν αὐτὸν δὲ λόγον τοῦτον οἱ Ῥωμαῖοι καὶ πρὸς Ἠπειρώτας εἶπαν περὶ Φιλίππου, παραπλέοντες ἐν Φοινίκῃ, καὶ πρὸς Ἀμύναανδρον ἀναβάντες εἰς Ἀθαμανίαν· παραπλησίως καὶ πρὸς Αἰτωλοὺς ἐν Ναυπάκτῳ, καὶ πρὸς τοὺς Ἀχαιοὺς ἐν Αἰγίῳ. Τότε δὲ διὰ τοῦ Νικάνορος τῷ Φιλίππῳ ταῦτα δηλώσαντες, αὐτοὶ μὲν ἀπέπλευσαν ὡς Ἀντίοχον καὶ Πτολεμαῖον ἐπὶ τὰς διαλύσεις.

in gratiam Attali & Graecorum.

Legati Rom ad Antiochum & Ptolem.

Ἀλλ'

ad ipsam usque Academiam, Romani praemissis ad Nicanorem caduceatoribus cum ipso sunt collocuti. Petierunt autem ab eo, renunciaret Philippo, *Romanos eum monere, ne cui Graecorum factam injuriam vellet; injuriarum, quas Attalus accepit, apud aequos judices rationem redderet. Haec si faceret, licere illi in bona pace cum Romanis vivere: sin obtemperare nollet, contrarium illi eventurum.* His auditis, discessit Nicanor. *Romani* vero eodem hoc de Philippo sermone usi sunt apud *Epirotas* Phoenicae, cum illam oram praeternavigarent; apud *Amynandrum*, cum in Athamaniam adscendissent; item apud *Aetolos* Naupacti; & apud *Achaeos* Aegii. Deinde vero, his rebus per Nicanorem Philippo significatis, ad *Antiochum & Ptolemaeum*, ut controversias illorum dirimerent, contenderunt.

Excerpt.

Digitized by Google

A.V.554. XXVIII. Bellum generose fuscipit Philippus.

Ἀλλ' ἐμοὶ δοκεῖ τὸ μὲν ἄρξασθαι καλῶς καὶ συνακμάσαι ταῖς ὁρμαῖς πρὸς τὴν τῶν πραγμάτων αὔξησιν ἐπὶ πολλῶν ἤδη γεγονέναι· τὸ δ' ἐπὶ τέλος ἀγαγεῖν τὸ προτεθὲν, καί που καὶ τῆς τύχης ἀντιπιπτούσης συνεκπληρῶσαι τῷ λογισμῷ τὸ τῆς προθυμίας ἐλλιπὲς, ἐπ' ὀλίγων γίγνεσθαι. Διὸ καὶ τότε δικαίως ἄν τις τὴν μὲν Ἀτ[τ]άλου καὶ Ῥοδίων ὀλιγοπονίαν καταμέμψαιτο· τὸ δὲ Φιλίππου βασιλικὸν καὶ μεγαλόψυχον καὶ τὸ τῆς προθέσεως ἐπίμονον ἀποδέξαιτο, οὐχ ὡς καθόλου τὸν τρόπον ἐπαινῶν, ἀλλ' ὡς τὴν πρὸς τὸ παρὸν ὁρμὴν ἐπισημαινόμενος. Ποιοῦμαι δὲ τὴν τοιαύτην διαστολὴν, ἵνα μή τις ἡμᾶς ὑπολάβῃ μαχόμενα λέγειν ἑαυτοῖς, ἄρτι μὲν ἐπαινοῦντας Ἄτ[τ]αλον καὶ Ῥοδίους, Φίλιππον δὲ κατα-μεμφομένους, νῦν δὲ τοὐναντίον. Τούτου γὰρ χάριν ἐν ἀρχαῖς τῆς πραγματείας διεστειλάμην, φήσας, ἀναγ-

Excerpt. Antiq. Cap. 13.

28. Mihi vero, præclare aliquod negotium incipere, & *ardorem* illum eo usque servare, donec magnum incrementum res inchoata acceperit, res videtur esse, quam sæpe multi præstiterunt: at destinata ad exitum perducere, &, si quid fortuna etiam inceptis restiterit, *prudentia* supplere id quod alacritati & ardori animi decessisset, id vero paucis datum est posse præstare. Propterea merito tunc aliquis Attali & Rhodiorum potuit accusare ignaviam; *Philippi* vero *regium animum* ac magnum, & *in proposito constantiam* laudare, non quidem tamquam mores ejus in universum probans; sed studium atque impetum in rebus præsentibus admirans. Vtor autem hac distinctione, ne quis forte arbitretur, ea dicere me, quæ inter se pugnent, qui paullo ante Attalum & Rhodios quum laudaremus, Philippo autem succenseremus, nunc ejus contrarium faciamus. Quam etiam ob causam operis initio

Digitized by Google

Ol. 144. 4. παρὰ Φιλίππου κατατρέχοντος τὴν Ἀττικὴν ἕως τῆς Ἀκαδημίας, προδιαπεμψάμενοι πρὸς αὐτὸν οἱ Ῥωμαῖοι κήρυκας, συνέμιξαν αὐτῷ· καὶ παρεκάλεσαν ἀναγεῖλαι τῷ Φιλίππῳ, διότι Ῥωμαῖοι παρακαλοῦσι τὸν βασιλέα, τῶν μὲν Ἑλλήνων μηδενὶ πολεμεῖν, τῶν δὲ γεγονότων εἰς Ἄτταλον ἀδικημάτων δίκας ὑπέχειν ἐν ἴσῳ κριτηρίῳ· καὶ διότι πράξαντι μὲν ταῦτα τὴν εἰρήνην ἄγειν ἔξεστι πρὸς Ῥωμαίους, μὴ βουλομένῳ δὲ πείθεσθαι, τἀναντία συνεξακολουθήσειν ἔφασαν. Ὁ μὲν οὖν Νικάνωρ ταῦτα ἀκούσας ἀπῆλαγη. Τὸν αὐτὸν δὲ λόγον τοῦτον οἱ Ῥωμαῖοι καὶ πρὸς Ἠπειρώτας εἶπαν περὶ Φιλίππου, παραπλέοντες ἐν Φοινίκῃ, καὶ πρὸς Ἀμύναν δρον ἀναβάντες εἰς Ἀθαμανίαν· παραπλησίως καὶ πρὸς Αἰτωλοὺς ἐν Ναυπάκτῳ, καὶ πρὸς τοὺς Ἀχαιοὺς ἐν Αἰγίῳ. Τότε δὲ διὰ τοῦ Νικάνορος τῷ Φιλίππῳ ταῦτα δηλώσαντες, αὐτοὶ μὲν ἀπέπλευσαν ὡς Ἀντίοχον καὶ Πτολεμαῖον ἐπὶ τὰς διαλύσεις.

in gratiam Attali & Græcorum. Legati Rom ad Antiochum & Ptolem.

Ἀλλ'

ad ipsam usque Academiam, Romani præmissis ad Nicanorem caduceatoribus cum ipso sunt collocuti. Petierunt autem ab eo, renunciaret Philippo, *Romanos eum monere, ne cui Græcorum factam injuriam vellet; injuriarum, quas Attalus accepit, apud æquos judices rationem redderet. Hæc si faceret, licere illi in bona pace cum Romanis vivere: sin obtemperare nollet, contrarium illi eventurum.* His auditis, discessit Nicanor. *Romani* vero eodem hoc de Philippo sermone usi sunt apud *Epirotas* Phœnicæ, cum illam oram præternavigarent; apud *Amynandrum*, cum in Athamaniam adscendissent; item apud *Aetolos* Naupacti; & apud *Achæos* Aegii. Deinde vero, his rebus per Nicanorem Philippo significatis, ad *Antiochum & Ptolemæum*, ut controversias illorum dirimerent, contenderunt.

Excerpt.

Digitized by Google

A.V.554. XXVIII. Bellum generose suscipit Philippus.

Ἀλλ' ἐμοὶ δοκεῖ τὸ μὲν ἄρξασθαι καλῶς καὶ συν-
αγμάσαι ταῖς ὁρμαῖς πρὸς τὴν τῶν πραγμάτων αὔ-
2ξησιν ἐπὶ πολλῶν ἤδη γεγονέναι· τὸ δ' ἐπὶ τέλος
ἀγαγεῖν τὸ προτεθὲν, καί που καὶ τῆς τύχης ἀντι-
πιπτούσης συνεκπληρῶσαι τῷ λογισμῷ τὸ τῆς προ-
3θυμίας ἐλλιπὲς, ἐπ' ὀλίγων γίγνεσθαι. Διὸ καὶ τότε
δικαίως ἄν τις τὴν μὲν Ἀτ[τ]άλου καὶ Ῥοδίων ὀλιγο-
πονίαν καταμέμψαιτο· τὸ δὲ Φιλίππου βασιλικὸν
καὶ μεγαλόψυχον καὶ τὸ τῆς προθέσεως ἐπίμονον
ἀποδέξαιτο, οὐχ ὡς καθόλου τὸν τρόπον ἐπαινῶν,
ἀλλ' ὡς τὴν πρὸς τὸ παρὸν ὁρμὴν ἐπισημαινόμενος.
4Ποιοῦμαι δὲ τὴν τοιαύτην διαστολὴν, ἵνα μή τις ἡμᾶς
ὑπολάβῃ μαχόμενα λέγειν ἑαυτοῖς, ἄρτι μὲν ἐπαι-
νοῦντας Ἄτ[τ]αλον καὶ Ῥοδίους, Φίλιππον δὲ κατα-
5μεμφομένους, νῦν δὲ τοὐναντίον. Τούτου γὰρ χάριν
ἐν ἀρχαῖς τῆς πραγματείας διεστειλάμην, φήσας,
ἀναγ-

Excerpt. Antiq. Cap. 13.

28. Mihi vero præclare aliquod negotium incipere, & *ardorem* illum eo usque servare, donec magnum incrementum rea inchoata acceperit, res videtur esse, quam sæpe multi præstiterunt: at destinata ad exitum perducere, &, si quid fortuna etiam inceptis restiterit, *prudentia* supplere id quod alacritati & ardori animi decessisset, id vero paucis datum est posse præstare. Propterea merito tunc aliquis Attali & Rhodiorum potuit accusare ignaviam; *Philippi* vero *regium animum* ac magnum, & *in proposito constantiam* laudare, non quidem tamquam mores ejus in universum probans; sed studium atque impetum in rebus præsentibus admirans. Vtor autem hac distinctione, ne quis forte arbitretur, ea dicere me, quæ inter se pugnent, qui paullo ante Attalum & Rhodios quum laudaremus, Philippo autem succenseremus, nunc ejus contrarium faciamus. Quam etiam ob causam operis initio

Digitized by Google

Ol. 144. 4. Constantia Philippi.

ἀναγκαῖον εἶναι, ποτὲ μὲν εὐλογεῖν, ποτὲ δὲ ψέγειν τοὺς αὐτούς· ἐπειδὴ πολλάκις μὲν αἱ πρὸς τὸ χεῖρον τῶν πραγμάτων ῥοπαὶ καὶ περιστάσεις ἀλλοιοῦσι τὰς προαιρέσεις τῶν ἀνθρώπων, πολλάκις δὲ αἱ πρὸς τὸ βέλτιον. ἔστι δ' ὅτε κατὰ τὴν ἰδίαν φύσιν ἄνθρωποι ποτὲ μὲν ἐπὶ τὸ δέον ὁρμῶσι, ποτὲ δ' ἐπὶ τοὐναντίον· ὧν ἕν τι μοι δοκεῖ καὶ τότε γεγονέναι περὶ τὸν Φίλιππον. Ἀσχάλλων γὰρ ἐπὶ τοῖς γεγονόσιν ἐλαττώμασι, καὶ τὸ πλεῖον ὀργῇ καὶ θυμῷ χρώμενος, παραστατικῶς καὶ δαιμονίως ἐνώρμησεν εἰς τοὺς ἐνεστῶτας καιρούς, καὶ τούτῳ τῷ τρόπῳ κατανέστη τῶν Ῥοδίων καὶ τοῦ βασιλέως Ἀτ|τάλου, καὶ καθίκετο τῶν ἐξῆς πράξεων. Ταῦτα μὲν οὖν προεῖχθην εἰπεῖν, διὰ τὸ, τινὰς μὲν πρὸς τῷ τέρματι, καθάπερ οἱ κακοὶ τῶν σταδίων, ἐγκαταλιπεῖν τὰς ἑαυτῶν προθέσεις, τινὰς δ' ἐν τούτῳ μάλιστα νικᾶν τοὺς ἀντιπάλους.

XI. *Abytio* diſerte monebam, *neceſſe eſſe, ut in ſcribenda hiſtoria eosdem aliquando laude, aliquando vituperio proſequamur:* quandoquidem negotiorum mutationes in deterius & res adverſæ ſolent voluntates conſiliaque hominum mutare, ſæpe etiam mutationes factæ in melius. Quin & ſuapte natura interdum homines modo ad ſalubria inclinant, modo ad contraria. Quorum aliquid *Philippo* tunc temporis mihi videtur uſu veniſſe. Nam is detrimenta, quæ acceperat, ægerrime ferens, & pleraque omnia per iram & indignationem faciens, feroci ac veluti divinitus concitato impetu ad medendum malis præſentibus ſeſe accinxit; & quum ita animatus adverſus Rhodios ac regem Attalum inſurrexiſſet, quæ deinceps agere inſtituit, ea ad felicem perduxit exitum. Atque hæc ut dicerem, eo ſum impulſus, quod nonnullos viderem circa ipſam metam, ſicut mali curſores in ſtadio ſolent, ſuis deſiſtere inceptis, nonnullos vero in ea potiſſimum negotiorum parte adverſarios ſuperare.

XI. *Er-*

Digitized by Google

XI. *Abydum oppugnat & capit Philippus.* A.V.554.

Ὁ δὲ Φίλιππος ἠβούλετο προελέσθαι Ῥωμαίων τὰς ἐν τούτοις τοῖς τόποις ἀφορμὰς καὶ τὰς ἐπιβάθρας. * Ἵνα, ἐὰν προθῆται διαβαίνειν αὖθις εἰς τὴν Ἀσίαν, ἐπιβάθραν ἔχοι τὴν Ἄβυδον. XXIX. Abydum petit Philippus.

3 Τὴν δὲ τῆς Ἀβύδου καὶ Σηστοῦ θέσιν καὶ τὴν εὐκαιρίαν τῶν πόλεων, τὸ μὲν διὰ πλειόνων ἐξαριθμεῖσθαι, μάταιον εἶναί μοι δοκεῖ, διὰ τὸ πάντας, ὧν καὶ μικρὸν ὄφελος, ἱστορηκέναι, διὰ τὴν ἰδιότητα 4 τῶν τόπων. κεφαλαιωδῶς γε μὴν ὑπομνῆσαι τοὺς ἀναγινώσκοντας, ἐπιστάσεως χάριν, οὐκ ἄχρηστον 5 εἶναι νομίζω πρὸς τὸ παρόν. Γνοίη δ' ἄν τις τὰ περὶ τὰς προειρημένας πόλεις οὐχ οὕτως ἐξ αὐτῶν τῶν ὑποκειμένων τόπων, ὡς ἐκ τῆς παραθέσεως καὶ συγκρί- 3 Abydi & Sesti situs.

XXIX. *Versum* 1 & 2 *ex Suida adscivi.*

XI. *Excerpt. Antiq. ex Lib.* XVI. *Cap.* 14-19.

29. *Philippus* his in locis præripere volebat *Romanis* opportunitates rerum gerendarum & portus ubi adpellere possent. * Vt, si in Asiam iterum trajicere constituisset, portum haberet *Abydum*, quo adpellere & per quem ingredi in Asiam posset.

Situm *Abydi* & *Sesti*, earumque urbium opportunitatem pluribus velle perse- qui, inanis, opinor, fuerit labor; quum propter peculiarem locorum naturam eam rem omnes, nisi quis plane homo nihili sit, exploratam habeant. Summatim tamen velut memoriam refricare lectorum, ut eo magis advertant animum, non inutile in præsentia arbitror futurum. Poterit vero aliquis prædictarum urbium commoditatem cognoscere, non tam ipsa contemplans loca illa, quam comparans eadem & con-

Digitized by Google

Ol. 144. 4. Freti Herculei cum freto ad Abydum comparatio.

συγκρίσεως τῶν λεγεσθαι μελλόντων. Καθάπερ γὰρ οὐδ' ἐκ τοῦ παρὰ μέν τισιν Ὠκεανοῦ προσαγορευομένου, παρὰ δέ τισιν Ἀτλαντικοῦ πελάγους, δυνατὸν εἰς τὴν καθ' ἡμᾶς θάλασσαν εἰσπλεῦσαι, μὴ οὐχὶ διὰ τοῦ καθ' Ἡρακλέους στήλας περαιωθέντα στόματος· οὕτως οὐδ' ἐκ τῆς καθ' ἡμᾶς εἰς τὴν Προποντίδα καὶ τὸν Πόντον ἀφικέσθαι, μὴ οὐχὶ διὰ τοῦ μεταξὺ Σηστοῦ καὶ Ἀβύδου διαστήματος ποιησάμενον τὸν εἴσπλουν. Ὥσπερ δὲ πρός τινα λόγον τῆς τύχης ποιουμένης τὴν κατασκευὴν ἀμφοτέρων τῶν πορθμῶν, πολλαπλάσιον εἶναι συμβαίνει τὸν καθ' Ἡρακλέους στήλας πόρον τοῦ κατὰ τὸν Ἑλλήσποντον. ὁ μὲν γάρ ἐστιν ἑξήκοντα σταδίων, ὁ δὲ κατὰ τὴν Ἄβυδον δυοῖν· ὡσανεί τινος τεκμαιρομένου διὰ τὸ πολλαπλασίαν εἶναι τὴν ἔξω θάλατταν τῆς καθ' ἡμᾶς. Εὐκαιρότερον μέν τοι γε τοῦ καθ' Ἡρακλέους στήλας στόματός ἐστι τὸ κατὰ τὴν Ἄβυδον. τὸ

6. περαιωθέντα *scripsi ex Reiskii conject. Vulgo* περαιωθέντας.

& contendens cum iis, quæ jam commemorabimus. Scilicet quemadmodum ex eo, quem Oceanum nonnulli vocant, alii Atlanticum pelagus, ingredi in *mare noſtrum* nemo queat, niſi qui per fretum ad Herculis columnas tranſierit: ita neque e noſtro mari in Propontidem & in Pontum quisquam veniat, quin per *fretum inter Seſtum & Abydum* interjectum iptroëat. Non ſecus autem ac ſi fortuna in duobus hiſce fretis efficiendis certam quamdam rationem eſſet ſecuta, multis partibus Helleſpontiaco majus eſt alterum ad columnas Herculis. Iſtud enim patet in latitudinem ſtadia ſexaginta, Abydenum duo ſolum: idque ea de cauſſa, ut conjectare poſſit aliquis, quia mare externum multis vicibus noſtrum magnitudine ſuperat. Ceterum quod ad Abydum eſt fretum, majores habet opportunitates eo, quod ad colu-

Digitized by Google

11 τὸ μὲν γὰρ, ἐξ ἀμφοῖν ὑπ' ἀνθρώπων οἰκούμενον, A.V.554.
πύλης ἔχει διάθεσιν διὰ τὴν πρὸς ἀλλήλους ἐπιμιξίαν, ποτὲ μὲν γεφυρούμενον ὑπὸ τῶν πεζεύειν ἐπ' ἀμφοτέρας τὰς ἠπείρους προαιρουμένων, ποτὲ δὲ
12 πλωτευόμενον συνεχῶς. τὸ δὲ καθ' Ἡρακλέους στήλας σπάνιον ἔχει τὴν χρῆσιν, καὶ σπανίοις, διὰ τὴν ἀνεπιμιξίαν τῶν ἐθνῶν τῶν πρὸς τοῖς πέρασι κατοικούντων τῆς Λιβύης καὶ τῆς Εὐρώπης, καὶ διὰ τὴν
13 ἀγνωσίαν τῆς ἐκτὸς θαλάττης. Αὐτὴ δ' ἡ τῶν Portus Abydenus.
Ἀβυδηνῶν πόλις περιέχεται μὲν ἐξ ἀμφοῖν τοῖν μερῶν ὑπὸ τῶν τῆς Εὐρώπης ἀκρωτηρίων· ἔχει δὲ λιμένα, δυνάμενον σκέπειν ἀπὸ παντὸς ἀνέμου τοὺς
14 ἐνορμοῦντας. ἐκτὸς δὲ τῆς εἰς τὸν λιμένα καταγωγῆς οὐδαμῶς οὐδαμῆ δυνατόν ἐστιν ὁρμῆσαι πρὸς τὴν πόλιν, διὰ τὴν ὀξύτητα καὶ βίαν τοῦ ῥοῦ τοῦ κατὰ τὸν πόρον.

11. γεφυρούμενον. γεγεφυρωμένον malucrat Reisk. 13. Αὐτὴ ex conj. correxi. Vulgo Αὐτὴ. 14. οὐδαμῶς οὐδαμῆ cum Reisk. correxi. Vulgo οὐδ' ὡς οὐδαμῇ, & οὐδ' ὡς οὐδαμῆ Aug.

columnas est Herculis. Nam Abydenum, utrimque ab hominibus habitatum, portæ instar obtinet, propter adsidua inter ipsos commercia: & nonnumquam ponte junctum fuit ab eis, qui pedestri itinere utramque continentem volunt adire; aliâs vero navigatur, idque continue. Contra, freto ad columnas Herculis qui utantur, rari sunt, & hi ipsi quoque raro utuntur; cum quia ceteri populi ad eas gentes, quæ fines illos ultimos Africæ & Europæ colunt, raro commeant, tum etiam quod mare exterius est ignotum. Ipsa vero urbs *Abydus* ab utraque parte cingitur duobus Europæ promontoriis: habetque portum, quo si navem adplicueris, ab omni vento eris tutus; quem in portum si quis non adpulerit, is nulla plane ratione ad urbem stare in ancoris potest: ea rapiditate & violentia labentes per fretum aquæ agitantur.

30. *Phi-*

Ol. 144. 4. XXX. Abydum oppugnat Philippus.

Οὐ μὴν, ἀλλ' ὅ γε Φίλιππος, τὰ μὲν ἀποσταυρώσας, τὸ δὲ περιχαρακώσας τοὺς Ἀβυδηνοὺς, ἐπολόρκει καὶ κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν. Ἡ δὲ πρᾶξις αὕτη κατὰ μὲν τὸ μέγεθος τῆς παρασκευῆς καὶ τὴν ποικιλίαν τῶν ἐν τοῖς ἔργοις ἐπινοημάτων, δι' ὧν οἱ πολιορκοῦντες καὶ οἱ πολιορκούμενοι πρὸς ἀλλήλους εἰώθασιν ἀντιμηχανᾶσθαι καὶ φιλοτεχνεῖν, οὐ γέγονε θαυμάσιος· κατὰ δὲ τὴν γενναιότητα τῶν πολιορκουμένων καὶ τὴν ὑπερβολὴν τῆς εὐψυχίας, εἰ καί τις ἄλλη, μνήμης ἀξία καὶ παραδόσεως. Τὰς μὲν γὰρ ἀρχὰς πιστεύοντες αὐτοῖς οἱ τὴν Ἄβυδον κατοικοῦντες, ὑπέμενον ἐρρωμένως τὰς τοῦ Φιλίππου παρασκευὰς, καὶ τῶν τε κατὰ θάλατταν προσαχθέντων μηχανημάτων τὰ μὲν τοῖς πετροβόλοις τύπτοντες διεσάλευσαν, τὰ δὲ τῷ πυρὶ διέφθειραν, ὥστε οὕτω καὶ τὰς ναῦς μόλις ἀνασπάσαι τοὺς πολεμίους ἐκ τοῦ κινδύνου.

τοῖς

XXX. 2. οἱ πολιορκοῦντες &c. δι' ὧν οἱ πολιορκούμενοι *Herv. cum mss.* Supplevit *Casaubonus* οἱ πολιορκοῦντες καὶ πολιορκούμενοι. Articulum ad ultimam vocem repetendum duxi. 4. ὥστε οὕτω. Immo οὕτως ὥστε *malim cum Gronov.*

30. *Philippus*, urbe Abydo vallo atque aggere cincta, a terra simul & a mari *obsidione Abydenos premebat.* Hæc autem obsidio, etsi quod ad magnitudinem adparatuum & varietatem inventorum in operibus struendis, quæ obsidentes obsessique in mutuam perniciem moliri solent & studiose excogitare, nequaquam fuit admirabilis; propter obsessorum tamen generosum & supra quam dici queat fortem animum, digna est profecto, si qua ulla alia, cujus memoria posteris tradatur. Principio enim oppidani, suis freti viribus, conatus Philippi valenter sustinebant. Et illas quidem machinas, quæ a mari admovebantur, partim ballistis quassatas non patiebantur consistere, partim igne corrumpebant; adeo ut ipsas quoque naves ægre periculo hostes eripuerint. Atque

5 τοῖς δὲ κατὰ γῆν ἔργοις ἕως μέν τινος προσαντεῖχον A.V.554.
εὐψύχως, οὐκ ἀπελπίζοντες κατακρατήσειν τῶν
6 πολεμίων. Ἐπειδὴ δὲ τὸ μὲν ἐκτὸς τοῦ τείχους Deditio-
ἔπεσε διὰ τῶν ὀρυγμάτων, μετὰ δὲ ταῦτα διὰ τῶν nis con-
μετάλλων ἠγλίζον οἱ Μακεδόνες τῷ κατὰ τὸ πεπτω- ditiones
7 κὸς ὑπὸ τῶν ἔνδοθεν ἀντωκοδομημένῳ τείχει· τὸ respuit.
τηνικάδε πέμψαντες πρεσβευτὰς Ἰφιάδην καὶ Παν-
τάκνωτον ἐκέλευον παραλαμβάνειν τὸν Φίλιππον
τὴν πόλιν, τοὺς μὲν στρατιώτας ὑποσπόνδους ἀφέν-
τα τοὺς παρὰ Ῥοδίων καὶ παρ' Ἀτταλόυ, τὰ δ' ἐλεύθερα τῶν σωμάτων ἐάσαντα σώζεσθαι κατὰ
δύναμιν, οὗ ποτ' ἂν ἕκαστος προαιρῆται μετὰ τῆς
ἐσθῆτος τῆς περὶ τὸ σῶμα. Τοῦ δὲ Φιλίππου
προστάττοντος, περὶ πάντων ἐπιτρέπειν, ἢ μάχε-
σθαι γενναίως, οὗτοι μὲν ἐπανῆλθον.

Οἱ δ' Ἀβυδηνοὶ, πυθόμενοι τὰ λεγόμενα, συνελ- XXXI.
θόντες εἰς ἐκκλησίαν, ἐβουλεύοντο περὶ τῶν ἐνεστώ-

5. προσαντεῖχον. *Monente Casaubono* προσανέχον *edidit Gronov.* 6. τῷ κατὰ τὸ πεπτωκὸς *ex ing. correxit Casaub.* τὸ κατὰ πεποιηκὸς *Herv. & sic fere Med. Ceteri codices* τὸ κατασπεπτωκὸς. 7. Παντάκνωτον. Παντάγνωτον *voluit Reisk.*

Atque illis etiam operibus, quæ a terra excitabantur, per aliquod tempus fortiter restiterunt, non sine spe, victis hostibus superiores se tandem futuros. Postquam vero, exteriore muro cuniculis subruto, Macedones agendis item cuniculis interiori jam muro, qui e regione collapsi in ejus vicem fuerat excitatus, adpropinquabant; tum vero obsessi, missis legatis Iphiade & Pantacnoto, cum Philippo egerunt, ut *urbem in deditionem acciperet; milites, ab Rhodiis & Attalo præsidio missos, data fide dimitteret; liberos homines, quo quisque vellet, cum singulis vestibus excedere sineret.* Iubente autem Philippo, ut *vel permitterent sibi omnia, vel fortiter pugnarent*, redeunt legati.

31. *Abydeni*, auditis quæ renunciabantur, in desperationem adducti, conveniunt in

Ol. 144. 4. Desperata consilia Abydenorum.

των, ἀπονοηθέντες ταῖς γνώμαις. Ἔδοξεν οὖν αὐ-2
τοῖς, πρῶτον μὲν, τοὺς δούλους ἐλευθεροῦν, ἵνα συν-
αγωνισταὶς ἔχοιεν ἀπροφασίστους· ἔπειτα, συναθ-
ροίσαι τὰς μὲν γυναῖκας εἰς τὸ τῆς Ἀρτέμιδος ἱε-
ρὸν ἀπάσας, τὰ δὲ τέκνα σὺν ταῖς τροφοῖς εἰς τὸ
γυμνάσιον· ἔξῆς δε τούτοις τὸν ἄργυρον καὶ τὸν 3
χρυσὸν εἰς τὴν ἀγορὰν συναγαγεῖν, ὁμοίως δὲ καὶ
τὸν ἱματισμὸν τὸν ἀξιόλογον εἰς τὴν τετρήρη τῶν
Ῥοδίων καὶ τὴν τριήρη τὴν τῶν Κυζικηνῶν. Ταῦτα 4
δὲ προθέμενοι, καὶ πράξαντες ὁμοθυμαδὸν κατὰ τὸ
δόγμα, πάλιν συνηθροίσθησαν εἰς τὴν ἐκκλησίαν, καὶ
πεντήκοντα προεχειρίσαντο τῶν πρεσβυτέρων ἀν-
δρῶν καὶ μάλιστα πιστευομένων, ἔτι δὲ τὴν σωμα-
τικὴν δύναμιν ἐχόντων πρὸς τὸ δύνασθαι τὸ κριθὲν
ἐπιτελεῖν· καὶ τούτους ἐξώρκισαν ἐναντίον ἁπάντων 5
τῶν πολιτῶν, ἢ μὴν, ἐὰν ἴδωσι τὸ διατείχισμα κα-
ταλαμβανόμενον ὑπὸ τῶν ἐχθρῶν, κατασφάξειν μὲν
τὰ τέκνα καὶ τὰς γυναῖκας, ἐμπρήσειν δὲ τὰς προε-
ρημένας

in concionem, de rebus præsentibus consultaturi. Visum illis faciendum, primum, *ut servos libertate donarent, quo fideles eos & promtos adjutores in omnibus haberent*; deinde, *ut matronas omnes in templo Dianæ congregarent, infantes cum nutricibus in gymnasio: argentum dein omne & aurum in forum deferrent, pretiosam pariter vestem in quadriremem Rhodiam & triremem Cyzicenam.* Hæc cum proposuissent, ac mox consentientibus suffragiis, sicut fuerat decretum, essent exsecuti; in concionem rursus convenerunt. Ibi *delecti quinquaginta e senioribus*, viri maxima auctoritate præditi, & eo adhuc corporis robore, ut peragere quod foret constitutum possent. Hi coram universis civibus jusjurandum adacti, *se, ubi interiorem murum occupatum ab hoste vidissent, infantes & conjuges fore occisuros, naves*

ρημένας ναῦς, ῥίψειν δὲ κατὰ τὰς ἀρὰς τὸν ἄργυ- A.V.554.
ρον καὶ τὸν χρυσὸν εἰς τὴν θάλατταν. Μετὰ δὲ Desperata consilia Abydenorum.
ταῦτα παραστησάμενοι τοὺς ἱερέας, ὤμνυον πάντες,
ἢ κρατήσειν τῶν ἐχθρῶν, ἢ τελευτήσειν μαχόμενοι
περὶ τῆς πατρίδος. Ἐπὶ δὲ πᾶσι, σφαγιασάμενοι,
καταράς ἠνάγκασαν ἐπὶ τῶν ἐμπύρων ποιεῖσθαι τοὺς
ἱερέας καὶ τὰς ἱερείας περὶ τῶν προειρημένων.
Ταῦτα δ' ἐπικυρώσαντες, τοῦ μὲν ἀντιμεταλλεύειν
τοῖς πολεμίοις ἀπέστησαν, ἐπὶ δὲ τοιαύτην γνώμην
κατέστησαν, ὥστ', ἐπειδὰν πέσῃ τὸ διατείχισμα,
τότ' ἐπὶ τοῦ πτώματος διαμάχεσθαι καὶ διαποθνή-
σκειν πρὸς τοὺς βιαζομένους.

Ἐξ ὧν εἴποι τις ἄν, καὶ τὴν λεγομένην Φωκικὴν XXXII.
ἀπόνοιαν καὶ τὴν Ἀκαρνάνων εὐψυχίαν ὑπερῃρκέναι Phocica desperatio.
τὴν τῶν Ἀβυδηνῶν τόλμαν. Φωκεῖς τε γὰρ δοκοῦσι
τοὺ παραπλήσια βουλεύσασθαι περὶ τῶν ἀναγκαίων,

XXXI. 5. κατὰ τὰς ἀρὰς. μετὰ κατάρας *suspicatus est* Reisk.

ves modo dictas incensuros, argentum & aurum, sicut devovissent, in mare conjecturos. Secundum hæc, præeuntibus exsecrabile carmen sacerdotibus, jurarunt omnes, *aut hostem superaturos se, aut pro patria dimicantes mortem oppetituros.* Postremo, mactatis victimis, dum sacra in aris adolentur, utriusque sexus sacerdotes super iis, quæ diximus, diras coëgerunt concipere. Quæ omnia ut firmarunt, a fodiendis cuniculis contra hostium cuniculos superfederunt; verum in eam cuncti sententiam consenserunt, ut, postquam murus interior foret dejectus, ruinis insistentes & adversus irrumpentem hostem dimicantes, vestigiis suis immorerentur.

32. Ita fit, ut merito dicere possis, *Abydenorum audaciam superasse & Phocensium desperationem & Acarnanum animositatem.* Nam & *Phocenses* de suis necessariis idem perhibentur fecisse decre-

Ol.144.4. οὐκ εἰς τέλος ἀπηλπισμένας ἔχοντες τὰς τοῦ νικᾶν ἐλπίδας, διὰ τὸ μέλλειν ποιεῖσθαι τὸν κίνδυνον πρὸς τοὺς Θετταλοὺς ἐν τοῖς ὑπαίθροις ἐκ παρατάξεως.

Desperatio olim Acarnanum, nunc Abydenorum. Ὁμοίως δὲ καὶ τὸ τῶν Ἀκαρνάνων ἔθνος, ἅτε προεσ- 3
δόμενον τὴν Αἰτωλῶν ἔφοδον, ἐβουλεύσαντο παραπλήσια περὶ τῶν ἐνεστώτων· ὑπὲρ ὧν τὰ κατὰ μέρος ἡμεῖς ἐν τοῖς πρὸ τούτων ἱστορήκαμεν. Ἀβυδη- 4
νοὶ δὲ, συγκεκλεισμένοι, καὶ σχεδὸν ἀπηλπικότες τὴν σωτηρίαν, παυδημεὶ προείλοντο τῆς εἱμαρμένης τυχεῖν μετὰ τῶν τέκνων καὶ τῶν γυναικῶν μᾶλλον, ἢ ζῶντες ἔτι πρόληψιν ἔχων τοῦ πεσεῖσθαι τὰ σφέτερα τέκνα καὶ τὰς γυναῖκας ὑπὸ τὴν τῶν ἐχθρῶν ἐξουσίαν. Διὸ καὶ μάλιστ' ἂν τις ἐπὶ τῆς Ἀβυδη- 5
νῶν περιπετείας μέμψαιτο τῇ τύχῃ, διότι τὰς μὲν τῶν προεσεσημένων συμφορὰς, οἷον ἐλεήσασα, παραυτίκα διωρθώσατο, περιθεῖσα τὴν νίκην ἅμα καὶ τὴν σωτηρίαν τοῖς ἀπηλπισμένοις· περὶ δὲ Ἀβυδηνῶν τὴν ἐναντίαν ἔσχε διάληψιν. οἱ μὲν γὰρ ἄνδρες ἀπέ- 6
θανον,

decretum, nondum prorsus desperantes de victoria; cum inibi essent, ut in aperto adversus *Thessalos* justa acie decertarent. Pariterque gens *Acarnanum*, certior facta de *Aetolorum* adversus se suscepta expeditione, simile consilium super rebus suis inivit; sicut in superioribus sigillatim est a nobis ostensum. *Abydeni* vero, omni ex parte concluſi, & salutem suam prope jam desperantes, fato defungi cum liberis & conjugibus communi omnium consensu præoptarunt, quam ut viventes cogitationem illam præciperent, & uxores mox & liberos suos in potestatem hostium esse venturos. Itaque de *Abydenorum* maxime *casu* cum Fortuna fas sit expostulare; quæ, Phocensium & Acarnanum calamitates miserata, in meliorem repente statum eos restituit, victoriamque simul & salutem desperatis largita est, de Abydenis vero mente fuit contraria. Nam viri occubue-

θανον, ἡ δὲ πόλις ἑάλω, τὰ δὲ τέκνα σὺν αὐταῖς A.V.554.
ταῖς μητράσιν ἐγένετο τοῖς ἐχθροῖς ὑποχείρια.

Πεσόντος γὰρ τοῦ διατειχίσματος, ἐπιβάντες XXXIII.
ἐπὶ τὸ πτῶμα κατὰ τοὺς ὅρκους, διεμάχοντο τοῖς Desperatio Abydenorum.
πολεμίοις οὕτω τετολμηκότως, ὥστε τὸν Φίλιππον, καίπερ ἐκ διαδοχῆς προβαλόντα τοὺς Μακεδόνας ἕως νυκτὸς, τέλος ἀποστῆναι τῆς μάχης, δυσελπίσαντα καὶ περὶ τῆς ὅλης ἐπιβολῆς. Οὐ γὰρ μόνον ἐπὶ τοὺς θνήσκοντας τῶν πολεμίων ἐπιβαίνοντες ἠγωνίζοντο μετὰ παραστάσεως οἱ προκινδυνεύοντες τῶν Ἀβυδηνῶν, οὐδὲ τοῖς ξίφεσι καὶ τοῖς δόρασιν αὐτοῖς ἐμάχοντο παραβόλως· ἀλλ', ὅτε τι τούτων ἀχρειωθὲν ἀδυνατήσειεν, ἢ μετὰ βίας προσῄνετο ἐκ τῶν χειρῶν, συμπλεκόμενοι τοῖς Μακεδόσιν, οὓς μὲν ἀνέτρεπον ὁμοῦ τοῖς ὅπλοις, ὧν δὲ συντρίβοντες τὰς σαρίσσας, αὐτοῖς τοῖς ἐκείνων κλάσμασιν ἐκ

XXXII. 6. *αὐταῖς ταῖς μητράσιν. Articulum, quem ignorant vulgo, adjeci cum Reiskio.*
XXXIII. 1. *καίπερ ἐκ διαδ. correxit Casaub. καθάπερ Herv. cum mss.*

buerunt: urbs capta est: liberi cum ipsis matribus in potestatem venerunt hostium.

33. Postquam enim murus interior ceciderat, militaris ætas ruinis insistens, sicut omnes juraverant, adeo audacter in hostem pugnavit, ut *Philippus*, qui fessis Macedonibus recentes subinde ad noctem usque submiserat, pugna tandem abstiterit, de exitu totius incepti pene jam desperans. Non enim super mortuorum cadaveribus tantum ingredientes, qui in prima acie *Abydenorum* stabant, ferociter pugnabant; neque gladiis tantum & hastis præcipiti quadam audacia rem gerebant; sed etiam, ubi quidque horum redditum inutile nulli poterat esse usui, aut illud vi ejecerant de manibus, cum Macedonibus de cetero cominus congredientes, alios cum ipsis armis subvertebant, aliorum sarissas confringebant, deinde ipsis illarum fragmentis punctim utentes, & cuspidibus hasta-

Digitized by Google

Ol. 144. 4. Desperatio Abydenorum.

διαλήψεως τύπτοντες αὐτῶν ταῖς ἐπιδορατίσι τὰ πρόσωπα καὶ τοὺς γυμνοὺς τόπους, εἰς ὀλοσχερῆ διατροπὴν ἦγον. Ἐπιγενομένης δὲ τῆς νυκτὸς, καὶ διαλυθείσης τῆς μάχης, τῶν μὲν πλείστων τεθνεώτων ἐπὶ τοῦ πτώματος, τῶν δὲ λοιπῶν ὑπὸ τοῦ πόνου καὶ τῶν τραυμάτων ἀδυνατούντων, συναγαγόντες ὀλίγους τινὰς τῶν πρεσβυτέρων Γλαυκίδης καὶ Θεόγνητος κατέβαλον τὸ σεμνὸν καὶ θαυμάσιον τῆς τῶν πολιτῶν προαιρέσεως διὰ τὰς ἰδίας ἐλπίδας. Ἐβουλεύσαντο γὰρ τὰ μὲν τέκνα καὶ τὰς γυναῖκας ζωγρεῖν, ἅμα δὲ τῷ φωτὶ τοὺς ἱερεῖς καὶ τὰς ἱερείας ἐκπέμπειν μετὰ στεμμάτων πρὸς τὸν Φίλιππον, δεησομένους καὶ παραδιδόντας αὐτῷ τὴν πόλιν.

XXXIV. Κατὰ δὲ τοὺς καιροὺς τούτους Ἄτταλος ὁ βασιλεὺς, ἀκούσας πολιορκεῖσθαι τοὺς Ἀβυδηνοὺς, δι' Legatus Rom. ad Philippum. Αἰγαίου ποιησάμενος τὸν πλοῦν εἰς Τένεδον, ὁμοίως δὲ καὶ τῶν Ῥωμαίων Μάρκος Αἰμίλιος ὁ νεώτατος ἦκε

3. *Post* διαλήψεως *intercidisse fortasse verba* χρώμενοι καὶ. XXXIV. 1. Αἰμίλιος. *Vulgo omnes h. l.* Αἰμύλιος.

hastarum facies hostium, ac quidquid in iis nudum adpareret, cædentes, tantum eis periculi facesserunt, ut animos penitus desponderent. Vbi nox lucem abstulit, prælii factus est finis. Quum autem plurimi illis ruinis essent immortui, ac reliqui præ lassitudine & vulneribus exhausti penitus essent viribus, *Glaucides* & *Theognetus*, paucis e senioribus convocatis, spe ducti propriæ salutis, decus illud ingens & admirabile adeo generosæ mentis civibus suis iverunt detractum. Statuerunt enim, liberis ac conjugibus vitam servare, & prima luce sacerdotes utriusque sexus cum velamentis ad *Philippum* mittere, qui urbem illi tradentes exitium deprecarentur.

34. Sub idem vero tempus rex *Attalus*, audita Abydenorum obsidione, per Aegæum mare Tenedum venit, itemque ex iis legatis Romanis, qui ad reges Ptolemæum & Antiochum missi erant, minimus natu, *M. Aemi-*

ἦκε καταπλέων εἰς αὐτὴν τὴν Ἄβυδον. Οἱ γὰρ Ῥω- A.V.554. Legatus
μαῖοι τὸ σαφὲς ἀκούσαντες ἐν τῇ Ῥόδῳ περὶ τῆς Rom. ad
τῶν Ἀβυδηνῶν πολιορκίας, καὶ βουλόμενοι πρὸς αὐ- Philip-
τὸν τὸν Φίλιππον ποιήσασθαι τοὺς λόγους κατὰ τὰς pum.
ἐντολὰς, ἐπιστήσαντες τὴν πρὸς τοὺς βασιλέας ὁρ-
μὴν, ἐξέπεμψαν τὸν προειρημένον· ὃς καὶ συμμίξας
περὶ τὴν Ἄβυδον διεσάφει τῷ βασιλεῖ, διότι δέδο-
κται τῇ συγκλήτῳ, παρακαλεῖν αὐτὸν, μήτε τῶν
Ἑλλήνων μηδενὶ πολεμεῖν, μήτε τοῖς Πτολεμαίου
πράγμασιν ἐπιβάλλειν τὰς χεῖρας, περὶ δὲ τῶν εἰς
Ἄτταλον καὶ Ῥοδίους ἀδικημάτων δίκας ὑποσχεῖν·
καὶ διότι, ταῦτα μὲν οὕτω πράττοντι, τὴν εἰρήνην
ἄγειν ἐξέσται, μὴ βουλομένῳ δὲ πειθαρχεῖν ἑτοί-
μως, ὑπάρξειν τὸν πρὸς Ῥωμαίους πόλεμον. Τοῦ
δὲ Φιλίππου βουλομένου διδάσκειν, ὅτι Ῥόδιοι τὰς
χεῖρας ἐπιβάλοιεν αὐτῷ, μεσολαβήσας ὁ Μάρκος
ἤρετο· τί δ' Ἀθηναῖοι; τί δὲ Κιανοί; τί δὲ νῦν Ἄβυ-
δηνοί; καὶ τούτων τίς, ἔφη, σοὶ πρότερος ἐπέβαλε
τὰς

4. ἑτοίμως cum Reiskio ad πειθαρχεῖν retuli, quum ad ὑπάρξειν vulgo referretur.

Aemilius, ad ipsam *Abydum* navigavit. Nam legati, audito Rhodi quod res erat de obsidione Abydi, cum ipso Philippo colloqui cupientes, sicut in mandatis acceperant, inhibito itinere ad reges instituto, hunc miserant. Qui ad Abydum cum Philippo congressus, ei significavit, *decrevisse senatum, ab ipso postulare, ne ulli Graecorum genti bellum inferret, neve Ptolemaei rebus manus injiceret, pro injuriis vero Attalo atque Rhodiis illatis judicium subiret. Haec si faceret, quo minus pace frueretur, nihil vetare: si non promte obtemperaret, bellum illi a populo Romano esse paratum.* Quum Rex, *a Rhodiis ultro se lacessitum*, docere conaretur; interfatus Aemilius, &, *quid igitur Athenienses?* ait: *quid Ciani? quid nunc Abydeni? quis horum te prior lacessivit?*

Digitized by Google

Ol. 144. 4. Legatus Rom. ad Philippum.

τὰς χεῖρας; Ὁ δὲ βασιλεὺς ἐξαπορήσας, κατὰ τρεῖς τρόπους ἔφησεν αὐτῷ συγγνώμην ἔχειν, ὑπερηφάνως ὁμιλοῦντι· πρῶτον μὲν, ὅτι νέος ἐστὶ καὶ πραγμάτων ἄπειρος· δεύτερον, ὅτι κάλλιστος ὑπάρχει τῶν καθ' αὑτόν· καὶ γὰρ ἦν τοῦτο κατὰ ἀλήθειαν· μάλιστα δὲ, ὅτι Ῥωμαῖος. Ἐγὼ δὲ μάλιστα μὲν ἀξιῶ Ῥωμαίους, ἔφη, μὴ παραβαίνειν τὰς συνθήκας, μηδὲ πολεμεῖν ἡμῖν· ἐὰν δὲ καὶ τοῦτο ποιῶσιν, ἀμυνούμεθα γενναίως, παρακαλέσαντες τοὺς θεούς. Οὗτοι μὲν οὖν ταῦτα εἰπόντες διεχωρίσθησαν ἀπ' ἀλλήλων. Ὁ δὲ Φίλιππος, κυριεύσας τῆς πόλεως, τὴν ὑπαρξιν ἅπασαν καταλαβὼν συνηθροισμένην ὑπὸ τῶν Ἀβυδηνῶν, ἐξ ἑτοίμου παρέλαβε. Θεωρῶν δὲ τὸ πλῆθος καὶ τὴν ὁρμὴν τῶν σφᾶς αὐτοὺς καὶ τὰ τέκνα καὶ τὰς γυναῖκας ἀποσφαττόντων, κατακαόντων, εἰσαγχόντων, εἰς τὰ φρέατα ῥιπτούντων, κατακρημνιζόντων ἀπὸ τῶν τειχῶν, ἐκπλαγὴς ἦν·

Abydo potitur Philippus.

Abydeni se ipsi interimunt.

6 sq. μάλιστα δὲ, ὅτι Ῥωμ. ἐγὼ δὲ. Sex verba, quae absunt vulgo a libris, ex Livio supplevi. 9. κατακαόντων adscivi ex Ang. & Vrb. κατακαέντων Herv. cum reliquis codd. quod in κατακαινόντων ex conject. mutavit Casaub.

vit? Tum Rex, quid responderet nihil habens, *tres causſas eſſe*, dixit, *cur ipſe ei, ſuperbius & ferocius ſecum agenti, daret veniam: primum quod juvenis & rerum rudis eſſet: deinde quod forma omnes ſuæ ætatis antecederet;* (& erat ita re vera:) *maximè vero, quod Romanus eſſet. Ego vero maxime quidem*, inquit, *illud opto, ne fœdus Romani violent, & bellum nobiscum ne gerant: ſin illud quoque fecerint, deos venerati fortiter nos defendemus.* Quæ poſtquam dicta eſſent, a Philippo diſceſſit *Aemilius*. Rex urbis potitus, opes omnes Abydenorum nactus ab ipſismet congeſtas, ex facili eas accepit. Impetum vero tot numero civium conſpicatus, qui ſeſe, & liberos ſuos, & conjuges jugulabant, cremabant, ſuſpendebant, in puteos conjiciebant, de tectis præcipites dabant, eo ſpectaculo obſtupefactus eſt: & dolens

ιοῆν· καὶ διαλγῶν ἐπὶ τοῖς γεγονόμενοις, παρήγγειλε, A.V.554.
διότι τρεῖς ἡμέρας ἀναστροφὴν δίδωσι τοῖς βουλομέ-
ιινοις ἀπάγχεσθαι καὶ σφάττειν αὐτούς. Οἱ δ' Ἀβυ-
δηνοὶ, προδιειληφότες ὑπὲρ αὐτῶν κατὰ τὴν ἐξ ἀρ-
χῆς στάσιν, καὶ νομίζοντες οἱονεὶ προδόται γίγνεσθαι
τῶν ὑπὲρ τῆς πατρίδος ἠγωνισμένων καὶ τεθνεώτων,
οὐδαμῶς ὑπέμενον τὸ ζῆν, ὅσοι μὴ δεσμοῖς ἢ τοιαύταις
ιαἀνάγκαις προκατελήφθησαν· οἱ δὲ λοιποὶ πάντες
ὥρμων ἀμελήτως κατὰ συγγενείας ἐπὶ τὸν θάνατον.

XII. *Legatio Achæorum & Romanorum ad Rhodios.*

Παρῆσαν μετὰ τὴν ἅλωσιν Ἀβύδου παρὰ τοῦ τῶν XXXV.
Ἀχαιῶν ἔθνους εἰς τὴν Ῥόδον πρεσβευταί, παρακα- De pace cum Philippo ineunda.
λοῦντες τὸν δῆμον εἰς τὰς πρὸς τὸν Φίλιππον διαι-
ιλύσεις. οἷς ἐπελθόντων ἐκ τῆς Ῥώμης πρεσβευτῶν,
καὶ διαλεγομένων ὑπὲρ τοῦ μὴ ποιεῖσθαι διαλύσεις πρὸς
Φίλιπ-

10. καὶ διαλγῶν. *Libri omnes dant* ἢ καὶ διαλγ. *quod in* ᾗ καὶ *forte mutandum fuit cum Reiskio. Priorem particulam delevit Cassub.* 11. προδόται *correxi. Vulgo* προδότας, *quod bene haberet, si adjectum esset* σφᾶς *vel* ἑαυτούς.

dolens edixit, *tridui spatium se illis concedere, qui laqueo vitam finire aut jugulare se vellent.* Verum Abydeni, qui jam ita de se statuerant, ut fuerat ab ipsis initio decretum, & prodi a se illos existimabant, qui pro patria strenue dimicantes occubuerant, vivere diutius non sustinebant, nisi qui vinculis aut alia vi fuissent præpediti. Reliqui sine ulla cunctatione per cognationes ad mortem ruebant.

XII. *Ecloga V. de Legationibus.*

35. Post captam Abydum, advenit *Rhodum* legatio *Achæorum*; populum hortans ad *pacem cum Philippo faciendam.* Inter hæc vero quum *Roma* superveniissent legati, in eam differentes sententiam, *inconsultis Romanis*

Digitized by Google

Ol.144.4. Φίλιππον ἄνευ Ῥωμαίων, ἔδοξε προσέχειν τῷ δήμῳ τοῖς Ῥωμαίοις, καὶ στοχάζεσθαι τῆς τούτων φιλίας.

XIII. *Philopœmenis Strategema adversus Nabidem Lacedæmonium.*

XXXVI. Literæ ad urbes Achaicas datæ.

Ὁ δὲ Φιλοποίμην ἐξελογίσατο τὰ διαστήματα τῶν Ἀχαϊκῶν πόλεων ἁπασῶν, καὶ ποίαν δύναντας κατὰ τὰς αὐτὰς ὁδοὺς εἰς τὴν Τέγεαν παραγίγνεσθαι. λοιπὸν ἐπιστολὰς ἔγραψε πρὸς πάσας τὰς πόλεις, καὶ ταύτας διέδωκε ταῖς πορρωτάτω πόλεσι, μερίσας οὕτως, ὥστε καθ' ἑκάστην ἔχειν μὴ μόνον τὰς ἑαυτῆς, ἀλλὰ καὶ τὰς τῶν ἄλλων πόλεων, ὅσαι κατὰ τὴν αὐτὴν ὁδὸν ἔπιπτον. Ἐγέγραπτο δ' ἐν ταῖς πρώταις τοῖς Ἀποτελείοις τοιαῦτα. Ὅταν κομίσηθε τὴν ἐπιστολήν, παραχρῆμα ποιήσασθε, τοὺς ἐν ταῖς ἡλικίαις, ἔχοντας τὰ ὅπλα καὶ πένθ' ἡμερῶν ἐφόδια καὶ πέντ' ἀργυρίου, ἀθροίζεσθαι παραυτίκα πάντας

XXXVI. 3. πέντ' ἀργυρίου *ex conject. scripſ.* πέντ' ἀργύριον *Hervag. cum mitis, quod in* πᾶν τἀργύριον *cum Vrſino mutavit Caſaub.*

manis nequaquam cum Philippo esse transigendum; visum est populo, habendam esse Romanorum rationem, & eorum amicitiam respiciendam.

XIII. *Excerpt. Antiq. Cap.* 20 *seq.*

36. *Philopœmen* quum *intervalla omnium Achaicarum urbium* apud se perpendisset, & quænam essent e quibus *Tegeam* via eadem veniri posset; epistolas de cetero ad omnes scripsit, easque ad remotissimas quasque urbes curavit perferendas; ita fasciculos epistolarum connexuit, ut singulæ civitates acciperent non solum quæ sibi essent scriptæ, sed etiam quæ ad alia oppida, quæcumque in viam eamdem incidebant. In illis primis scriptum erat ad præfectos urbium: *His literis acceptis, date operam, ut omnis confestim militaris ætas, armis, & quinque dierum cibariis, & pecuniæ quinque drachmis instructa, in forum proti-*

Digitized by Google

4 πάντας εἰς τὴν ἀγοράν. ἐπειδὰν δὲ συλλεχθῶσιν οἱ παρόντες, ἀναλαβόντες αὐτοὺς, ἄγετε εἰς τὴν ἐξῆς πόλιν· ὅταν δ' ἐκεῖ παραγένησθε, τὴν ἐπιστολὴν ἀπόδοτε τὴν ἐπιγεγραμμένην τῷ παρ' ἐκείνων Ἀποτε- 5 λείῳ, καὶ πειθαρχεῖτε τοῖς ἐγγεγραμμένοις. Ἐγγέγραπτο δ' ἐν ταύτῃ ταὐτὰ τοῖς πρόσθεν, πλὴν διότι τὸ τῆς ἐξῆς κειμένης ὄνομα πόλεως οὐ ταὐτὸν εἶχεν, 6 εἰς ἣν ἔδει προάγειν. Τοιούτου δὲ τοῦ χειρισμοῦ γενομένου κατὰ τὸ συνεχὲς, πρῶτον μὲν οὐδεὶς ἐγίγνωσκε, πρὸς τίνα πρᾶξιν ἢ πρὸς ποίαν ἐπιβολήν ἐστιν ἡ παρασκευή· εἶτα, ποῦ πορεύεται, πλὴν τῆς ἐξῆς 7 πόλεως, οὐδεὶς ἁπλῶς ᾔδει. πάντες δὲ, διαποροῦντες, καὶ παραλαμβάνοντες ἀλλήλους, προῆγον εἰς 8 τοὔμπροσθεν. Τῷ δὲ μὴ τὸ ἴσον ἀπέχειν τῆς Τεγέας τὰς ποῤῥωτάτω κειμένας πόλεις, οὐχ ἅμα πάσαις ἀπεδόθη τὰ γράμματα ταύταις, ἀλλὰ κατὰ λόγον ἑκά- A.V.554. Literæ ad urbes Achaicas.

5. οὐ ταὐτὸν cum Reisk. correxi. οὐ ταύτην Herv. cum mstis. οὐ ταυτὴν Casaub.

protinus conveniat. Quo ut convenerint quotquot domi aderunt, sumite eos, & ad proximam urbem ducite. Eo postquam erit ventum, date præfecto ejus oppidi epistolam ad illum conscriptam, &, quod in ea scriptum erit, facite. Scriptum autem erat in hac quoque idem atque in prioribus literis, nisi quod urbis deinceps sequentis, ad quam fuit pergendum, non adscribebatur idem nomen. Quæ ratio quum in singulis urbibus, per quas iter erat, fuisset observata; illud efficiebatur, ut nemo sciret prorsus, neque cujus facinoris aut incepti gratia hic fieret adparatus, neque quo iretur, excepta urbe dumtaxat proxima. Verum omnes pariter incerti sese invicem adsumebant, & ad ulteriora pergebant. Iam quia non omnes, quæ longissime distabant a *Tegea*, urbes pari intervallo aberant; non eadem hora cunctis illis redditæ sunt literæ, sed singulis pro ratione intervalli. Unde eve-

Digitized by Google

Ol. 144. 4. Tegeam subito conveniunt Achæi.

ἑκάστοις. Ἐξ ὧν συνέβη, μήτε τῶν Τεγεατῶν εἰδότων τὸ μέλλον, μήτε τῶν παραγιγνομένων, ἅμα πάντας τοὺς Ἀχαιοὺς, καὶ κατὰ πάσας τὰς πύλας, εἰς τὴν Τέγεαν εἰσπορεύεσθαι σὺν τοῖς ὅπλοις.

XXXVII. Successus strategematis.

Ταῦτα δὲ διεστρατήγει, καὶ περιεβάλλετο τῇ διανοίᾳ, διὰ τὸ πλῆθος τῶν ὠτακουστῶν καὶ κατασκόπων τοῦ τυράννου. Κατὰ δὲ τὴν ἡμέραν, ἐν ᾗ συναθροίζεσθαι τὸ πλῆθος ἔμελλε τῶν Ἀχαιῶν εἰς Τέγεαν, ἐξαπέστειλε τοὺς ἐπιλέκτους, ὥστε, νυκτερεύσαντας περὶ Σελλασίαν, ἅμα τῷ φωτὶ κατὰ τὴν ἐπιοῦσαν ἡμέραν ἐπιτρέχειν τὴν Λακωνικήν. ἐὰν δὲ οἱ μισθοφόροι βοηθήσαντες παρενοχλῶσιν αὐτοὺς, συνέταξε, πειθομένους τὴν ἀποχώρησιν ἐπὶ τὸν Σκοτίταν, καὶ τὰ λοιπὰ πειθαρχεῖν Διδασκαλώνδᾳ τῷ Κρητί· τούτῳ γὰρ ἐπεπίστευκει καὶ διετέτακτο περὶ τῆς ὅλης ἐπιβολῆς. Οὗτοι μὲν οὖν προῆγαν εὐθαρσῶς

Scotitas.

XXXVII. 1. ὠτακουστῶν ex Vrſini emend. adſcivit Caſaub. pro ἀκουστῶν, quod dabat Herv. cum libris. 3. Σκοτίταν. Σκοτιτῶν apud Pauſan.

evenit, ut neque Tegeatis ſcientibus, quid pararetur, neque iis, qui adveniebant, omnes Achæi cum armis *Tegeam* omnibus portis ingrederentur.

37. Hoc autem *ſtrategemate* ut uteretur, propterea *Philopœmeni* venit in mentem, quia ſpeculatoribus tyranni & certis hominibus, qui rumuſculos omnes captabant, omnia erant plena. Quo die vero univerſi Achæi *Tegeam* erant conventuri, ſelectorum manum miſit, juſſam, ubi noctem circa *Sellaſiam* egiſſent, ut die ſequenti, ſimul illuxiſſet, *Laconicam* incurſarent. Quod ſi miles conductitius ad ferendam opem adcurreret, ac negotium eis faceſſeret, ad *Scotitam* ſe ut reciperent juſſit, & de cetero Didaſcalondæ Cretenſi parerent: hujus enim fidei rem permiſerat, & mandata de univerſo incepto dederat. Igitur ad conſtitutum locum fiduciæ

Digitized by Google

σῶς ἐπὶ τὸ συντεταγμένον· ὁ δὲ Φιλοποίμην ἐν ὥρᾳ A.V.554.
παραγγείλας δειπνοποιεῖσθαι τοῖς Ἀχαιοῖς, ἐξῆγε
τὴν δύναμιν ἐκ τῆς Τεγέας· καὶ νυκτιπορήσας
ἐνεργῶς, περὶ τὴν ἑωθινὴν ἐνεκάθισε τὴν στρατιὰν
ἐν τοῖς περὶ τὸν Σκοτίταν προσαγορευομένοις τό-
ποις, ὅς ἐστι μεταξὺ τῆς Τεγέας καὶ τῆς Λα-
κεδαίμονος. Οἱ δ' ἐν τῇ Πελλήνῃ μισθοφόροι κατὰ Pellene.
τὴν ἐπιοῦσαν ἡμέραν, ἅμα τῷ σημῆναι τοὺς σκο-
πούς τὴν καταδρομὴν τῶν πολεμίων, ἐκ χειρὸς
ἐβοήθουν, καθάπερ ἔθος ἦν αὐτοῖς, καὶ προσέ-
κειντο τοῖς ὑπεναντίοις. Τῶν δ' Ἀχαιῶν κατὰ τὸ
συνταχθὲν ὑποχωρούντων, ἔσπευδον κατόπιν ἐπικεί-
μενοι θρασέως καὶ τετολμηκότως. ἅμα δὲ τῷ παρα-
βάλλειν εἰς τοὺς κατὰ τὴν ἐνέδραν τόπους, διανα-
στάντων τῶν Ἀχαιῶν, οἱ μὲν κατεκόπησαν, οἱ
δ' ἐάλωσαν αὐτῶν.

XIV. *Phi-*

5. Πελλήνῃ. Πελήνῃ *Hervag.* τὸ Πέλανα *vocatur apud Strab.*

ciæ pleni progrediuntur isti: at *Philopœmen*, tempori cœnam sumere jussis Achæis, *Tegea* exercitum eduxit, & quum per noctem citatim contendisset, sub diluculum suos in insidiis circa *Scotitam* collocavit: est id loci nomen inter Tegeam & Lacedæmonem. Postridie ejus diei conductitiorum præsidium, quod erat *Pellenæ*, simul ac incursio Achæorum ab eis, qui in speculis stabant, esset significata, e vestigio, sicut erant soliti, auxiliatum veniunt, & hostibus incumbunt. Achæi, ita ut erat præceptum, pedem referre: illi cum ingenti audacia & ferocia insequi atque a tergo urgere. Verum ut in locum insidiarum est ventum, consurgentibus Achæis, partim trucidati, partim vivi sunt capti.

Digitized by Google

Ol. 145. 1. A. V. 555.

XIV. *Philippus Achæos concitat adversus Romanos.*

XXXVIII. Ὁ δὲ Φίλιππος, ὁρῶν τοὺς Ἀχαιοὺς εὐλαβῶς διακειμένους πρὸς τὸν κατὰ Ῥωμαίων πόλεμον, ἐσπούδαζε κατὰ πάντα τρόπον ἐμβιβάσαι αὐτοὺς εἰς ἀπέχθειαν.

XV. *Res Syriæ & Palæstinæ.*

XXXIX. Scopas, dux Ptolemæi, recipit Iudæam. Ὁ δὲ τοῦ Πτολεμαίου στρατηγὸς Σκόπας, ὁρμήσας εἰς τοὺς ἄνω τόπους, κατεστρέψατο ἐν τῷ χειμῶνι τὸ τῶν Ἰουδαίων ἔθνος.

Τῆς γὰρ πολιορκίας ἐμβώδους γενομένης, ὁ μὲν Σκόπας ἠδόξει, καὶ διεβέβλητο νεανικῶς.

Τοῦ

XXXVIII. *Hæc & quæ sequuntur* Cap. XXXIX. & XL. *quæ* Olymp. CXLV. 1. & 2. A. V. C. 555 & 556. *gesta sunt, videri possunt ad* LIBRVM DECIMVM SEPTIMVM *potius, quam ad* Decimum Sextum, *referenda.*

XXXIX. 1. *Hæc & quæ sequuntur* v. 3. *usque ad finem hujus capitis, apud Iosephum ad* librum XVI, *in nonnullis autem codicibus ad* librum XI, *referuntur.*

XIV.

38. *Philippus* autem, animadvertens, *Achæos* a bello contra Romanos suscipiendo metu deterreri, quavis ratione illos his infensos reddere studuit. (*Suidas in* Εὐλαβῶς, *tacito Polybii nomine.*)

XV.

39. *Scopas*, copiarum dux *Ptolemæi*, ad regiones superiores verso impetu, per hyemem *Iudæorum* gentem subegit. (*Ioseph. Antiq.* XII. 3.)

Cum enim obsidio esset remissior, *Scopas* sinistris hominum sermonibus carpebatur ac juveniliter vituperabatur. (*Suidas in* Ῥεμβώδης, & *in* Σκόπας, *tacito Polybii nomine.*

Scopa

Digitized by Google

Ol.145.2. A.V.556.

3 Τοῦ Σκόπα νικηθέντος ὑπὸ Ἀντιόχου, τὴν μὲν Victo Scopa, Antiochus potitur Palæstina.
Βαταναίαν καὶ Σαμάρειαν καὶ Ἄβιλα καὶ Γάδαρα
4 παρέλαβεν Ἀντίοχος· μετ' ὀλίγον δὲ προσεχώρησαν
αὐτῷ καὶ τῶν Ἰουδαίων οἱ περὶ τὸ ἱερὸν προσαγο-
5 ρευόμενον Ἱεροσόλυμα κατοικοῦντες. ὑπὲρ οὗ καὶ Hierosolyma.
πλεῖον λέγειν ἔχοντες, καὶ μάλιστα διὰ τὴν περὶ
τὸ ἱερὸν ἐπιφάνειαν, εἰς ἕτερον καιρὸν ὑπερθήσομεν
τὴν διήγησιν.

XL. Gazensium fides in Ptolem.

Ἀντιόχου τοῦ βασιλέως τὴν τῶν Γαζαίων πόλιν
2 πορθήσαντος, φησὶν ὁ Πολύβιος· Ἐμοὶ δὲ καὶ δίκαιον
ἅμα καὶ πρέπον εἶναι δοκεῖ τὸ τοῖς Γαζαίοις ἀπο-
3 δοῦναι τὴν καθήκουσαν μαρτυρίαν. Οὐδὲν γὰρ διαφέροντες ἀνδρείᾳ τῶν κατὰ Κοίλην Συρίαν πρὸς τὰς πολεμικὰς πράξεις, ἐν κοινωνίᾳ πραγμάτων καὶ τῷ τηρεῖν τὴν πίστιν πολὺ διαφέρουσι, καὶ συλλήβδην

Scopa ab Antiocho superato, *Antiochus* Batanæam & Samariam & Abila & Gadara recepit: atque paullo post *Iudæi* etiam se ei tradiderunt, qui circa Templum, quod *Hierosolyma* vocant, incolunt. De quo quum multa dicenda habeamus, præsertim propter templi illius celebritatem, in aliud tempus narrationem eam differemus. (*Ioseph. Antiq.* XII. 3.)

Excerpt. Valesian.

40. De *Gazensium urbe ab Antiocho vastata* hæc scribit Polybius: Mihi vero æquum atque opportunum hoc loco videtur, *Gazæos* merito *virtutis testimonio* minime fraudare. Nam quamvis fortitudine in rebus bellicis nihil reliquis Cœlesyriæ incolis præstent, tamen in colenda societate ac servanda fide longe illos superant, & omnino invicta quadam audacia

Digitized by Google

Ol. 145. 2. Gazenſium fides in Ptolem.

ἀνυπόστατον ἔχουσι τὴν τόλμαν. Κατὰ γὰρ τὴν 4 Περσῶν ἔφοδον, ἐκπλαγέντων τῶν ἄλλων διὰ τὸ μέγεθος τῆς δυναστείας, καὶ πάντων ἐγχειρισάντων σφᾶς αὐτοὺς καὶ τὰς πατρίδας Μήδοις, μόνοι τὸ δεινὸν ὑπέμειναν πάντων, τὴν πολιορκίαν ἀναδεξάμενοι. κατὰ δὲ τὴν Ἀλεξάνδρου παρουσίαν, οὐ μόνον τῶν ἄλλων παραδεδωκότων αὐτοὺς, ἀλλὰ καὶ Τυρίων ἐξηνδραποδισμένων μετὰ βίας, καὶ σχεδὸν ἀνέλπιστου τῆς σωτηρίας ὑπαρχούσης τοῖς ἐναντιουμένοις πρὸς τὴν ὁρμὴν καὶ βίαν τοῦ Ἀλεξάνδρου, μόνοι τῶν κατὰ Συρίαν ὑπέστησαν, καὶ πάσας ἐξέλεγξαν τὰς ἐλπίδας. Τὸ δὲ παραπλήσιον ἐποίησαν καὶ κατὰ τοὺς ἐνεστῶτας καιρούς. οὐδὲν γὰρ ἀπέλειπον τῶν ἐνδεχομένων, σπουδάζοντες διαφυλάξαι τὴν πρὸς τὸν Πτολεμαῖον πίστιν. Διὸ καθάπερ καὶ κατ' ἰδίαν ἐπισημαινόμεθα τοὺς ἀγαθοὺς ἄνδρας

4 5 6 7

XL. 4. τὴν Περσῶν ex Valeſii conjecł. edidi. Vulgo ex mſto κατὰ γὰρ τετάρτην ἔφοδον. Ibid. ὑπέμειναν πάντων ex conjecł. correxi. Vulgo ὑπέμειναν, πάντες τὴν πολ. Nec vero diſpliceat ἐκόντες, quod ſuſpicatus eſt Reiſk. 5. ἐξήλεγξαν τὰς ἐλπίδας correxi ex Gron. & Weſſelingii conjecł. Vulgo ἐξελίξαντες ἐλπίδας.

dacia utuntur. Nam cum *Perſæ* olim in Syriam irrupiſſent, cunctis potentiæ magnitudine attonitis, ſeque ac urbes ſuas ultro dedentibus, ſoli omnium *Gazæi* reſiſtere auſi, obſidionem pertulerunt. Expeditione quoque *Alexandri*, cum non modo univerſi dediſionem feciſſent, ſed & Tyrus vi capta eſſet & in ſervitutem redacta, atque adverſus vim & impetum Alexandri nulla propemodum ſalutis ſpes reſiſtentibus adpareret; ſoli e Syris non ceſſere, ſed ad omne diſcrimen parati, nil intentatum reliquere. Eademque conſtantia nunc quoque uſi reperiuntur. Nihil enim, quod quidem in ipſorum ſitum poteſtate eſſet, prætermiſerunt, quo fidem Ptolemæo ſervarent, ſtudiumque illi ſuum demonſtrarent. Quamobrem, ſicut ſigillatim viros fortes in hoc noſtro

ἄνδρας ἐν τοῖς ὑπομνήμασι, τὸν αὐτὸν τρόπον χρὴ καὶ κοινῇ τῶν πόλεων τὴν ἐπ' ἀγαθῷ ποιήσασθαι μνήμην, ὅσαι τι τῶν καλῶν ἐκ παραδόσεώς τε καὶ προθέσεως πράττειν εἰώθασιν. A.V.556.

XVI. *Fragmenta minora.*

1 Ἴνσοβροι, ἔθνος Ἰταλικόν. Πολύβιος ις'. XLI.

2 Μάντυα, πόλις Ῥωμαίων. τὸ ἐθνικὸν Μαντυανός. Πολύβιος ἑκκαιδεκάτῃ.

3 Βαβρεάντιον, τόπος περὶ Χῖον. Πολύβ. ις'.

4 Γίτλα, πόλις Παλαιστίνης. Πολύβιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν Γιτλαῖος.

5 Ἕλλα, χωρίον Ἀσίας, Ἀτλάλου βασιλέως ἐμπόριον.

7. ὅσαι τι. *Abeſt vulgo* τι, *quod adjeci monente Valeſio.*

noſtro opere collaudare ſolemus, ita & civitates, quæ rerum honeſtarum ſtudia, ſive exemplo a majoribus tradito ſive ſua ſponte ſectantur, ſuæ virtutis laude adficere oportet.

XVI. *Apud Stephanum Byzant.*

41. *Inſubri*, gens Italica. Polybius XVI.

Mantua, oppidum Romanorum. Gentile *Mantuanus*, auctore Polybio, libro XVI.

Babrantium, locus circa Chium. Polybius XVI.

Gitta, oppidum Palæſtinæ. Polybius XVI. Gentile *Gittæus*.

Hella, locus Aſiæ, Attali regis

Digitized by Google

πόριον. Πολύβιος ἐκκαιδεκάτῳ. τὸ ἐθνικὸν Ἑλλαῖος.

Κάνδασα, φρούριον Καρίας. Πολύβιος ἐκκαιδεκάτῳ.

Καρθαία, μία τῆς ἐν Κέῳ τετραπόλεως. οἱ οἰκοῦντες Καρθαεῖς. Πολύβιος ις'.

XLI. 7. *ἐν Κέῳ ex Strabone correxi. Vulgo ἐν Κῷ.*

regis emporium. Polybius XVI. Gentile *Hellaeus.*

Candasa, caſtellum Cariæ. Polybius XVI.

Carthæa, una ex quatuor oppidis in inſula *Ceo.* Incolæ *Carthæenſes.* Polybius XVI.

Finis Libri XVI.

INDEX

Digitized by Google

INDEX

RELIQVIARVM LIBRI VIII.

Edit. nostr. Cap.		Edit. Gronov.	Edit. Ernest.
	Ol.141.2. Edit. A.V.540.		
1 sq.	I. CAVTIO NECESSARIA IN FIDE ADHIBENDA HOSTI. *Excerpta Antiqua*		Cap. 1 seq.
3 sq.	II. INGENS MOLES BELLI PVN. II.	*Exc. Antiq.*	Cap. 3 sq.
	III. OPPVGNATIO SYRACVSARVM. *Praemittitur Fragmentum ex Suida in Διεσκευασμένην.*	*Fragm.* 39. p. 1531.	p. 251.
5	*Ex Suida in Ἔργον, & ex Heronе de tolerandâ & repellendâ Obsidione.*	*Inter Exc. Antiq.*	Cap. 5. init.
6-9	Ὁ δὲ Μάρκος.	*Exc. Antiq.*	medio Cap. 5-8.
	IV. RES PHILIPPI.		
10-13	Φίλιππος παραγενόμενος.	*Exc. Valef.* p. 1374 sqq.	p. 17 sqq.
14-16	Φίλιππος δὲ τοὺς μὲν.	*Exc. Antiq.*	Cap. 9-11.
17-23	V. ACHAEVS CAPTVS SARDIBVS AB ANTIOCHO.	*Exc. Antiq.*	Cap. 12-18.
	Ol.141.3. A.V.541.		
24	VI. CAVARVS, Rex Gallorum in Thracia. Καύαρος ὁ βασιλεὺς.	*Exc. Valef.* p. 1380.	p. 24.
25	VII. RES ANTIOCHI ad urbem Samosatam. Ἔτους βασιλεύοντος.	*Exc. Valef.* p. 1380 sq.	p. 24 sq.
	Ol. 141.4. A.V. 542.		
26-36	VIII. BELLVM HANNIBALICVM. Tarentum proditur Hannibali.	*Exc. Antiq.*	Cap. 19-29.
37	IX. Ex Historia EXPVGNATIONIS SYRACVSARVM. Μαθὼν δὲ ἐξ αὐτομάλου. *(Suidas in Αὐτοῖς.)*	*Fragm.* p. 1554.	p. 278.
	Τοὺς δὲ Ῥωμαίους. *(Idem in Ἐπιπολάς.)*	*Fragm.* p. ead.	p. 279.
38	X. FRAGMENTA MINORA varii Argumenti.		
	Οὕτως οἱ πλείους. *(Ora Cod. Vrb.)*	*Fragm.* p. 1541.	p. 263.
	Πᾶσα γὰρ ἐλευθερία. *(Ibid.)*	*Fragm.* p. ead.	p. ead.
	Ἄγναρα. *(Steph. Byz.)*	*Fragm.* p. 1488.	p. 202.
	Δασταρῖται. *(Idem.)*	*Fragm.* p. ead.	p. ead.
	Τσκανα. *(Idem.)*	*Fragm.* p. 1554.	p. 279.

Digitized by Google

INDEX
RELIQVIARVM LIBRI IX.

Edit. nostr.		Edit. Gronov.	Edit. Ernest.
Ol.142.1. A.V.543.			
Cap. 1 sq.	I. Ex PROOEMIO Libri IX. *Excerpt. Antiq.*		Cap. 1 seq.
3-9	II. BELLVM HANNIBALICVM. Hannibal Capua Romam petit. *Exc. Antiq.*		Cap. 3-9.
10	III. RES SYRACVSANAE. Οὐκ ἐκ τῶν ἔξω. *(Ora Cod. Vrb.)*	*Fragm.* p. 1541.	p. 263.
	Ἐκφίδη μὲν οὖν. *Exc. Antiq.*		Cap. 10.
11	IV. RES HISPANIENSES. Οἱ τῶν Καρχηδονίων. *Exc. Valef.* p. 1381.		p. 25 *sq.*
12-21	V. PARTES ARTIS IMPERATORIAE. *Exc. Antiq.*		Cap. 11-20.
	Ol.142.2. A.V.544.		
	VI. BELLVM HANNIBALICVM.		
22-26	Ingenium & mores Hannibalis. Τῶν ἐναντίως. *Exc. Valef.* p. 1381 *sqq.*		p. 26 *sqq.*
27	VII. RES SICVLAE. Agrigentum Romanis traditum.		
	Ἡ δὲ τῶν Ἀκραγαντίνων. *Exc. Antiq.*		Cap. 21.
	Ἀγάθυρνα. *(Steph. Byz.*	*Fragm.* p. 1488.	p. 202.
	Ὁ δὲ Μάχος. *(Suidas in Ἐφ' ᾧ.)*	*Fragm.* p. 1554.	p. 279.
	VIII. RES GRAECORVM.		
28-39	(I.) Legatio Aetolorum ad Lacedæmonios contra Philippum; & legatio Acarnanum ad eosdem pro Philippo. *Exc. Antiq.*		Cap. 22-33.
40	Τὸ γὰρ ταιοῦτον ἦθος. *(Ora Cod. Vrb.)*	*Fragm.* p. 1541.	p. 263.
	Προθυμίαν γὰρ φίλων. *Exc. Antiq.*		Cap. 33. extr.
	Οἱ δὲ Ἀκαρνᾶνες. *(Suid. in Ἀναλγοῦντες.)*	*Fragm.* 6. p. 1519.	p. 238.
	(Et Suidas in ἐναύειν.)	*Fragm.* 7. p. 1520.	p. eod.
	(II.) Echinum oppugnat Philippus.		
41	Προσθέμενος δὲ. *Exc. Antiq.*		Cap. 34.
42	Πύπλιος ὁ τῶν Ῥωμαίων. *(Ex Hieron. de Obsidione.)*	*Fragm.* p. 1545.	p. 267.

Digitized by Google

Edit. nostr. Cap.		Edit. Gronov. Exc. Antiq.	Edit. Ernest. Cap.
43			
44	X. LEGATIO ROMANORVM AD PTOLEMAEVM.		Legat. II.
45	XI. FRAGMENTA VARIA.		
	Πολύβιος ἐν τῇ ἑννάτῃ. (Athen. X. 6.)	Fragm. p. 1488.	p. 202.
	Ἀρσινόη. (Steph. Byz.)	Fragm. p. ead.	p. ead.
	Ἄτελλα. (Idem.)	Fragm. p. ead.	p. ead.
	Φόρουννα. (Idem.)	Fragm. p. 1555.	p. 279.

INDEX
RELIQVIARVM LIBRI X.

Ol. 142. 3.
A.V. 545.

Cap. 1	I. TARENTVM RECEPTVM A FABIO.	Exc. Antiq.	Cap. 1.
2-22	II. SCIPIO MITTITVR IN HISPANIAM.	Excerpt. Valesian. p. 1387.	p. 32.
		Et mox Excerpt. Antiq.	Cap. 2-22.
	III. RES GRAECIAE.		
23	(I.) Aetolorum societas cum Romanis, ipsis Aetolis periculosa.	Exc. Antiq.	Cap. 23.
ibid.	Πᾶσαν γὰρ δημοκρατικὴν &c. ex Ora Cod. Vrb.	Fragm. p. 1541.	p. 263.
24 sq.	(II.) Philopœmen. Εὐρυλέων δὲ &c.	Exc. Valesian. p. 1387 sqq.	p. 32-36.
26	(III.) Philippi effrenata libido. Φίλιππος ὁ βασιλεὺς &c.	Exc. Vales. p. 1390 sq.	p. 36 sq.
27-31	IV. RES ANTIOCHI. Bellum Antiochi cum Arsace.	Exc. Antiq.	Cap. 24-28.
ibid.	Ἀγχιάνη. Καλλιόπη.	Fragm. p. 1489.	p. 203.
	Ol. 142. 4. A.V. 546.		
32 sq.	V. BELLVM HANNIBALICVM. Occiditur Marcellus Consul.	Exc. Antiq.	Cap. 29 sq.
34-40	VI. SCIPIO IN HISPANIA vincit Asdrubalem, Hamilcaris filium.	Exc. Antiq.	Cap. 31-37.

Digitized by Google

Edit. nostr. | Edit. Gronov. | Edit. Ernest.

VII. RES GRAECIAE.

Cap. 41 sq. (I.) Philippus providet sociis. Exc. Antiq. Cap. 38 sq.

43-47 (II.) Signa sublatis ignibus data. Exc. Antiq. Cap. 39 med. - 44.

VIII. RES ASIAE.

48 (I.) Cataractae Oxi amnis. Exc. Antiq. Cap. 45.

49 (II.) Antiochus vincit Euthydemum rebellem. Exc. Antiq. Cap. 46.

INDEX
RELIQVIARVM LIBRI XI.

Ol. 143. 1.
A.V. 547.

Cap.

1-3 I. BELLVM HANNIBALICVM.
Asdrubal, in Italiam transgressus, prælio victus perit.
Suidas in Ῥαδίστειον. Fragm. 123. p. 1536. p. 257.
Exc. Antiq. Cap. 1-3.

II. RES GRAECORVM.

4 (I.) Thermum iterum spoliat Philippus.
Φίλιππος πορευθεὶς &c. Excerpt. Valesian. p. 1391. p. 37.
Ἐλάτιον. Φύτιον. Fragm. p. 1489. p. 203.

5-7 (II.) Legatio ad Aetolos de Pace. Exc. Antiq. Cap. 4-6.

(III.) Philopœmen vincit Machanidam, Lacedæmoniorum tyrannum.

8 Ex Suida, in Στρατηγία. Fragm. 31. p. 1524. p. 242.
in Ζῆλος. Fragm. 24. p. 1522. p. 241.
in Ἐνθεατρίζουσι. Fragm. 26. p. 1523. p. 241.
Et in era cod. Vrb. Fragm. p. 1541. p. 263.

9-18 Exc. Antiq. Cap. 7-16.

Ol. 143. 2.
A.V. 548.

19 III. BELLVM HANNIBALICVM.
Laus Hannibalis. Exc. Antiq. Cap. 17.

IV. SCIPIO IN HISPANIA

20-24 (I.) Vincit Asdrubalem, Gisconis fil.
Exc. Antiq. Cap. 18-22.
Ἰλουργία. (Livius XXVIII. 19.) Fragm. p. 1489. p. 203.
Suidas in Τατηνός. (Liv. XXVIII. 23.)
Fragm. 47. p. 1526. p. 245.

(II.) Se-

Digitized by Google

Edit. noſtr. Cap.		Edit. Grenov.	Edit. Erneſt.
	(II.) Seditionem militum ſedat. *Exc. Antiq.*		*Cap.* 23-28.
25-30 31-33	(III.) Victo Indibili, Romam redit ex Hiſpania. *Exc. Ant.*		*Cap.* 29-31.
34	V. RES ANTIOCHI. *Exc. Antiq.*		*Cap.* 32.

INDEX
RELIQVIARVM LIBRI XII.

Ol. 143. 3.
A. V. 549.

I. RES AFRICAE.

Cap. 1	(I.) Varia Fragmenta.		
	Ex Stephano Byzant. in Ἴππων. Τάβρακα. Σίγγα. Χαλκεῖα.	*Fragm. p.* 1489 *ſq.*	*p.* 204.
	Ex eodem, in Βύζαντες.	*Fragm. p.* 1517.	*p.* 236.
2	Lotus Arbor. *Ex Athenaeo* XIV. 18.	*Fragm. p.* 1489.	*p.* 203.
3 *ſq.*	(II.) Timaei de Africa & Corſica errores. *Excerpt. Antiq.*		*Cap.* 1 *ſeq.*

II. RES LOCRENSIVM.

5 *ſq.*	(I.) Diſſenſus Ariſtotelis & Timaei de Origine Locrorum. *Excerpt. Antiq.*		*Cap.* 3 *ſq.*
	Τίμαιος δ' ὁ Ταυρομενίτης &c. *Apud Athenaeum* lib. VI. c. 18 & 20.	*Fragm. p.* 1489.	*p.* 203.
7	(II.) Veritatis praecipua debet eſſe cura Hiſtorico. *Exc. Antiq.*		*Cap.* 5.
8-12	(III.) Vindicatur Ariſtoteles a conviciis Timaei, qui ipſe falſa tradit de rebus Locrenſium. Πολλὰ ἱστορεῖ &c.	*Exc. Valeſ. p.* 1392 *ſqq.*	*p.* 37-42.
	(IV.) Vindicantur Demochares & Agathocles a Timaei calumniis.		
13	Τίμαιός φησι &c.	*Exc. Valeſ. p.* 1396.	*p.* 43.
14	Cap. 14, 1. Ἐξ ὧν ἐγὼ &c.	*Exc. Valeſ. p.* 1397.	*p.* 44.
	Cap. 14, 3. Καθάπερ γὰρ οἱ νοῦν ἔχοντες.	*Exc. Antiq.*	*Cap.* 6.
15	Καὶ γὰρ οὐδὲ ταῖς &c.	*Exc. Antiq.*	*Cap.* 6 *med.*
16	(V.) Leges Locrenſium, auctore Zaleuco.	*Exc. Antiq.*	*Cap.* 7.
17-22	(VI.) Arguitur Callifthenis imperitia in narrandis rebus ad militiam pertinentibus.	*Exc. Antiq.*	*Cap.* 8-13.

(VII.)

Digitized by Google

Edit. nostr. Cap.		Edit. Gronov.	Edit. Ernest.
23	(VII.) Ephorus & Callisthenes vindicantur a Timæi conviciis. Κατὰ τοῦ Ἐφόρου Τίμαιος &c.	Exc. Valef. p. 1398.	p. 45.
24 sq.	(VIII.) Timæi & maledicentia in alios & propria levitas ex ipsius scriptis elucent. Οὐ διαφορᾶν ἐστι &c.	Exc. Valef. p. 1399 sqq.	p. 46-48.
	Cap. 25. extr. Τὸ μὲν ἐπιτιμᾶσαι.	Ora Cod. Vrb. Fragm. p. 1542.	p. 264.
26	(IX.) Laudes Pacis.	Exc. Antiq.	Cap. 14.
27 sq.	(X.) Scriptor Historiarum debet esse in rebus agendis versatus.	Exc. Antiq.	Cap. 15 sq.

INDEX
RELIQVIARVM LIBRI XIII.

Ol. 143. 4.
A.V. 550.

I. RES AETOLORVM.

Cap. 1	Οἱ Αἰτωλοὶ &c.	Exc. Valef. p. 1401.	p. 48.
2	Σκόπας ὁ Αἰτωλῶν στρατ.	Exc. Valef. p. 1401 sq.	p. 49.
	Καθάπερ ἐπὶ τῶν ὑδροπικῶν.	Exc. Antiq.	Cap. 1. init.
	Παρ' οἷς ἔφυ τοῦτο &c. ex ora Cod. Vrb.	Fragm. p. 1542.	p. 264.

II. RES PHILIPPI.

3 sq.	Ἐγένετο περὶ τὴν τοιαύτην.	Exc. Antiq.	Cap. 1 sq.
5	Διαπιστοῦντες δ' οἱ Πρυτάνεις. Harpocrat. & Suid. in Πρυτ.	Fragm. p. 1555.	p. 279.
	Ὁ δὲ εἰσελθών. Suidas in Ἀπελογίζετο.		
	Πᾶν γὰρ βουληθῆναι. Suidas in Ἀναδέξασθαι.		
	Καί μοι δοκεῖ μεγίστην.	Exc. Antiq.	Cap. 3.
	Δαμοκλῆς.	Exc. Valef. p. 1402.	p. 49.
6 sq.	III. NABIS, tyrannus Lacedæmoniorum.	Exc. Antiq.	Cap. 4 sq.
8	Καὶ τὰ λοιπά.	Exc. Valef. p. 1402.	p. 50.

IV. RES ANTIOCHI in Arabia.

9	Χατληνία. Steph. Byz.	Fragm. p. 1490.	p. 205.
	Λάβαι. Idem.	Fragm. p. 1555.	p. 279.
	Οἱ δὲ Γερραῖοι. Suidas in Ἀξιοῦσι.	Fragm. 29. p. 1523.	p. 242.
	Αὐτὸς μὲν παρήγγειλε. Steph. Byz. in Χατληνία.	Fragm. p. 1490.	p. 205.
	Κυρωδαίους δὲ. Suid. in Σκαυτή.	Fragm. 30. p. 1523.	p. 242.

10 V. Fragmenta Geographica. Fragm. p. 1490. p. 204 sq.

Digitized by Google

INDEX
RELIQVIARVM LIBRI XIV.

Edit. noſtr.		Edit. Gronov.	Edit. Ernſt.
Ol.144.1. A.V.551.			
Cap. 1-10	I. SCIPIO IN AFRICA caſtra Pœnorum & Syphacis cremat.	*Exc. Antiq.*	*Cap.* 1-10.
	II. PTOLEMAEVS PHILOPATOR, rex Aegypti.		
11	*Athen. lib.* VI. *cap.* 13. *& lib.* XIII. *cap.* 5.	*Fragm. p.* 1490 *ſq.*	*p.* 205.
12	Εἶεν δέ τινες.	*Exc. Valeſ. p.* 1403.	*p.* 51.

INDEX
RELIQVIARVM LIBRI XV.

Ol.144.2.
Cap. A.V.552.

1-19	I. SCIPIO IN AFRICA vincit Hannibalem, & bello finem imponit.	*Exc. Antiq.*	*Cap.* 1-19.
	II. RES PHILIPPI.		
20	(I.) Adverſus Ptolemæum Epiphanem, Philopatoris filium.	*Exc. Antiq.*	*Cap.* 20.
21-23	(II.) Adverſus Cianos.		
	Μολπαγόρας &c.	*Exc. Valeſ. p.* 1404.	*p.* 52.
		Exc. Antiq.	*Cap.* 21-23.
24	(III.) Adverſus Thaſios.		
	Φίλιππος κατὰ τὸν ἀπόπλουν.	*Exc. Valeſ. p.* 1404	*p.* 52.
	Suidas in Ἀνεπισταθμ. Ἀσταθμ. *&* Ἄφρους.	*Fragm.* 32. *p.* 1524.	*p.* 243.
25	III. RES AEGYPTI.		
	Σωσίβιος.	*Exc. Valeſ. p.* 1404.	*p.* 52.
	Ἀγαθοκλῆς.	*Exc. Valeſ. p.* 1405.	*p.* 53.
26-36		*Exc. Antiq.*	*Cap.* 24-34.
37	IV. RES ANTIOCHI.		
	Ἀντίοχος ὁ βασιλεύς.	*Exc. Valeſ. p.* 1405.	*p.* 54.

INDEX
RELIQVIARVM LIBRI XVI.

Ol.144.3.
A.V. 553.

Cap. 1	I. Philippus ad Pergamum.		
	Φίλιππος ὁ βασιλεύς.	*Exc. Valeſ. p.* 1406.	*p.* 54.

II. Pu

Digitized by Google

Edit. noſtr. Cap.		Edit. Grenov.	Edit. Ernest
	II. Pugna Navalis ad Chium Philippi cum Attalo & Rhodiis.	*Exc. Antiq.*	*Cap.* 1-9.
2-10 11 *ſq.*	III. Cariam invadit Philippus.	*Exc. Antiq.*	*Cap.* 10 *ſq.*
13	IV. Res Peloponneſi. Κατὰ τὴν Πελοπόννησον.	*Exc. Valeſ.* p. 1407.	p. 55.
14-20	V. Polybii Excurſus de Zenone & Antiſthene, ſcriptoribus Rhodiis. Ἐπεὶ δέ τινες.	*Exc. Valeſ.* p. 1407 *ſqq.*	p. 56 *ſqq.*
21 *ſq.*	VI. Res Aegypti. Τληπόλεμος &c.	*Exc. Valeſ.* p. 1415 *ſqq.*	p. 65 *ſqq.*
23	VII. Scipio triumphat de Pœnis.	*Exc. Antiq.*	*Cap.* 12.
24	VIII. Philippus hiemat in Caria. Φίλιππος ὁ βασιλεὺς &c.	*Exc. Valeſ.* p. 1419.	p. 69.
	Ol. 144. 4. A. V. 554.		
25 *ſq.*	IX. Attalus & Rhodii concitant Athenienſes ad belli ſocietatem adverſus Philippum.		*Legat. III.*
27 *ſq.*	X. Initium Belli Romanorum cum Philippo.	*Exc. Antiq.*	*Legat. IV.* *Cap.* 13.
29-34	XI. Abydum oppugnat & capit Philippus. *Suidas, in* Ἐπιβάζα.	*Fragm.* 59. p. 1532. *Exc. Antiq.*	p. 252. *Cap.* 14-19.
35	XII. Legatio Achæorum & Romanorum ad Rhodios.		*Legat. V.*
36 *ſq.*	XIII. Philopœmenis Strategema adverſus Nabidem Lacedæmonium.	*Exc. Antiq.*	*Cap.* 20 *ſq.*
	Ol. 145. 1. A. V. 555.		
38	XIV. Philippus Achæos concitat adverſus Romanos. *Suid. in* Εὐλαβῶς.	*Fragm.* 29. p. 1562.	p. 288.
	A. V. 555 ſeq.		
39	XV. Res Syriæ & Palæſtinæ. *Ioſeph. Antiq.* XII. 3.	*Fragm.* p. 1491.	p. 205.
	Suidas, in Σιώπας ὁ ἐμβριθὴς.	*Fragm.* 68. p. 1564.	p. 291.
40	*Excerpt. Valeſ.* Ἀντιόχου τοῦ βασιλέως.	*Fragm.* p. 1418.	p. 68.
41	XVI. Fragmenta Geographica. *Ex Stephano Byz.*	*Fragm.* p. 1555. & 1491.	p. 250. & 206.

Finis Tomi Tertii.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

THE NEW YORK PUBLIC LIBRARY
REFERENCE DEPARTMENT

This book is under no circumstances to be taken from the Building

form 410

Digitized by Google

B'D OCT 5 1914



Digitized by Google

Digitized by Google